BSB Bayerische StaatsBibliothek

MDZ Münchener DigitalisierungsZentrum Digitale Bibliothek

Zachariae von Lingenthal, Karl Eduard, 1812-1894

Jus Graeco-Romanum

Bd.: 7

Lipsiae 1884

J.rom.f. 154 nc-7

urn:nbn:de:bvb:12-bsb11637355-1

J. rom. f.
Zachariae
154 nc
A

<36620557820017

<36620557820017

Bayer. Staatsbibliothek

J. rom. f. 154 =

JUS GRAECO-ROMANUM.

Bee

PARS VII.

EPITOMAE LEGUM

TIT. XXIV ET SEQUENTES.

EDIDIT

C. E. ZACHARIAE A LINGENTHAL,

D. J. U. DOMINUS IN GROSSKMEHLEN.

LIPSIAE,

TYPIS J. B. HIRSCHFELD.

MDCCCLXXXIV.

319 D

BAYERISCHE
STAATS-
BIBLIOTHEK
MUENCHEN

JUS GRAECO-ROMANUM.

PARS VII.

EPITOME LEGUM.

EDIDIT

C. E. ZACHARIAE A LINGENTHAL,

D. J. U. DOMINUS IN GROSSKMEHLEN.

LIPSIAE,

TYPIS J. B. HIRSCHFELD.

MDCCCLXXXIV.

EPITOMAE LEGUM

TIT. XXIV ET SEQUENTES.

EDIDIT

C. E. ZACHARIAE A LINGENTHAL,

D. J. U. DOMINUS IN GROSSKMEHLEN.

LIPSIAE,

TYPIS J. B. HIRSCHFELD.

MDCCCLXXXIV.

BIBLIOTHECA
REGIA
MONACENSIS

PROLEGOMENA.

Anno MDCCCLVI in Parte II hujus operis Epitomae legum titulos 1—23 edidi: ad reliquos titulos edendos subsidia mihi tum temporis in promtu haud fuerunt. Tandem vero anno MDCCCLXXXII contigit mihi — septuaginta jam annos nato —, ut Vindobonam primum, deinde Mediolanum et Romam invisere, ibique Epitomae Codices accuratius examinare liceret. Ex quo itinere apographa et collationes quibus opus reportavi, ita ut nunc Epitomae partem adhuc ineditam typis committere possim. Quod eo lubentius facio, quo insigniorem Epitome locum inter fontes juris Graeco-Romani obtinet: nam et plurima fragmenta ex commentariis antiquiorum ICtorum sola servavit, et recentiores manualium juris auctores quam plurimi ex Epitome hauserunt; quid? quod is, qui Basilicorum libros I sqq. in Cod. Paris. gr. 1352 recensuit (unde edidit Fabrotus), potissimum lib. VI tit. 1 ex Epitome nonnulla intrudit.

De Codicibus MSS, quibus Epitomae tit. 24 et sequentes continentur, et reliquis subsidiis editionis nostrae sic habe:

Codex Basilianus 114 sive Vaticanus 2075 nuper ab Heimbachio in Manuali Basilicorum (to. VI editionis Basilicorum pagina 174) accuratius est descriptus. Is in titulis 24. 25. 26 et 42. 43. 44. 45 editioni nostrae pro fundamento est. Indicatur in notis litera D.

De Codice Vidobonensi jurid. gr. 3 — sive potius 2, si vitium typothetae emendaveris — dixi supra Parte II pag. 268 sqq. Eum per totum librum contuli: tituli 49. 50 ei soli debentur. Indicatur litera F.

Codici Basiliano simillimus est Ambrosianus *Q* 25 *supra*, membranaceus, saeculo XI vel XII ineunte exaratus, ex Calabria advectus, initio et fine mutilus. Nuper repertus est a viro docto *Corrado Ferrini* Mediolanensi, qui ejus notitiam dedit in *Rendiconti del R. Istituto Lombardo Serie II Vol. XV fascic. IX—X Milano* 1882. Editioni meae pro fundamento est in titulis 27—41. Ibi indicatur litera G. (Idem vir doctus in Codice Basiliano 115 bibliothecae Vaticanae fol. 125 seqq. Epitomae partem inesse vidit. Incipit titulo 24 § 23. Post tit. 40 statim sequitur tit. 43. Desinit in tit. 45, cui subjecta sunt nonnulla capita *περὶ κωδικέλλου*.)

Deinde maximae auctoritatis in textu recensendo fuit Epitome ad Prochiron mutata, quae Epitomae titulos integros in se continet. Extat in Cod. Bodlejano 3399 (nobis V), qui in titulo 43 mutilus

explicit, et in Marciano 579 (nobis H), qui praeterea tit. 44 et 45 praestat. Denique Eclogam ad Prochiron mutatam, Epanagogen auctam, Prochiron auctum ad textum constituendum nonnunquam adhibui, quum ex Epitome hauserint. Quod quatenus factum sit, dixi supra Parte IV pag. 52. 178 et Parte VI pag. VI.

His subsidiis usus Epitomae titulos 24—45 integros edo, et titulos 49. 50 ex recensione Codicis Vindobonensis.

Titulorum autem 40—45 ordo atque numerus qualis est in nostra editione, an genuinus sit valde dubito. Confirmatur quidem tam ordo quam numerus non solum Codicibus Basilianis et Ambrosiano, sed etiam Ecloga ad Prochiron mutata, Epitome ad Prochiron mutata, Prochiro Vaticano: in Epitome Laurentiana et Epitome Marciana saltem eadem est titulorum consequentia. Sed Basilianus 114 in titulorum indice ad tit. 39 indicat deesse jam capita legis Rhodiae et leges rusticas, et in Vindobonensi titulum 39 statim sequitur titulus 44, ut proinde quosdam titulos excidisse probabile sit. Iam quum inscriptio Epitomae *πῆ μὲν χρηματικοὺς τίτλους μ́ πῆ δὲ ποιναλικοὺς τίτλους ί* promittat, et quum eaedem plane et quidem singulares quodammodo legum navalium, rusticarum, militarium recensiones licet extra titulorum seriem tam in Codicibus Ambrosiano et Basiliano quam in Codice Marciano 579 (Epitome ad Prochiron mutata) descriptae extent, eaedemque etiam in Epitome Marciana occurrant, a vero vix aberraverit qui genuinum titulorum ordinem hunc fuisse statuerit, ut post tit. 39 inseratur tit. 40 leges navales et tit. 41 leges rusticas continens. Titulus autem qui leges militares contineret quo loco intercalandus sit, et quis fuerit ordo reliquorum titulorum magis in obscuro est.

Codices Basilianos Ambrosianum Bodlejanum et Marcianum [1]) probabiliter in Calabria exaratos esse in notis ad tit. 29 § 46 observavi. Unde fortassis explicandum est, quod in quibusdam orthographia plane singulari conspicui sunt, v. c. *μνήστη* pro *μνηστὴ*, *ἐγγυὴ* pro *ἐγγύη*, *ἀγχίστης* pro *ἀγχιστεὺς* scribentes. Haec tamen, ut et alia quae per itacismum peccata vidi, ad vulgarem scribendi normam emendare non dubitavi. De caetero in titulis 24—45 edendis eandem rationem sequutus sum, quam in § 6 prolegomen*ων* ad tit. 1—23 exposui.

---

*) Codices Bodlej. et Marc. iota, quod vocant subscriptum, juxta ponunt, v. c. *τῶι χάρτηι.* Quod olim hos Codices saeculo X vel XI tribui (*Ὁ πρόχειρος νόμος* pag. 329), hoc de saec. XI solo accipias velim, quia Normannorum regum sanctiones continere videntur.

BAYERISCHE
STAATS-
BIBLIOTHEK
MUENCHEN

ΤΙΤΛΟΣ κδʹ.

Περὶ λύσεως γάμου καὶ τῶν αἰτιῶν αὐτῆς. καὶ περὶ παίδων νόθων καὶ ἀθεμιτογαμίας.

αʹ. Ἐπειδὴ πολλὰς ἐν τοῖς παλαιοῖς νόμοις εὕρομεν αἰτίας, ἐξ ὧν εὐχερῶς αἱ τῶν γάμων λύσεις γίνονται, τούτων ἕνεκα συνείδομεν ἐκ τούτων περιελεῖν τινας, αἵπερ ἡμῖν ἀνάξιαι πρὸς τὸ διαλύειν γάμους ἐφάνησαν, καὶ ταύτας μόνον ὀνομαστὶ τῷ παρόντι ἐντάξαι νόμῳ, ὑπὲρ ὧν εὐλόγως τοὺς γάμους δίχα ποινῆς ἔξεστι διαλύειν.[1]

βʹ. Διαλύεται ὁ γάμος κατὰ πρόφασιν ἀναγκαίαν τε καὶ οὐκ ἄλογον, ὅτ' ἄν τις οὐχ οἷος τε εἴη συνεῖναι τῇ γυναικὶ καὶ τὰ παρὰ τῆς φύσεως ἀνδρᾶσι δεδομένα μὴ πράττῃ, ἀλλὰ τριετία μὲν παραδράμοι ἐκ τοῦ τῶν γάμων καιροῦ, ὁ δὲ ὅτι ταῖς ἀληθείαις ἐστὶν ἀνὴρ οὐ δεικνύει· πάρεστι γὰρ τῇ γυναικὶ ἢ τοῖς γε πατράσι διαζευγνύναι τὸ συνοικέσιον καὶ στεῖλαι διάλυσιν, κἂν εἰ μὴ βούλοιτο τοῦτο ὁ συνοικῶν. κἀνταῦθα ἡ μὲν προῖξ εἴ τις ἐστὶν ὅλως ἐπιδεδομένη ἀκολουθήσει τῇ γυναικὶ καὶ ἀποδώσει ταύτην ὁ ἀνὴρ εἴγε τύχῃ λαβών, ἡ δὲ διὰ τὸν γάμον ἤτοι πρὸ τοῦ γάμου δωρεὰ μένει παρὰ τῷ ἀνδρὶ οὐδὲν οἴκοθεν ζημιουμένῳ.[2] — σχόλ. Ὅτι περὶ τοῦ γονοποιεῖν τοὺς ἀνθρώπους σκοποῦμεν τὴν φύσιν καὶ τὴν συνήθειαν· οὐ τὸ πρόσκαιρον, ἀλλὰ τὴν ἀσθένειαν τὴν ἐμποδίζουσαν γονοποιεῖν.

γʹ. Θεσπίζομεν καὶ τῶν ἐν αἰχμαλωσίᾳ διαλύεσθαι τοὺς γάμους. καὶ οὐχ ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλ' ἕως μέν ἐστι φανερὸν περιεῖναι ἢ τὸν ἄνδρα ἢ τὴν γυναῖκα, μένειν ἄλυτα τὰ συνοικέσια συγχωροῦμεν, καὶ οὐκ ἐλεύσονται πρὸς δευτέρους γάμους οὔτε γυναῖκες οὔτε ἄνδρες, εἰ μὴ βούλοιντο κατὰ προπέτειαν τοῦτο πρᾶξαι καὶ ὑποπεσεῖν ταῖς ποιναῖς, ὁ μὲν τῆς

[1] Proch. 11, 1. [2] Proch. 11, 2.

προγαμιαίας δωρεᾶς φαμεν ἐκτίσει, ἡ δὲ τῇ τῆς προικός. εἰ δε ἄδηλον καθεστήκοι πότερον περίεστιν ἢ μὴ τὸ εἰς πολεμίους ἀφικόμενον πρόσωπον, τηνικαῦτα πενταετίαν μενετέον εἴτε τῷ ἀνδρὶ εἴτε τῇ γυναικὶ, μεθ' ἣν εἴτε σαφῆ γένοιτο τὰ τῆς τελευτῆς εἴτε ἄδηλα μένοι, γαμεῖν ἔξεστιν ἀκινδύνως. ὥστε ἐνταῦθα οὐδὲ διαισίου γίνεται καιρὸς οὕτω τῶν προσώπων διεστώτων ἀλλήλων. καὶ οὐδεὶς ἐνταῦθα κερδανεῖ, οὔτε ὁ ἀνὴρ τὴν προῖκα οὔτε ἡ γυνὴ τὴν προγαμιαίαν δωρεὰν, ἀλλ' ἕκαστος ἐπὶ τῶν οἰκείων μενέτω.[3] — σχόλ. Τότε γὰρ εἰ παῖδες εἰσὶν καὶ ἡ προῖξ καὶ ἡ γαμικὴ δωρεὰ αὐτοῖς φυλαχθήσεται. καὶ εἴπερ μετὰ ταῦτα ἁλῶσιν ἑκάτεροι ἢ ὁ εἷς γαμῶν ἢ ἀσώτως ζῶν, ἡ οὐσία τοῦ τοῦτο ποιοῦντος τοῖς παισὶ προσκυροῦται. ὡς νεαρὰ ριδ'.[4] σημ. εἰ δέ τις τῶν διὰ σωφροσύνην λυσάντων τὸν γάμον ἄλλην ἀγάγεται γαμετὴν ἢ πορνεύσῃ, τὴν πᾶσαν αὐτοῦ περιουσίαν οἱ παῖδες λήψονται. εἰ δε παῖδας οὐκ ἔχουσιν οἱ πταίσαντες, τὸ δημόσιον διαδέξηται τὴν τούτων περιουσίαν.[5]

δ'. Ἐπειδὴ δὲ κατὰ συναίνεσιν ἢ διὰ σωφροσύνην ἐλύετο ὁ γάμος, θεσπίζομεν μὴ ἄλλως πως ἢ καὶ παρευθὺ τὰ ἑκάτερα μέρη προσέρχεσθαι τῷ μονήρει βίῳ ἀζημίων δηλονότι φυλαττομένων αὐτῶν.[6] — Ἀπελεύθεροι νομίμως καταδουλούμενοι λύουσι τὸν πρὸς αὐτοὺς γάμον. καὶ λοιπὸν μένει ὁ ἀπὸ τελευτῆς κάσος παρ' αὐτοῖς, τὰ δε λοιπὰ πάντα τῷ δεσπότῃ τοῦ καταδουλωθέντος ἁρμόζει. ὡς νεαρὰ κβ'.[7] — Ὅτι ὁ καταδουλούμενος δοκεῖ τελευτᾶν, ὡς βι. ε' τί. ιβ' διατ. κα' τοῦ κώδ. ὁμοίως καὶ ὁ δούλῳ προσώπῳ ὡς ἐλευθέρῳ συναπτόμενος γάμον οὐ συνίστησιν, ἀλλὰ καὶ ἐκδικεῖ τὰ προφάσει τοῦ γάμου ἐπιδιδόμενα. ὡς νεαρὰ κβ'.[8] — σημ. Ὁ διὰ τὸ μονάσαι λύων τὸν γάμον μιμεῖται τὸν τελευτῶντα, καὶ διὰ τοῦτο ἁρμόζει ὁ ἀπὸ τελευτῆς κάσος.[9]

ε'. Δεπορτάτιον τουτέστιν ἐξορία γάμον οὐ λύει. δουλεία δὲ ἐπιγενομένη θανάτῳ ἔοικεν καὶ γάμον λύει. ὡς βι. κα' τί. α' διγ. ιγ'.[10]

ζ'. Ἴσθι τὸ περὶ τοῦ χρόνου λεχθὲν ἐκεῖ. δύο γὰρ ἔτη

---

[3] Proch. 11, 3. [4] Videtur laudari Novella, quae in coll. 168 Novv. numero 117 collocata est. [5] Athanas. X, 9. [6] Proch. 11, 4. [7] Theod. Nov. 22 § 8. [8] Theod. cit. § 9. [9] Theod. Nov. 22 § 13. F intercalat: Ὁ διὰ τὸν μονήρη βίον λύων τὸν γάμον ὑπόκειται τοῖς ἀπὸ τελευτῆς κάσσοις. ὡς βι. α' τί. γ' διατ. μβ' νεα. κγ' (lege ρκγ'). [10] F ὡς βι. κδ' τί. α' διγ. λβ'. Dig. 24, 1, 13. — Cf. c. XLVIII (Nov. 22) c. 8. 9.

λέγει μόνον μεῖναι τὴν γυναῖκα καὶ οὕτω μονάσαι. εἴτε ἐπὶ ἀνδρὸς εἴτε ἐπὶ γυναικὸς ἐπέλθοι ὁ κάσος, μετὰ θάνατον αὐτοῦ ἐπανέρχεται εἰς τοὺς παῖδας.[11]

η΄. Ἐὰν ἐπὶ τριετίαν μὴ δυνηθῇ ὁ ἀνὴρ συμμιγῆναι τῇ γυναικί, ἀζημίως ἡ γυνὴ λύει τὸν γάμον. ὡς νεαρὰ ρίζ΄. λύσις γάμου ἐστὶν ἀτιμώρητος ἡ εἰρημένη αἰτία.[12]

θ΄. Τὰς αἰτίας ἐξ ὧν ὁ ἀνὴρ χωριζόμενος τὴν προῖκα τῆς γυναικὸς ἀποκερδαίνειν δύναται, φυλαττομένης τῆς ἐπ᾽ αὐτῆς δεσποτείας τοῖς ἐκ τοῖ αὐτοῦ γάμου παισὶν ἢ παίδων οὐκ ὄντων ἀπολαύειν αὐτοὺς τῆς δεσποτείας, ταύτας εἶναι διατυποῦμεν.[13]

ι΄. Εἰ κατὰ τῆς βασιλείας βουλομένοις τισὶ σύνοιδεν ἡ γυνὴ καὶ τῷ ἰδίῳ ἀνδρὶ μὴ φανερώσει. εἰ δὲ ὁ ἀνὴρ τοῦτο παρὰ τῆς γυναικὸς προσαγγελθὲν σιωπήσει, ἔξεστι τῇ γυναικὶ δι᾽ οἱουδήποτε τρόπου ἢ προσώπου τοῦτο προσαγγέλλειν τῇ βασιλείᾳ, ὥστε τὸν ἄνδρα μηδεμίαν ἐκ ταύτης τῆς αἰτίας λύσεως γάμου εὑρεῖν πρόφασιν.[14]

ια΄. Εἰ περὶ μοιχείας ὁ ἀνὴρ νομίσει δύνασθαι τὴν ἑαυτοῦ γαμετὴν ἐλεγχθῆναι, προσήκει τὸν ἄνδρα πρότερον ἐγγράφεσθαι τὴν γυναῖκα ἢ καὶ τὸν μοιχόν· καὶ εἴπερ ἡ τοιαύτη κατηγορία ἀληθὴς ἀποδειχθείη, τηνικαῦτα χωρισμοῦ γενομένου ἔχειν τὸν ἄνδρα πρὸς τῇ προγάμου δωρεᾷ καὶ τὴν προῖκα, καὶ πρὸς τούτοις εἰ παῖδας μὴ ἔχοιεν, τοσοῦτον λαμβάνειν ἐκ τῆς ἄλλης τῆς γυναικὸς περιουσίας, ὅσον τῆς προικὸς τὸ τρίτον μέρος γινώσκεται εἶναι. ὥστε τῇ αὐτοῦ δεσποτείᾳ καὶ τὴν προῖκα καὶ τὴν παρ᾽ ἡμῶν ὁρισθεῖσαν ποινὴν προσκυροῦσθαι.[15]

ιβ΄. Εἰ γὰρ παῖδας ἔχοι ἐκ τοῦ αὐτοῦ συνοικεσίου, κελεύομεν καὶ τὴν προῖκα καὶ τὴν ἄλλην τῆς γυναικὸς περιουσίαν κατὰ τοὺς ἔμπροσθεν ὡρισμένους νόμους τοῖς παισὶ φυλάττεσθαι, καὶ οὕτως τὸν μοιχὸν νομίμως ἐλεγχόμενον ἅμα τῇ γυναικὶ τιμωρεῖσθαι· καὶ εἰ μὲν ἔχει ὁ μοιχὸς γυναῖκα, λαμβάνειν αὐτὴν τὴν ἰδίαν προῖκα καὶ τὴν διὰ τοὺς γάμους γενομένην δωρεάν, ὥστε εἰ παῖδας ἔχοιεν, μόνης τὴν γυναῖκα τῆς χρήσεως ἀπολαύειν τῆς δωρεᾶς, τῆς δεσποτείας κατὰ τοὺς νόμους τοῖς παισὶ φυλαττομένης. τὴν δὲ ἄλλην τοῦ ἀνδρὸς περιουσίαν τοῖς αὐτοῦ παισὶ δωρούμεθα.[16]

ιγ΄. Παίδων δὲ μὴ ὑπόντων τὴν μὲν τῆς προγαμιαίας δω-

[11] Theod. Nov. 22 § 16. [12] Theod. Nov. 22 § 5. [13] Proch. 11, 5. [14] Proch. 11, 6. [15] Proch. 11, 7. [16] Proch. l. c.

ρεᾶς δεσποτείαν τῇ γυναικὶ διαφέρειν θεσπίζομεν, τὴν δὲ ἄλλην αὐτοῦ πᾶσαν περιουσίαν τῷ φίσκῳ κατὰ τοὺς παλαιοὺς προσκυροῦσθαι νόμους.[17] — σημ. εἴσω ξ' ἡμερῶν μετὰ τὸ ῥεπούδιον τουτέστι μετὰ τὴν διάζευξιν τοῦ γάμου κατηγορῶν μοιχείαν ὁ ἀνὴρ τῆς γυναικὸς αὐτοῦ οὐκ ἀπαιτεῖται συκοφαντίας τιμωρίαν.[18] ὡς βι. θ' τί. θ' διατ. λζ'.[19]

ιδ'. Ἐὰν οἱῳδήποτε τρόπῳ ἡ γυνὴ τῇ ζωῇ τοῦ ἀνδρὸς ἐπιβουλεύσει ἢ ἄλλοις τοῦτο ποιοῦσιν συνειδυῖα τῷ ἀνδρὶ μὴ φανερώσῃ.[20] — σχολ. Ἐὰν ἐψηφίσθη ἑκάτερον τῶν συνοικούντων τὴν αἰτίαν παρασχεῖν τοῦ διαζυγίου, οὐκ ἔχουσιν κατὰ ἀλλήλων. τὰ γὰρ ἴσα πλημμελήματα ἀντιλογίζονται.[21]

ιε'. Ἐὰν ἀνδράσι μὴ βουλομένου τοῦ ἀνδρὸς ἐξωτικοῖς συμποσιάζει ἢ συμβουλεύεται.[22]

ιϛ'. Ἐὰν μὴ βουλομένου τοῦ ἀνδρὸς ἔξω τοῦ οἴκου μείνῃ, εἰ μήτοιγε τυχοῦσα παρὰ τοῖς ἰδίοις γονεῦσιν.[23]

ιζ'. Ἐὰν ἱππικοῖς ἢ θεάτροις ἢ κυνηγίοις παραγενήσεται ἐπὶ τὸ θεωρῆσαι ἀγνοοῦντος ἢ κωλύοντος τοῦ ἀνδρός.[24]

ιη'. Ἐὰν δὲ συμβῇ τινα δίχα μιᾶς τῶν προειρημένων αἰτιῶν τὴν ἑαυτοῦ γαμετὴν τοῦ ἰδίου οἴκου ἐξωθήσασθαι, ὥστε ἐκείνη μὴ ἔχουσα γονεῖς πρὸς οὓς δύναται μένειν ἐξ ἀνάγκης ἔξω τὴν νύκτα διάγειν, κελεύομεν μηδεμίαν εἶναι τῷ ἀνδρὶ ἄδειαν διὰ τὴν τοιαύτην αἰτίαν χωρισθῆναι τῆς γυναικὸς διότιπερ αὐτὸς αἴτιος τούτου γίνεται.[25] — σχολ. Εἰ δὲ ὁ ἀνὴρ τὸν πρὸς τὴν γυναῖκα [σπουδάσῃ] διαλῦσαι γάμον ἀλόγως καὶ ῥεπούδιον πέμψαι, ἀποδιδότω μὲν ἣν ἐδέξατο προῖκα ἅμα τῇ προγάμου δωρεᾷ, [καὶ] τοσοῦτον ἐκ τῆς ἄλλης αὐτοῦ περιουσίας παρεχέτω ὅσον τὸ τρίτον μέρος τῆς προγάμου ποιεῖ δωρεᾶς, καὶ τούτων τὴν χρῆσιν ἢ καὶ τὴν δεσποτείαν ἡ γυνὴ καθέξει παίδων ὑπόντων ἢ μὴ ὑπόντων.[26]

ιθ'. Τὰς αἰτίας δι' ὧν εὐλόγως δύναται ἡ γυνὴ τοῦ ἀνδρὸς χωρισθῆναι καὶ ἐξ ὧν δύναται τήν τε προῖκα λαμβάνειν καὶ τὴν διὰ τοὺς γάμους ἀπαιτεῖν δωρεάν, ὁμοίως τοῖς παισὶ φυλαχθησομένης τῆς ἐπὶ [τῇ] δωρεᾷ δεσποτείας ἢ παίδων μὴ

---

[17] Proch. l. c. [18] F addit μετὰ δὲ τὰς ξ' κατηγορῶν ὑπόκειται τιμωρίᾳ. [19] Cf. schol. ad c. 6 C. ad leg. Jul. de adult. in Bas. LX, 37, 50. [20] Proch. 11, 8. [21] Dig. 24, 3, 39. [22] Lege συλλούεται, quamquam etiam G συμβουλ. habet. — Proch. 11, 9. [23] Proch. 11, 10. [24] Proch. 11, 11. [25] Proch. 11, 12. [26] Cf. c. CXLI (Nov. 117) c. 13 et Ἀνέκδ. mea p. 216.

ὄντων ἔχειν καὶ τὴν αὐτῆς δεσποτείαν, ταύτας εἶναι διατυποῦμεν·[27]

κ΄. Ἐὰν κατὰ τῆς βασιλείας ἢ αὐτὸς βούληταί τι ἢ τοῦτό τισι βουλομένοις συνειδὼς μὴ φανερώσῃ τῇ βασιλείᾳ ἢ δι᾽ ἑαυτοῦ ἢ διὰ οἱουδήποτε τρόπου.[28]

κα΄. Ἐὰν οἱῳδήποτε τρόπῳ ὁ ἀνὴρ ἐπιβουλεύσῃ τῇ ζωῇ τῆς γυναικὸς, ἢ ἄλλων βουλομένων εἰδὼς μὴ φανερώσῃ τῇ γυναικὶ καὶ σπουδάσῃ κατὰ τοὺς νόμους ἐκδικῆσαι.[29]

κβ΄. Ἐὰν ὁ ἀνὴρ [τῇ] τῆς γυναικὸς σωφροσύνῃ ἐπιβουλεύων ἄλλοις αὐτὴν εἰς τὸ μοιχευθῆναι ἐπιχειρήσει προδοῦναι, ὑπόκειται τῇ διαλύσει.[30]

κγ΄. Οὐκ ἔρρωται διαζύγιον εἰ μὴ προσληφθῶσιν ζ΄ μάρτυρες ῥωμαῖοι ἔφηβοι, ἐν οἷς οὐκ ἔστιν ἀπελεύθερος τοῦ ποιοῦντος τὸ διαζύγιον ἢ τῶν ἀνιόντων ἢ τῶν κατιόντων.[31]

κδ΄. Οὐ δύνανται οἱ παῖδες διαλύειν τοὺς ὑπὲρ αὐτῶν γάμους εἰς βλάβην καὶ ζημίαν τῶν ὑπὲρ αὐτῶν τὰς προῖκας ἢ τὰς προγαμιαίας δωρεὰς ἐπιδεδωκότων.[32]

κε΄. Οὐ δύναται ἡ μήτηρ διαζύγιον πέμπειν τῷ ἀνδρὶ τῆς θυγατρὸς, οὔτε ὁ πατὴρ ὁ συναινέσας τῷ γάμῳ μὴ συναινούσης αὐτῷ τῆς θυγατρὸς, εἰ μὴ ἄρα ἀπὸ μεγάλης καὶ εὐλόγου αἰτίας γένηται. εἰ δὲ συναινούσης αὐτῆς διαλυθῇ ὁ γάμος, οὐ δύναται ἀνακαινίζειν αὐτὸν ἐν τῷ ὑποστρέφειν [πρὸς] τὸν ἄνδρα.[33]

κϛ΄. Ἐὰν ὑπεξουσία διαζύγιον στείλῃ ὥστε τὸν ἄνδρα κερδάναι καὶ τὸν πατέρα ζημιωθῆναι, οὕτως ἀπαιτεῖ τὴν προῖκα ὁ πατὴρ ὡσανεὶ ἐν τῷ γάμῳ ἡ παῖς ἐτελεύτησεν. — Ἐπὶ γὰρ τούτου καὶ μόνον τοῦ θέματος ἀναλαμβάνει ὁ πατὴρ τὴν προῖκα τῆς αὐτεξουσίας θυγατρὸς αὐτοῦ.[34]

κζ΄. Τῆς μαινομένης ὁ γάμος μένει ἐῤῥωμένος καὶ καλῶς αὐτῇ στέλλεται διαζύγιον. ἔοικε γὰρ τῷ ἀγνοοῦντι. αὐτὴ δὲ οὐ στέλλει οὔτε ὁ κουράτωρ αὐτῆς. ὁ δὲ πατὴρ δύναται στέλλειν διαζύγιον. — Μαινομένην ἐνταῦθα νόει τὴν πρὸ τῶν γάμων καὶ διὰ τοῦτο ἀγνοεῖν τὸ γινόμενον. — σημ. εἰ δὲ ὁ πατὴρ μαίνεται, αὐτὴ στέλλει τὸ διαζύγιον καὶ ἡ προῖξ συναινούσης αὐτῆς καλῶς τῷ κουράτωρι τοῦ πατρὸς αὐτῆς καταβάλλεται. ὡς βι. μϛ΄ τί. γ΄ διγ. ξ [ε΄].[35]

---

[27] Proch. 11, 13. [28] Lege προσώπου. — Proch. 11, 14. [29] Proch. 11, 15. [30] Proch. 11, 16. [31] Dig. 24, 2, 9. [32] Proch. 4, 21. [33] Cod. V, 17, 4. 5. [34] Dig. 24, 2, 5. cf. Bas. 28, 7, 12 cum schol. Anonymi. [35] Dig. 24, 2, 4. cf. Bas. 28, 7, 11 cum schol.

κη'. Ἀναγκαζέσθω ὁ ἀνὴρ πᾶσαν ἐπιμέλειαν ποιεῖσθαι τῆς μαινομένης αὐτοῦ γαμετῆς. εἰ δὲ ἐλπίζεται δαπανᾶν ἀσώτως τὴν προῖκα αὐτῆς, χρὴ μεσεγγυᾶσθαι αὐτὴν καὶ ἐξ αὐτῆς ἀποτρέφεσθαι τὴν γυναῖκα καὶ τὴν φαμηλίαν αὐτῆς. ὡς βι. κδ' τί. γ' διγ. κϛ'.[36]

κθ'. Ὁ γαμετὴν ἀλλοτρίαν ἐκ τῆς ὁδοῦ εἰς τὸν ἴδιον οἶκον λαμβάνων κἀκεῖ στείλας διαζύγιον τῷ ἀνδρὶ αὐτῆς, ἐπὶ τριετίαν ἐξορίζεται.[37]

λ'. Δεσπότης συνάπτων τὸν ἴδιον δοῦλον ἐλευθέρῳ προσώπῳ τινὶ συναινοῦντος τῷ γάμῳ ἢ ἐν εἰδήσει κακούργως σιωπῶν, οὔτε λῦσαι τὸν γάμον δύναται, ἀλλὰ καὶ τῆς δεσποτείας ἐκπίπτει. ὡς νεαρὰ κζ' κεφ.[38] — σχολ. Μεταξὺ δούλου καὶ ἐλευθέρας οὐ συνίσταται γάμος, οὐδὲ προῖξ οὐδὲ προγαμιαία δωρεά.

λα'. Ἐάν τις καταλιπών μοι κέρδος ἐν διαθήκῃ ἀξιώσει δέ με ἐλευθερῶσαι θεράπαιναν καὶ ἀγαγέσθαι αὐτὴν γαμετὴν, ἀνάγκην μὲν ἔχω ἐλευθερῶσαι αὐτὴν ὡς κερδάνας ἐκ τῆς διαθήκης, γῆμαι δὲ αὐτὴν οὐκ ἀναγκάζομαι. ὡς βι. μ' τί. β' διγ. ν'.[39]

λβ'. Ἐὰν ἐπίτροπος δούλῃ τοῦ ἐπιτροπευομένου συναφθῇ δῆθεν πρὸς γάμον καὶ τελευτήσει, ἐγγράψει δὲ αὐτὴν κληρονόμον, οὐδὲ τῆς δεσποτείας αὐτῆς ἀποστερεῖ τὸν ἐπιτροπευόμενον ἐκ τοῦ λαβεῖν αὐτὴν πρὸς γάμον, ἀλλ' οὐδὲ ἐν διαθήκῃ γράψας αὐτὴν κληρονόμον ἐλευθέραν αὐτὴν ἐποίησεν. ἀλλ' ὀφείλει κελεῦσαι τῷ ἐπιτροπευομένῳ καταδέξασθαι καὶ προσπορίσαι αὐτῷ τὴν κληρονομίαν.[40] — Οὐ δύναται δευτερογαμῆσαι ἄκοντος τοῦ πάτρωνος δούλη ἐλευθερωθεῖσα καὶ νομίμως αὐτῷ γαμηθεῖσα· τοῦτο γὰρ ποιοῦσα γάμον οὐ συνιστᾷ, ἀλλὰ πορνείαν καὶ φθορὰν πλημμελεῖ. ὡς κεφ. κθ'.[41]

λγ'. Οἱ ἀπὸ κεκωλυμένων γάμων τικτόμενοι οὐδὲ τῆς τῶν νόθων ἀξιοῦνται προσηγορίας οὐδὲ διαδέχονται κατά τινα τὸν ἴδιον πατέρα.[42]

λδ'. Περὶ νόθων. — Ἀθέμιτος γάμος ἐστὶν ὁ μεταξὺ ἀνιόντων καὶ κατιόντων. ἐπὶ δὲ τῶν κεκωλυμένων γάμων ἐκ πλαγίου ἢ δι' ἀγχιστείας ὁ λάθρα πλημμελῶν πλέον τιμωρεῖ-

---

36 Dig. 24, 3, 22 § 8. 37 Dig. 24, 2, 8. 38 Theod. Nov. 22 § 10. 39 Dig. 40, 5, 51 § 12. 40 Cod. VI, 27, 3. F βι. ϛ' τί. κζ' διατ. γ' τοῦ κώδ. 41 F νεα. κβ'. ἀνάγν. τί. κγ' κεφ. κθ'. λ'. — Theod. Nov. 22 § 37. 42 Theod. Nov. 74 § 11.

ται τοῦ φανερῶς ἁμαρτάνοντος. ὁ μὲν γὰρ ἀγνοεῖ ὃ ποιεῖ, ὁ δε λάθρα ποιῶν καταφρονεῖ.[43] — Ὁ νόθος παῖς γενόμενος γνήσιος μόνου τοῦ πατρὸς αὐτοῦ γίνεται γνήσιος, οὐκέτι δὲ καὶ τῶν κατιόντων ἢ τῶν ἀνιόντων ἢ τῶν ἐκ πλαγίου συγγενῶν τοῦ πατρός. οὐ κληρονομεῖ αὐτοὺς οὐδὲ κληρονομεῖται ἐξ αὐτῶν χωρὶς διαθήκης. καὶ σημ. ξένον νόμιμον. ὡς νεαρὰ πθ΄.[44]

λε΄. Ὁ ἐλάττων ἐπὶ προφανῆ γάμον [ἴνκεστον] ἁμαρτάνων ἐὰν ἀποστῇ τοῦ τοιούτου γάμου, συγγινώσκεται· μοιχείαν δὲ ἁμαρτάνων οὐ συγγινώσκεται. ὡς βι. μ΄ τί. ϛ΄ διγ.[45] — Ὅτι ὁ πρὸ κατηγορίας ἀναχωρῶν τοῦ ἰνκέστου γάμου συγγινώσκεται. τοῦτο δοκεῖ λέγειν ἴνκεστον γάμον πρὸς τὴν προγονὴν, πρὸς τὴν νύμφην, πρὸς τὴν μητρυιάν. ὅτι ἴνκεστος γάμος οὐδὲ ἀπὸ βασιλείας βεβαιοῦται.[46] — Ἐπὶ ἰνκέστου γάμου προῖξ οὐ συνίσταται, ἀλλὰ καὶ οἱ καρποὶ ἀπαιτοῦνται.[47] — σχόλ. Ἴσθι ὅτι ὀκταούγκιον λαμβάνουσιν οἱ ἐκ τοῦ πρώτου γάμου καὶ τὸ τετραούγκιον οἱ ἐκ τοῦ ἀθεμίτου, ἐὰν μετὰ τὴν διετίαν διελύθῃ ὁ γάμος. εἰ δὲ καὶ τῆς διετίας παραδραμούσης μὴ λύσει τὸν γάμον, τότε δημεύονται πάντα, τοῦ μὲν ἀνδρὸς ἡ περιουσία, τῆς δὲ γυναικὸς ἡ προῖξ, νομίμων μέντοιγε παίδων μὴ ὑπόντων αὐτοῖς. ὡς νεαρὰ οδ΄. ὡς βι. μη΄ τί. δ΄ διγ. λη΄.[48]

λϛ΄. Ὁ γάμον ἀθέμιτον συναλλάξας ἐὰν οὐκ ἔχει παῖδας ἀπὸ προτέρων νομίμων γάμων δημεύεται μετὰ τῆς ἐπιδοθείσης αὐτῷ προικός. τὰ οὖν εἰρημένα ἐπὶ ἀνδρὸς καὶ [ἐπὶ] γυναικὸς κρατεῖ. εἰ δὲ παῖδας ἔχει ἀπὸ τοῦ πρώτου γάμου, εὐθέως αὐτεξούσιοι γίνονται, πλὴν ὀφείλουσιν τρέφειν τοὺς ἑαυτῶν γονεῖς.[49] — Ἐπὶ τῶν ἐν ἀγνοίᾳ ἰνκέστων γάμων γενομένων δίδωσι συγγνώμην φύσις [καὶ] ἡλικία καὶ ἡ ἐπανόρθωσις τοῦ ἁμαρτηθέντος, καὶ μάλιστα εἰ μήπω τὶς αὐτῶν ἐκατηγόρησεν.[50]

λζ΄. Προικῴων ὑπόντων ἢ καὶ μὴ ὑπόντων γνησίους ποιεῖ τοὺς παῖδας ἡ πρὸς τὴν αὐτῶν μητέρα ἐλευθέραν οὖσαν γαμικὴ διάθεσις γενομένη παρὰ τοῦ οἰκείου πατρός.[51]

λη΄. Νόθοι εἰσὶν οἱ ἐξ ἐλευθέρας γινόμενοι παῖδες πρὸς ἣν οὐκ ἔσχεν ὁ πατὴρ αὐτῶν γαμικὴν διάθεσιν. — Τὸ αὐτὸ δὲ ἐστὶν καὶ [ἐπὶ] τῶν ἀπὸ δούλης τεχθέντων. κακεῖνοι γὰρ νόθοι νοοῦνται ἤτοι φυσικοί.[52] — σχόλ. οἱ ἐκ πορνείας καὶ συγκεχυ-

---

[43] Dig. 23, 2, 68. [44] Theod. Nov. 89 § 10. [45] Dig. 48, 5, 38 § 4. [46] Dig. 48, 5, 38 § 5. 6. [47] Dig. 23, 2, 52. [48] Theod. Nov. 12 § 3. [49] Theod. Nov. 12 § 1. 2 [50] Dig. 48, 5, 38 § 7. — F laudat βι. μη΄ τί. λη΄. [51] Theod. Nov. 89 § 1. [52] Theod. cit. § 2.

μένης σπορᾶς τικτόμενοι παῖδες λέγονται σπούριοι. οὗτοι δὲ τῇ μητρὶ ἕπονται, οἱ δὲ νόμιμοι παῖδες τῷ πατρί.[53]

λϑ'. Ὁ μὴ ἔχων γυναῖκα καὶ λαβὼν τὴν ἰδίαν δούλην παλλακὴν, ἐὰν ἐπιμείνῃ τῇ αὐτῇ βουλήσει μέχρι θανάτου, οὐ μόνον ἡ δούλη ἐλευθεροῦται, ἀλλὰ καὶ τὰ ἐξ αὐτῆς γεννώμενα· τοῦτο δὲ καὶ ἡ κϑ' νεαρὰ λέγει, ὅτι ὁ ἐλευθερῶν οὓς ἔσχεν παῖδας ἀπὸ δούλης γνησίους αὐτοὺς ποιεῖ. ὡς βι. ε' τί. δ' διατ. ιε' τοῦ κώδ. — σχόλ. Δύναται ἡ ἀπελευθέρα παλλακὴ γενέσθαι συγκλητικοῦ πάτρωνος, καὶ ἡ πρὸς αὐτὴν δωρεὰ ἔῤῥωται. ὡς βι. κδ' τί. α' διγ. ε'.[54] — Ὅτι ἰσχυρῶς ληγατεύεται τὰ τῇ παλλακίδι καταλιμπανόμενα· καὶ ἀπελευθέραν δὲ τὴν μὴ οὖσαν τοῦ πάτρωνος.[55] καὶ ὅτι τὸ ἀπὸ παλλακίδος τικτόμενον πορνογενές ἐστι καὶ καλῶς γράφεται ἀπὸ τοῦ φυσικοῦ πατρὸς κληρονόμος.

μ'. Ἐάν τις ἀγράφως κατὰ διάθεσιν γαμικὴν γυναῖκα λάβῃ καὶ παιδοποιήσει ἐξ αὐτῆς, εἶτα λύσας τὸ πρὸς αὐτὴν συνοικέσιον ἄλλην ἀγάγοιτο μετὰ προικῴων συμβολαίων καὶ ἐκ τῆς δευτέρας ὁμοίως παιδοποιήσει, μηδὲν γινέσθω πρόκριμα περὶ τὴν πατρικὴν κληρονομίαν τοῖς ἐκ τοῦ προτέρου γάμου παισὶν, ἀλλ' ἐπίσης τοῖς ἐκ τῆς δευτέρας τῆς μετὰ προικῴων συναφθείσης εἰς τὸν τοῦ πατρὸς καλείσθωσαν κλῆρον. τὸ δὲ αὐτὸ ἐστὶν εἰ καὶ τὸ ἀνάπαλιν τῇ μὲν πρώτῃ μετὰ προικῴων συνήφθη, τῇ δε δευτέρᾳ ἐκ μόνης διαθέσεως.[56]

μα'. Ὁ ἔχων νόθους παῖδας εἴπερ ἔχει καὶ γνησίους οὐ δύναται αὐτοῖς τοῖς νόθοις ἐν διαθήκῃ πλέον τῆς μιᾶς οὐγκίας ἅμα τῇ μητρὶ αὐτῶν δοῦναι· εἰ δὲ οὐκ ἔχει νόθους παῖδας, ἀλλὰ παλλακὴν μόνην, τότε ἡμισουύγκιον καταλιμπάνει τῇ παλλακῇ.[57]

μβ'. Ἐὰν δὲ γνησίους παῖδας οὐκ ἔχει, ἀλλὰ νόθους μόνον, τότε καλῶς γράφει αὐτοὺς κληρονόμους καὶ εἰς πᾶσαν τὴν οὐσίαν αὐτοῦ ἐν τῇ ἰδίᾳ διαθήκῃ, εἰ μὴ ἔχει ἀνιόντας. τούτοις γὰρ ὤφειλεν φυλάξαι τὸ νόμιμον, τὸ δὲ λοιπὸν τῆς αὐτοῦ ὑποστάσεως δύναται καταλιπεῖν αὐτοῖς τοῖς νόθοις αὐτοῦ υἱοῖς.[58] — σχόλ. Ὅτι ἐξ ἀδιαθέτου σὺν τῇ μητρὶ β' οὐγκίας

---

[53] Dig. 1, 5, 23, 24. [54] F addit σημ. ὅτι καὶ εὐγενὴς γυναῖκα δύναται ἔχειν παλλακὴν, καὶ ὁ παλλακίδι μιγνύμενος οὐχ ἁμαρτάνει στροῦπτον. [55] Dig. 34, 9, 16. F addit βι. λδ' τί. ϑ' διγ. ις'. [56] F addit ἀνάγν. βι. ε' τί. λε' τοῦ κώδ. νεα. οη'. — c. CXLI (Nov. 117) c. 3. [57] Theod. Nov. 89 § 20. [58] Theod. cit.

λαμβάνουσιν, ὅτε οὐκ εἰσὶν κληρονόμοι ἄλλοι γνήσιοι. — Ὁ τὸν ἐξ ἐλευθέρας υἱὸν ἐν ἀγοραίῳ ἰδιοχείρῳ συμβολαίῳ ὑπὸ τριῶν ἀξιοπίστων μαρτύρων ἢ ἐπὶ πράξεως ὑπομνημάτων υἱὸν ἀποκαλέσας, μὴ προσθεὶς φυσικὸν, αὐτὸν ἅμα τοῖς ἄλλοις παισὶ, κἂν νόθοι εἶεν, γνήσιον καὶ τὸν γάμον νόμιμον ποιεῖ.[59]

μγ΄. Οἱ ἐκ διαφόρων παλλακῶν παῖδες οὐ κληρονομοῦσιν ὑπόντων γνησίων παίδων ἢ γαμετῆς ἢ ἄλλων διαδόχων αὐτοῦ, ἀλλὰ μόνον τρέφονται ἐκ τῶν κληρονομούντων τὸν πατέρα αὐτῶν, ἐὰν οὐ διέθετο.[60] ἡ γὰρ πρόνοια τῶν ἀλιμέντων τουτέστι τῶν τροφῶν οὐ δοκεῖ προκριματίζειν τὴν ἀλήθειαν.[61] — Τούτῳ τῷ κανόνι περὶ ἀμφιβαλλομένου παιδός ἐστιν, τίς αὐτὸν διαθρέψει, κἄντε ὁ λεγόμενος πατὴρ κἄντε ἡ μήτηρ αὐτοῦ. — Οἱ μὲν ἐξ ἐννόμων [γάμων] ἕπονται τῷ πατρὶ καὶ τὴν αὐτοῦ ἐπιδιώκουσι φαμιλίαν, ὁ δὲ ἐκ πορνείας συνειλημμένος τῇ μητρὶ κατακολουθεῖ. ὡς βι. α΄ τί. ε΄ διγ. ιθ΄.[62]

μδ΄. Ὁ ἐν τάξει γαμετῆς ἀγόμενος γυναῖκα μετὰ ὅρκου δόσεως προικὸς μὴ παρακολουθησάσης, ἐὰν ἀλόγως αὐτὴν ἐξωθήσῃ, διδότω αὐτῇ τὸ τέταρτον τῆς ἰδίας περιουσίας. ὡς κεφ. κθ΄.[63]

με΄. Ὁ συγκλητικὸς καὶ πᾶς ἁπλῶς τίμιος ἄνθρωπος οὐδὲ διὰ βασιλικῆς κελεύσεως δύναται νομίμους ποιῆσαι οὓς ἔσχε ἐξ ἀτίμων ἢ εὐτελῶν γυναικῶν. ἰστέον γὰρ καὶ εἰ τοῖς τοιούτοις παισὶ δώσει τὶ οἱονδήποτε, διεκδικοῦσιν αὐτὸ οἱ νόμιμοι υἱοί. εἰ δὲ παῖδας νομίμους οὐκ ἔχει, φισκοῦνται τὰ δοθέντα.[64]

μϛ΄. Ὁ συνήθειαν ἔχων πρὸς ἐλευθέραν γυναῖκα μὴ κεκωλυμένην αὐτῷ παρὰ τοῦ νόμου γαμεῖσθαι, ἐὰν σχῇ παῖδας ἐξ αὐτῆς καὶ μετὰ ταῦτα ποιήσει προικῷον συμβόλαιον, οὐ μόνον οἱ μετὰ ταῦτα τικτόμενοι γνήσιοι νοοῦνται, ἀλλὰ καὶ οἱ προτεχθέντες.[65] — Ὡσαύτως καὶ τὰ ἄπροικα συνοικέσια τὸν ἀλόγως λύοντα τὸν γάμον ζημιοῦσιν εἰς τὸ τέταρτον τῆς οὐσίας αὐτοῦ, ἐὰν δηλονότι οὐχ ὑπερβαίνει τὰς ρ΄ λίτρας τοῦ χρυσίου. καὶ εἰ μὲν ἀνήρ ἐστιν, ἐνιαυτὸν ποιήσει εἰς τὸ μὴ δευτερογαμῆσαι. εἰ δὲ γυνὴ ἡ τοῦτο ποιοῦσα, οὐ δύναται δευτερογαμεῖν, εἰ μὴ παρέλθῃ ὁ β΄ χρόνος.[66] καὶ εἰ παῖδας ἔχουσιν, τρέ-

[59] c. CXLI (Nov. 117) c. 2. Cf. Ἀνέκδ. mea. p. 215. [60] Theod. Nov. 89 § 21. [61] Dig. 25, 3, 5 § 9. [62] Cf. Bas. 46, 1, 15 schol. [63] Theod. Nov. 74 § 8. [64] Cod. 5, 27, 1. [65] Cod. 5, 27, 10. [66] Theod. Nov. 22 § 16.

φονται παρὰ τῷ μὴ δεδωκότι τὴν αἰτίαν τῆς λύσεως τοῦ συνοικεσίου. κατὰ ιζ' νεαράν.[67]

μζ'. Πενταετίᾳ σβέννυται τὸ ἔγκλημα τῆς μοιχείας. ἀλλὰ τοῦτο λέγομεν περὶ τῶν εἰς ἑκοῦσαν ἡμαρτηκότων.[68]

μη'. Μηδεὶς τοῦ ἀδελφοῦ γαμετὴν ἀγέσθω κἂν παρθένος ἐστίν. οὐδὲ γὰρ τῇ συναφείᾳ ὁ γάμος ἀλλὰ τῇ διαθέσει συνέστη. οὐδὲ παῖδες οἱ ἐντεῦθεν τικτόμενοι, ὑφεξηρημένων τῶν αἰγυπτίων τῶν ἤδη τοῦτο ποιησάντων.[69]

μθ'. Δύο γαμετὰς οὐδεὶς δύναται ἔχειν. διὸ ὁ τοῦτο τολμῶν ποιῆσαι τυπτέσθω ἐκδιωκομένης τῆς ἐπεισάκτου μετὰ τῶν κακῶς ἐξ αὐτῆς τεχθέντων παίδων.[70]

ν'. Περὶ ἀποκαταστάσεως προικιμαίων καὶ προγαμιαίων πραγμάτων καὶ περὶ τῆς τεκούσης τῷ ια' μηνὶ μετὰ τὴν τοῦ ἀνδρὸς τελευτήν. βι. κη'.[71] Ἴσμεν ὅτι πρῴην νόμον ἐγράψαμεν καθ' ἅπαξ κωλύοντα τὰ ἀποκαστάσει βεβαρημένα πράγματα μὴ ἐκποιεῖσθαι ἢ ὑποτίθεσθαι, ἀλλὰ μετὰ τῆς ἰδίας ὁδεύειν τύχης, καὶ παρ' ᾧπερ ἂν γένοιτο μὴ μένειν ἰσχυρῶς, ἀλλ' ἐπανιέναι πρὸς τὸν ᾧ δοθῆναι προσετάχθη. καὶ ὅ γε νόμος ἤδη που καὶ χρόνιός ἐστιν καὶ ἐν τοῖς δικαστηρίοις εὐδοκιμῶν διετέλεσεν. ἀλλ' ἔμελλεν ὅπερ εἰπόντες ἔφημεν ὁ φέρειν ἅπαντα πεφυκὼς χρόνος δεικνύναι, δεῖν τινος ἐξαιρέσεως ἀναγκαίας τῷ νόμῳ. ὥστε θεσπίζομεν, εἴ τι τοιοῦτο συμβαίη καὶ πρὸ τοῦ πενθίμου χρόνου τέκοι γυνὴ πρὸς τῷ πέρατι τοῦ ἔτους, ὥστε ἀναμφισβήτητον εἶναι τὴν γονὴν ἐκ τοῦ προτέρου μὴ καθεστάναι συνοικεσίου, παντοίως αὐτὴν στερεῖσθαι τῆς προγαμιαίας δωρεᾶς καὶ κατὰ δεσποτείαν καὶ κατὰ χρῆσιν, ὑποκειμένην καὶ τοῖς ἄλλοις ἅπασιν ἐπιτιμίοις ὡσανεὶ δευτέροις ἔτυχε πρὸ τοῦ πενθίμου χρόνου νομίμοις ὁμιλήσασα γάμοις. μὴ γάρ ποτε πλεῖον ἐχέτω σωφροσύνης ἀσέλγεια· ἀλλ' ὑποκείσθω μὲν καὶ αὐτὴ ταῖς αὐταῖς ποιναῖς, κινδυνευέτω δὲ καὶ περὶ τὴν ἐλπίδα τῆς ἀπὸ τῆς μοιχείας γραφῆς, ὅπως ἂν μηδὲ γάμον ἄωρον ἐπιθυμοίη μηδὲ τοὺς νομίμους γάμους μείζονι κακῷ ἐσφέροιτο.

---

67 Lege ρις.' c. CXLI c. 7. 68 Dig. 48, 5, 29 § 6—9. Proch. 39, 26. 69 Cod. 5, 5, 8. Cf. Ἀνέκδ. mea p. 187. V addit: *οὔτε ὁ ἀδελφὸς τὴν μνηστὴν τοῦ ἀδελφοῦ δύναται λαβεῖν μετὰ θάνατον τοῦ ἀδελφοῦ εἰς γάμον· κἂν γὰρ μνηστὴ αὐτοῦ ἦν γυνὴ αὐτοῦ κἂν παρθένος ἔμεινε.* Haec nimirum post decreta P. Xiphilini de 1066 addita esse patet. 70 Ecloga 17, 35. Epanag. 40, 63. 71 Scil. Bas. tit. 15 ex c. L (Nov. 39) pr. et c. 2.

ΤΙΤΛΟΣ κε'.

Περὶ δευτερογαμούντων καὶ προγάμου δωρεᾶς, καὶ περὶ τῶν πενθούντων γυναικῶν, καὶ ἀναργυρίας προικός.

α'. Ἡ μὴ δευτερογαμοῦσα μήτηρ καὶ πᾶς ἀνιὼν μὴ δευτερογαμῶν λαμβάνει πρὸς τῇ χρήσει τῶν γαμικῶν κερδῶν καὶ μέρος κατὰ δεσποτείαν ἑνὸς παιδός. τοῦτο δὲ ἐπὶ τῶν τελευτῇ καὶ οὐ διαζυγίῳ λυομένων.[1]

β'. Τοῖς δὲ παισὶν ἁρμόζει πᾶν γαμικὸν κέρδος ἐξ οἱασδήποτε λύσεως κατὰ δεσποτείαν κἂν μὴ δευτερογαμήσωσιν οἱ γονεῖς αὐτῶν, οἵτινες τὴν χρῆσιν τῶν τοιούτων κερδῶν ἔχουσιν τρέφοντες τοὺς αὐτῶν παῖδας. ἀνάγν. νεαρὰν β'.[2]

γ'. Τῆς δευτερογαμούσης γυναικὸς τὴν δωρεὰν ἤτοι τὰ γαμικὰ κέρδη οἱ παῖδες λαμβάνουσιν κατὰ δεσποτείαν, μὴ δυναμένης αὐτῆς τινα μὲν αὐτῶν τῶν παίδων προτιμᾶν περὶ αὐτὰ ὧν ἔχει μόνην τὴν χρῆσιν.[3] εἰς δὲ τὰ γαμικὰ κέρδη τουτέστιν εἰς τὰ ἐξ ἀπαιδίας ὡς θέλει διανέμει τοῖς παισὶ τὸ κερδαῖνον αὐτὰ πρόσωπον. ὡς νεα. β'.[4]

δ'. Τῶν ἁρμοζόντων τοῖς παισὶ καθ' οἱονδήποτε τρόπον προσκτήσεως ἡ μὲν χρῆσις τῷ πατρὶ αὐτῶν ἀνήκει καὶ δευτερογαμοῦντι ὑφεξῃρημένων τῶν καστρεσίων πεκουλίων· ἡ δὲ δεσποτεία αὐτοῖς τοῖς παισὶ φυλάττεται.[5]

ε'. Δευτερογαμῶν ὁ πατὴρ ἀπαιτεῖται ὑπὸ τοῦ ἰδίου παιδὸς λεγαταρίου ὄντος τὴν λεγατόρουμ τουτέστιν ἱκανοδοσίαν. εἰ γὰρ μὴ δευτερογαμήσει, οὐκ ἀπαιτεῖται τὴν τοιαύτην ἀσφάλειαν. ὡς νεα. β'.[6]

ϛ'. Οἱ γονεῖς ἐπὶ παισὶ δευτερογαμοῦντες χρῆσιν μόνον ἔχουσιν ὧν κερδαίνουσιν ἀπὸ τοῦ πρώτου γάμου, μήτε βεβαίως ἐκποιοῦντες αὐτά. εἰ γὰρ ἐκποιήσονταί τι αὐτῶν, ἐκδικεῖται, εἰ μὴ ἄρα τριακονταετία παρῆλθεν· ψηφιζόμενος ὁ χρόνος ἀφ' οὗ γεγόνασιν αὐτεξούσιοι οἱ ὀφείλοντες ταῦτα διεκδικεῖν παῖδες ἢ ἔγγονοι.[7]

ζ'. Ὅτι κἂν δευτέρῳ γάμῳ προσομιλήσει ὁ πατὴρ ἢ ἡ μήτηρ κληρονομοῦσιν τὸν υἱὸν αὐτῶν. δηλονότι εἰς τὴν ἰδικὴν

---

[1] Proch. 6, 1. [2] Proch cit. [3] Theod. Nov. 2 § 1. [4] Theod. Nov. 22 § 28. [5] Theod. Nov. 22 § 36. [6] Theod. Nov. 22 § 43. [7] Theod. Nov. 22 § 27. — F addit *σῆ. τῇ ἀνήβῳ ἡλικίᾳ χρόνος οὐ τρέχει.*

αὐτοῦ περιουσίαν, τουτέστιν εἰς τὰς ἔξωθεν τῶν ἕδνων ἢ τῆς προικός· ἐκεῖθεν γὰρ οὐδὲν λήψονται, εἰ μὴ τὸ ἐξ ἀπαιδίας. τὰ δὲ εἰρημένα κρατεῖ κἂν μεθὸ κληρονομήσωσιν δευτερογαμήσωσιν.[8]

η΄. Περὶ τὰ ἕδνα μόνα ζημιοῦται ἡ δευτερογαμοῦσα. καὶ εὐλόγως· ἐπειδὴ γὰρ εἰς τὸν γάμον ἀνήκουσιν ὃν παρέβη καὶ δοκοῦσιν ἀκμὴν εἶναι τοῦ τελευτήσαντος πρώτου αὐτῆς ἀνδρός. ἡ γὰρ λοιπὴ οὐσία αὐτοῦ μετὰ τελευτὴν νοεῖται τῶν υἱῶν αὐτοῦ. ὅθεν καλῶς αὐτὴν διαδέχεται ἡ μήτηρ ὡς τῶν παίδων οὖσαν καὶ δευτερογαμοῦσα, οὐκέτι μὴν τοῦ ἀνδρός. εἰ μὴ ἄρα πρὸ τοῦ πενθίμου χρόνου συνήφθη δευτέρῳ ἀνδρὶ καὶ ἄλλους ἔχει υἱούς· κατὰ αὐτὴν τὴν εἰρημένην νεαρὰν κβ΄.[9]

θ΄. Οἱ γονεῖς δύνανται ἐκποιεῖν τὰ κερδανθέντα, ἐὰν οἱ παῖδες αὐτῶν προετελεύτησαν, δηλονότι μὴ ἔχοντες ἄλλους κληρονόμους ἢ διαδόχους. εἰ γὰρ ἔχουσιν, τὸ ἐξ ἀπαιδίας μόνον ἐκποιοῦσιν.[10]

ι΄. Ἑνὸς τῶν παίδων τελευτῶντος ἄπαιδος ὁ μὲν περιὼν γονεὺς δευτερογαμήσας δηλονότι μόνον τὸ ἐξ ἀπαιδίας μέρος λαμβάνει, τὸ δὲ λοιπὸν εἰς τοὺς διαδόχους τοῦ ἀδελφοῦ αὐτοῦ ἐλεύσεται.[11]

ια΄. Ἰστέον δὲ ἐὰν παραλειφθῇ ἡ μήτηρ ὑπὸ τοῦ αὐτῆς παιδὸς διαθεμένου ἢ ἀλόγως ἀπόκληρος γένηται, ἔχει κατὰ τῆς διαθήκης τὸ περὶ μέμψεως. δεῖ γὰρ τὸ νόμιμον μέρος αὐτῇ καταλειφθῆναι.[12]

ιβ΄. Ἡ μήτηρ καὶ δευτερογαμοῦσα λαμβάνει τὸ ὑπὸ τοῦ ἰδίου παιδὸς ἐαθὲν αὐτῇ ἐν διαθήκῃ. ἔγνως γὰρ ἐν τῇ β΄ νεαρᾷ ὡς ἀναγκάζεται αὐτῇ ἐάσαι τὸ νόμιμον ποστημόριον. ὡς βι. ϛ΄ διατ. ε΄ [13] τοῦ κώδ.[14]

ιγ΄. Ἡ μήτηρ συγκληρονομεῖ τοῖς ἰδίοις τέκνοις, κἂν ἄῤῥενες κἂν θήλειαί εἰσιν, τὸ τελευτῆσαν αὐτῆς μὲν τέκνον, ἐκείνων δὲ ἀδελφὸν, ἑνὸς ἀδελφοῦ μέρος λαμβάνουσα.[15] — Ἰστέον δὲ τὸν περὶ ἀχαριστίας νόμον, ὅτι ἀχάριστος ἀδελφὸς νοεῖται ὁ ἐπιβουλεύων τῇ ζωῇ ἢ τῇ οὐσίᾳ τοῦ ἀδελφοῦ αὐτοῦ ἢ ἐγκληματικῶς αὐτὸν κατηγορῶν. τοῦ γὰρ τοιούτου ἀδελφοῦ τὸ μέρος συγκληρονομεῖ μετὰ τοῖς ἀδελφοῖς αὐτοῦ τοῖς λοιποῖς ἡ μήτηρ. ὅτι καὶ ἀχαριστία καὶ ἐξ ἀδιαθέτου τρακταΐζεται[17], καὶ ὅτι οἱ

---

[8] Theod. Nov. 2 § 5. [9] Theod. Nov. 2 § 2. [10] Theod. Nov. 22 § 29. [11] Theod. Nov. 22 § 30. [12] Theod. Nov. 2 § 4. [13] Theod. τί. μ΄ διατ. β΄. [14] Theod. Nov. 22 § 46. [15] Theod. Nov. 22 § 50. [16] Theod. Nov. 22 § 48.

ἔγγονοι ὑπεισέρχονται τῷ προσώπῳ τῶν ἰδίων γονέων καὶ κληρονομοῦσιν.

ιδ΄. Τῆς δὲ προγαμιαίας δωρεᾶς εἰς δεύτερον ἐλθοῦσα συνοικέσιον μηδὲ καθόσον κληρονομεῖ τοῦ παιδὸς ἀπολαυέτω, ἀλλὰ τοῦτο τῶν παίδων ἔστω μόνον κέρδος αὐτοῖς παρὰ τοῦ νόμου δεδομένον, καὶ μὴ δοκοῦν εἶναι μέρος τοῦ κλήρου τοῦ παιδὸς, ἀλλ᾽ ἔτι τῆς προγαμιαίας δωρεᾶς οὐκ ἀποβαλὸν τὴν φύσιν.[17]

ιε΄. Ἐάν τις ἀδιάδετος τελευτήσῃ ἐπὶ δευτερογαμησάσῃ μητρὶ καὶ ἀδελφοῖς, τῶν μὲν πατρῴων τῶν αὐτῶν πραγμάτων ἤτοι τῶν ἕδνων ἡ μήτηρ ἐχέτω τὴν χρῆσιν. ἐπὶ δὲ τελευτώσης αὐτῆς καὶ ἡ χρῆσις τῶν τοιούτων πραγμάτων τοῖς περιλιμπανομένοις παισὶν ἁρμόζει κατὰ τὴν β΄ νεαράν. εἰ δὲ προτελευτήσωσιν οἱ παῖδες, λαμβάνει ἀπὸ τῶν ἕδνων τὸ ἐξ ἀπαιδίας καὶ κατὰ δεσποτείαν.[18] — Τὸ οὖν εἰρημένον ἐνταῦθα νόμιμον,[19] εἴ γε ζώντων τῶν παίδων δευτερογαμήσει ἡ μήτηρ. μόνην γὰρ τὴν χρῆσιν ἔχει τῶν ἕδνων, ὡς ταῦτά φησιν ἡ προλεχθεῖσα νεαρὰ β΄. εἰς δὲ τὰ λοιπὰ πράγματα τοῦ πρώτου αὐτῆς ἀνδρὸς καλεῖται μετὰ τῶν ἀδελφῶν αὐτοῦ, δηλονότι ἐπίσης φυλαττομένων καὶ ἐνταῦθα τῶν περὶ ἀχαριστίας νόμων.[20]

ις΄. Ὁ [δευτερογαμήσας τὰ ἐκ τοῦ πρώτου γάμου κέρδη τῶν αὐτοῦ παίδων προτελευτησάντων ἐχέτω καὶ ἐκδικείτω παρὰ τῶν ἐχόντων].[21] ὡς νεαρὰ ξθ΄. βι. ε΄ τί. θ΄ διατ. ιδ΄ τοῦ κώδ.[23] — Ἐὰν ἐκ τοῦ προτέρου γάμου παῖδες ἐτέχθησαν ἢ τεχθέντες ἐτελεύτησαν, οὐκ ὀφείλει κερδᾶναι ἐξ αὐτοῦ τοῦ συνοικεσίου τὸ δευτερογαμοῦν πρόσωπον εἰ μὴ μόνον τὸ ἐξ ἀπαιδίας κάσον.

ιζ΄. Ἐὰν οἱ δευτερογαμοῦντες [τὰ] γαμικὰ κέρδη μὴ ἐκποιήσωσιν μήτε ὑποθῶνται ῥητῶς μήτε ἄλλοις παραπέμψωσιν ἀπὸ τελευταίας βουλήσεως, λαμβανέτωσαν αὐτὰ οἱ τεχθέντες αὐτοῖς ἐκ τοῦ αὐτοῦ γάμου ἐξίσου, κἂν μὴ κληρονομήσωσιν αὐτοὺς, εἰ μὴ ἄρα ὀφθῶσιν ἀχάριστοι. [τὸ γὰρ τοῦ ἀχαρίστου παιδὸς μέρος προσαυξάνεται τοῖς λοιποῖς ἀδελφοῖς· εἰ δὲ πάντες οἱ παῖδες εὑρεθῶσιν ἀχάριστοι], τότε τὸ μέρος αὐτῶν

---

17 Proch. 6, 3 in fine. 18 Theod. Nov. 22 § 47. 48. 19 νόει μοι? 20 Theod. Nov. 22 § 48. 21 Uncis inclusa a secunda manu erasa sunt. 22 F laudat βι. ε΄ τοῦ κώδ. τί. β΄ διατ. ια΄. cf. Cod. 5, 9, 11.

προστίθεται τοῖς κληρονόμοις τῶν ἰδίων γονέων κἂν ἐξωτικοί εἰσιν.[23] *Ἴσθι δὲ ὅτι καὶ ἐνταῦθα ὑπεισέρχονται οἱ ἔγγονοι τὸ πρόσωπον τοῦ ἰδίου γονέως, ἐὰν τὸν πατέρα κληρονομήσωσιν. Κρατεῖ τὰ εἰρημένα καὶ ἐπὶ τῶν ἀπροίκων κερδαινόντων τὸ τέταρτον τῆς οὐσίας οἱουδήποτε μέρους τῶν κάσων.*[24] *ἀνάγν. βι. ε΄ τί. θ΄ διατ. θ΄ τοῦ κώδ.*[24]

ιη΄. Τὸ ἐπὶ τὸ μὴ δευτερογαμῆσαι καταλιμπανόμενον ὑπὸ τοῦ συνοίκου οὐκ ἀπαιτεῖται πρὸ ἐνιαυτοῦ, εἰ μὰ ἄρα ἱερωσύνη τὴν δευτερογαμίαν ἐκώλυσεν· μετὰ γὰρ τὸν ἐνιαυτὸν λαμβάνει αὐτὰ ἀσφαλιζόμενος ὡς εἰ δευτερογαμήσει ἀναδίδωσιν αὐτὰ μετὰ τῶν ἐπαυξήσεων. ἀλλ' εἰ μὲν ἀκίνητά εἰσιν, διομνύτω τὴν αὐτῶν ἀποκατάστασιν ὑποτιθέμενος τὰ ἑαυτοῦ κἂν τὰ μάλιστα σιωπηρῶς ὑπόκεινται. εἰ δὲ κινητά εἰσιν, ὁμολογείτω τὴν αὐτῶν ἀποκατάστασιν μετὰ καὶ τῶν καρπῶν ἐὰν εὔπορός ἐστιν. εἰ δὲ χρήματά εἰσιν, ἀναδιδότω καὶ οὓς ἔλαβεν ἐξ αὐτῶν τόκους δανείσας. εἰ δὲ καὶ οὐκ ἐδάνεισεν ἀλλὰ συνεχρήσατο, τρίτον ἑκατοστῆς τόκον διδότω· ἐὰν δὲ ἀπορῇ, καὶ ἐγγυὰς ἀπαιτείσθω. εἰ δὲ καὶ ἐγγυῶν οὐκ εὐπορεῖ, ἐξομνύσθω. ἀνάγν. βι. ε΄ τί. θ΄ διατ. γ΄ τοῦ κώδ.[26]

ιθ΄. Τὰ εἰρημένα κρατεῖ οὐ μόνον ἐπὶ τῶν ἀλλήλοις συναπτομένων καὶ λεγατευνόντων ἑαυτοῖς τινα πράγματα ἐπὶ τὸ μὴ δευτερογαμεῖν, ἀλλὰ καὶ ἐπὶ ἐξωτικῶν λεγατευόντων τισιν ἐπὶ τοιαύτην αἵρεσιν. καὶ μὴ λάθῃ σε ὡς οὐ δύναται ὁ καταλιμπάνων τὸ τοιοῦτον λεγάτον συγχωρῆσαι τὴν περὶ αὐτοῦ εἰρημένην ἀσφάλειαν. ὡς βι. ς΄ τοῦ κώδ. τί. μδ΄ διατ. ς΄. ἴσθι δὲ ὥς φησιν ἡ νεα. ρκγ΄, ὡς τὰ ἐαθέντα τινὶ ἢ ἐπὶ αἱρέσει γάμου ἢ παιδοποιΐας καταλιμπανόμενα, εἰ χειροτονηθῇ ἢ μονάσῃ, λύεται ἡ τοιαύτη ἀσφάλεια.[27]

κ΄. Τὸ δευτερογαμοῦν ἐπὶ παισὶ πρόσωπον κατ' οὐδένα τρόπον δίδωσιν ἐκ τῆς αὐτοῦ περιουσίας εἰς προῖκα ἢ προγάμου δωρεὰν πλέον τοῦ ἁρμόζοντος μέρους ἑνὶ τῶν παίδων τὸ ἔλαττον ἔχοντι, δηλονότι ἐχόντων αὐτῶν [τῶν] παίδων τὸ ποστημόριον τουτέστι τὸ νόμιμον, ἐξωθουμένων τῶν ἀχαρίστων. ἰστέον δὲ, ἡ οὐσία τοῦ τοιούτου προῖκα ἢ προγάμου δωρεὰν καταγραφέντος σκοπεῖται ἐξ ἰμβέντου κατὰ τὴν τελευτὴν τοῦ προαποθανόντος, οὐ μὴν ἀλλὰ καὶ τὸ ποσὸν [ὧν] ἐπιδίδωσιν.

---

[23] Theod. Nov. 22 § 23. [24] F pergit *καὶ οὗτοι γὰρ καλῶς πακτεύουσιν. ἀνάγν. βι. β΄ ἰνστ. θ΄. ἀνάγν. β. ς΄ τί. ξ΄ διατ. α΄. βι. γ΄ τοῦ κώδ. τί. ξα΄.* [25] Theod. l. l. [26] Theod Nov. 22 § 44. [27] Theod. l. l.

ἀνάγν. βι. ε΄ τοῦ κώδ. τί. θ΄ διατ. ς΄ καὶ θ΄ καὶ ι΄, καὶ μὴ λάθῃ σε ἡ ιγ΄ διάτ. τοῦ αὐτοῦ τί. καὶ βι. δια[στίζουσα] περὶ ἐπερωτήσεως. καὶ ἀνάγν. τὴν ιη΄ διάτ.[28]

κα΄. Τὸ περὶ διακατοχῆς. — Ἐὰν τὰ ἕδνα ἀκίνητά εἰσιν, κρατεῖ αὐτὰ ἡ γυνὴ καὶ τὴν χρῆσιν αὐτῶν ἔχει καὶ δευτερογαμοῦσα, τῆς εἰρημένης διαιρέσεως κρατούσης ἐπὶ τῆς τῶν παίδων αὐτῆς διακατοχῆς. εἰ δὲ κινητά εἰσιν, μένουσι μὲν παρὰ τοῖς τεχθεῖσι παισὶν ἐκ τοῦ πρώτου ἀνδρός, αὐτὴ δὲ ἡ γυνὴ λαμβάνει τρίτον ἑκατοστῆς τόκον σὺν ἀσφαλείᾳ ᾗ δ' ἂν βούληται. εἰ δὲ ἐν κινητοῖς καὶ ἀκινήτοις ὑπάρχουσιν αὐτὰ τὰ ἕδνα, τότε τῶν μὲν ἀκινήτων ἔχει πάλιν τὴν χρῆσιν, τῶν δὲ κινητῶν λαμβάνει τὸν λεχθέντα τόκον.[29] καθὼς κεῖται ἐν τῇ κβ΄ νεαρᾷ· εἰ δὲ ἐν κινητοῖς καὶ ἀκινήτοις εἰσὶ τὰ ἕδνα, ἐπιλεγέσθω ἡ γυνὴ τὰ πράγματα σὺν τῇ ἀσφαλείᾳ τῆς ἀποκαταστάσεως τῶν τόκων· ὃ γὰρ βούλεται ποιείτω. ὡς βι. ε΄ τί. θ΄ διατ. γ΄ καὶ δ΄ τοῦ κώδ.[30]

κβ΄. Κἂν δευτερογαμήσει ὁ πατήρ, τὴν δεσποτείαν τῶν μητρῴων αὐτοῦ πραγμάτων ἔχει ὁ ὑπεξούσιος αὐτοῦ υἱός, τὸν δὲ οὐσούφρουκτον τῷ ἰδίῳ πατρὶ προσπορίζει, ὥστε τελευτῶντος τοῦ πατρὸς λαμβάνει κατ' ἐξαίρετον ὁ υἱὸς τὰ μητρῷα καὶ τὰ γαμικὰ αὐτοῦ πράγματα. ἡ δὲ α΄ διάτ. τοῦ η΄ τί. τοῦ η΄ βι. τοῦ κώδ. λέγει, δύνασθαι τὴν μητέρα κελεύειν μὴ ἔχειν τὴν χρῆσιν τὸν πατέρα τῶν ἐαθέντων παρ' αὐτῆς τῷ κοινῷ ὑπεξουσίῳ παιδὶ μετὰ νόμιμον μέρος. ἡ δὲ γ΄ διάτ. τοῦ ζ΄ τί. τοῦ ς΄ βι. τοῦ κώδ. διαγορεύει, ὅτι ὁ αὐτεξούσιος υἱὸς μερίζεται τὸν οὐσούφρουκτον τῶν μητρῴων αὐτοῦ πραγμάτων μετὰ τοῦ ἐμαγκηπατεύσαντος αὐτὸν ἰδίου πατρός, τουτέστι ποιήσαντος αὐτὸν αὐτεξούσιον, καὶ ἐὰν ἔχει ἀδελφὸν ὑπεξούσιον, λαμβάνει μὲν ἐκεῖνος κατ' ἰδίαν τὸ ἀναλογοῦν αὐτῷ τῆς χρήσεως τῶν κοινῶν μητρικῶν αὐτοῦ πραγμάτων, τὸ δέ ὑπολειφθέν μέρος μερίζεται μετὰ τοῦ πατρός. τοῦτο δὲ κρατεῖ καὶ ἐπὶ ὑπεξουσίου ἐγγόνου.[31]

κγ΄. Ἐάν τις τῶν γημάντων κατὰ οὐσούφρουκτον πράγματα ἐάσῃ, οὐδὲ δεύτερος γάμος λύει αὐτόν, εἰ μὴ ἄρα ὁ καταλιπὼν εἴπῃ μὴ δοθῆναι αὐτῷ τὸν οὐσούφρουκτον τῇ δευτερογαμίᾳ. εἰ δὲ εὑρεθείη χρῆσις μέρος τῶν ἐπιδοθέντων ἐν προικὶ ἢ προ-

---

[28] Theod. Nov. 22 § 32. [29] Theod. Nov. 2 § 7. [30] Theod. Nov. 22 § 45. [31] l. 1. 3 C. 6, 60 ex Codice Theodori. cf. schol. Bas. ed. Heimbach IV p. 527, sq.

γάμου δωρεᾶ, τότε οὐ λύεται, κἂν κελεύσει ὁ ἐάσας αὐτὸ λυθῆναι, ἐφ' ὅσον περίεστιν ἐκεῖνος ᾧπερ ὁ κάσος ἥρμοσεν. ὡς νεα. β'.[32]

κδ'. Μήτηρ υἱῷ δωρουμένη εἰ δευτερογαμήσει οὐκ ἀφαιρεῖται παρ' αὐτοῦ τὸ δωρηθὲν, οὐδὲ ὡς ἀπὸ ἀχαρίστου, εἰ μὴ ἄρα περὶ τὴν ζωὴν ἢ περὶ πᾶσαν τὴν οὐσίαν αὐτῆς ἐπεβούλευσεν ἢ ἐξ αὐτοῦ ἐτύφθη.[33] ἀνάγν. βι. η' τί. νε' διατ. β' καὶ θ' τοῦ κώδ.[34]

κε'. Ὁ πατὴρ προῖκα ἢ προγάμου δωρεὰν ὑπὲρ τῶν ἑαυτοῦ παίδων ἐπερωτώμενος δοκεῖ ἐκ τῆς ἰδίας ὑποστάσεως ταύτην ποιεῖσθαι, οὐ μὴν ἐκ τῶν ἀποκτηθέντων παρὰ τῶν παίδων. ὅθεν εἰ πράγματα ἔχει ὁ παῖς ἀπροσπόριστα μένουσιν, μὴ δυναμένου τοῦ πατρὸς μετὰ ταῦτα λέγειν ὡς ἐκ τούτων τὴν προῖκα ἢ τὴν προγάμου δωρεὰν ἐποιησάμην. ἐχρῆν γὰρ αὐτὸ ἐν τῷ καιρῷ τῆς ἐπερωτήσεως εἰπεῖν.[35]

κς'. Εἴ τις ἄπορον γυναῖκα κατὰ τὴν τοῦ νόμου παρατήρησιν λάβοι καὶ ταύτης προτελευτήσοι, εἰ μὲν ἄχρι τριῶν παίδων ὁ ταύτης ἀνὴρ εἴτε ἐξ αὐτῆς εἴτε ἐξ ἑτέρου συνοικεσίου ἔχει, τὸ τέταρτον μέρος τῆς οὐσίας τοῦ ἀνδρὸς λαμβάνει, οὕτω

---

[32] Theod. Nov. 22 § 35. [33] F addit *ἐν τελευταίᾳ διατυπώσει τῇ οἰκείᾳ γαμετῇ ἢ τῷ οἰκείῳ ἀνδρί* (?) — *εἴ τι δήποτε ὁ παῖς κέκτηται εἴτε ἐκ τῆς μητρικῆς σειρᾶς εἴτε ἐκ γαμικῆς αἰτίας εἴτε ἀλλαχόθεν, τούτων τὸν οὐσούφρουκτον ἤγουν τὴν χρῆσιν ὁ πατὴρ ἔχει, κἂν εἰς δευτέρους ἀφίκηται γάμους, ὑφεξῃρημένων δηλονότι τῶν καστρεσίων πεκουλίων τουτέστι τῶν ἰδιοκτήτων. ὡς νεα. κβ'.* (c. XLVIII — Nov. 22 — c. 34). — *Καστρέσιον πεκούλιόν ἐστι πᾶσα βασιλικὴ φιλοτιμία. οὐ γὰρ τὴν τούτου χρῆσιν ἔχει ὁ πατήρ* (Theod. Cod. 6, 61, 7). *οὐδὲ τοῦ μέλλοντος ἐλευθεροῦσθαι δούλου τοῦ ἰδίου παιδὸς ἔχει τὴν χρῆσιν ὁ πατήρ. οὐδὲ πάλιν ἔχουσιν οἱ ὑπεξούσιοι τὴν ὑποθήκην κατὰ τῶν ἰδικῶν πραγμάτων τοῦ πατρὸς αὐτῶν χάριν τῶν ἀπροσποριστων αὐτοῖς πραγμάτων. ἀλλ' οὐδὲ μὴν δύνανται λογοθετῆσαι αὐτὸν εἰς αὐτά. ὡς βι. ε' τί. γ'. διατ. κ' τοῦ κώδ. ὅτι ἐὰν διγαμήσῃ ὁ πατὴρ ἔχουσι κατὰ τῶν πραγμάτων σιωπηρὰν ὑποθήκην οἱ παῖδες εἰς τὰ ἀπροσπόριστα μητρικὰ καὶ γαμικὰ αὐτῶν πράγματα. ὡς βι. ς' τί. ξ' διατ. α' βι. γ'* (Theod. Cod. 6, 61, 6). — *Πατὴρ δοὺς ὑπὲρ υἱοῦ προῖκα δοκεῖ οἴκοθεν αὐτὴν ἐπιδοῦναι κἂν χρεωστῇ αὐτῷ ἀπροσπόριστα, εἰ μὴ διαπορήσῃ. ὡς βι. ε' τί. ια' τοῦ κώδ. διατ. ζ'* (Theod. Cod. 5, 11, 7). — *Τὸν ἄνδρα ἄπορον ὄντα καὶ μὴ ἐπιδόντα τὴν διὰ γάμον δωρεὰν λαμβάνειν τὶ ἐκ τῆς οὐσίας τῆς γυναικὸς πᾶσι τρόποις κωλύεται, εἰ μὴ ἄρα ἀπορήσῃ καὶ αὐτῷ ἡ συνοικοῦσα δωρήσασθαί τι βουληθείη. ὡς βι. ε' τί. ιγ' διατ. α' ὅτι τελευτησάσης τῆς γυναικὸς ἐν συνεστῶτι τῷ γάμῳ οὐδὲν κερδαίνει ὁ ἀνὴρ εἰ μὴ ἀπὸ τοῦ κάσσου* (Theod. Cod. 5, 13, 1). — *Εἰ καὶ μᾶλλον νεαρὸν Θεοδοσίου τοῦ νέου εἰ μὴ ἐστὶ σύμφωνον.* Tum demum F pergit in fine § 26. Th[34] eod. Nov. 22 § 52. [35] Proch. 4, 20.

μέντοιγε ὥστε μὴ ὑπερβαίνειν τῶν ρ' τοῦ χρυσίου λιτρῶν ποσότητα. εἰ δὲ πλείονές εἰσιν οἱ παῖδες, τοσοῦτον ἐπὶ τοῦ τοιούτου θέματος λαμβάνειν, ὅσον ἑνὶ τῶν παίδων ἁρμόζει, οὕτω δηλαδὴ ὥστε χρῆσιν μόνην ἐπὶ τοῖς τοιούτοις πράγμασιν ἔχειν τὴν γυναῖκα, τὴν δεσποτείαν [δὲ] ἐκείνοις τοῖς παισὶ φυλάττεσθαι οὓς ἐξ αὐτῶν τῶν γάμων ἔσχεν. εἰ δὲ ἡ τοιαύτη γυνὴ παῖδας ἐξ αὐτοῦ μὴ ἔχοι, κελεύομεν καὶ δεσποτείας δικαίῳ ἔχειν αὐτὴν τὰ πράγματα, ἅπερ ἐκ τῆς τοῦ ἀνδρὸς οὐσίας εἰς αὐτὴν ἐληλύθασιν. ὡς νεαρὰ ριζ'.[36] εἰ δὲ ληγάτον αὐτῇ καταλειφθῇ ἐξ αὐτοῦ τοῦ ἀνδρὸς, ἀναπληρούσθω τὸ τέταρτον μέρος, λογιζομένη αὐτῇ τὰ ἀπὸ τοῦ ληγάτου εἰς αὐτό. τὸ λεχθὲν κρατεῖ καὶ ἐπὶ τοῦ ἀνδρὸς ἕδνον μὴ ὁμολογήσαντος· καὶ αὐτὸς γὰρ ἀπορῶν λήψεται τὸ [δ'] κατὰ τὴν νεα. νγ'. εἰ γὰρ εὐπορεῖ ὁ ἀνὴρ ἢ γυνὴ, οὐ λήψεται τὸ δ' τὸ εἰρημένον. ἀλλ' ἐάν τις ἐξ αὐτῶν τίποτε τῷ ἄλλῳ καταλείψῃ ἐν λεγάτῳ ἢ ἐνστάσει, τὸ ἐαθὲν μόνον λαμβάνουσιν.[37]

κζ'. Οἱ ἀπὸ πρώτου γάμου καὶ δευτέρου τεχθέντες παῖδες τὸν μὲν κοινὸν γονέα ἀδιάθετον τελευτῶντα ἐξίσης κληρονομοῦσιν· ἕκαστος δὲ αὐτῶν τὰ ἐκ τοῦ κάσου τῆς προικὸς καὶ προγάμου δωρεᾶς περιγενόμενα κέρδη τῷ ἰδίῳ γονεῖ κατεξαιρέτως λήψεται, κἂν μὴ τρίτοις γάμοις οἱ δεύτεροι ἐνυβρίσθησαν παῖδες. ὅσα δὲ ἕτερα μετὰ τὴν προῖκα ἢ προγάμου δωρεὰν περιῆλθον πράγματα ἢ κατὰ πρεσβεῖον ἢ κατὰ ἔνστασιν ἢ καθ' ἕτερον τρόπον ἐκ τῆς δευτέρας συναφείας εἰς τὸ δευτερογαμῆσαν πρόσωπον, ταῦτα κοινῶς διαδέξονται ὅσοι ἀπὸ πρώτου καὶ δευτέρου παῖδες τοῦ ταῦτα κερδήσαντος γονέως τρίτοις μὴ ὁμιλήσαντος γάμοις· πλὴν εἰ μὴ ἔφθασέν τινα ἐκποιήσας ὁ ταῦτα κερδήσας.[38]

κη'. Ἡ δευτερογαμοῦσα μήτηρ ἔχουσα ἐκ προτέρου γάμου παῖδας αἰτείτω πρὸ τοῦ συναλλάγματος ἐπίτροπον τοῖς παισὶν αὐτῆς καὶ οὕτως συναλλασσέτω. εἰ δὲ μὴ τοῦτο γένηται, ὑπεύθυνα ἔσονται τὰ αὐτῆς καὶ τοῦ δευτέρου ἀνδρὸς αὐτῆς πράγματα ἐπὶ τῇ ἀποκαταστάσει[39] τοῖς νέοις πράγμασιν.[40] σημ. βι. ε' τί. ιζ' τῆς συλλογῆς, ὅτι κἂν ἐν τοῖς ἁμαρτήμασιν . . . . διὰ τὸ τῆς ἡλικίας σαθρὸν ἡ μήτηρ ἐλάττων οὖσα τῶν κε' ἐνιαυτῶν οὐκ ᾔτησε τοῖς παισὶ ἐπίτροπον, τὴν τούτων διαδοχὴν οὐδαμῶς

---

[36] Proch. 5, 6. [37] Theod. Nov. 53 § 11. F addit ἀνάγν. βι. τοῦ κώδ. τί. νϛ' διατ. δ'. [38] Athanas. X, 22 (ed. Heimb. p. 118). [39] τοῖς ἀποκαταστατέοις? [40] Cf. c. XLVIII (Nov. 22) c. 40.

ἀπαρνεῖσθαι ἀρέσκει, ὁπότε τοῦτο τὸ νόμιμον ἐπὶ τοῖς μείζόσιν μόνον κρατεῖ.[41]

[κθ'.] Καὶ ἐπὶ τῶν ἀπροίκων τῶν κερδαινόντων τὸ τέταρτον τῆς οὐσίας [ἢ] οἱονδήποτε μέρος ἀπὸ τοῦ κάσου εἴτε ἀπὸ ληγάτου εἴτε ἀπὸ δωρεᾶς εἴτε ἀπὸ ἄλλου τινὸς κερδήσωσιν. καὶ αὐτοὶ γὰρ καλῶς πακτεύουσιν τουτέστι συμφωνοῦσιν καὶ ἐπὶ κληρονόμων παραπέμπουσιν κἂν ἀπὸ πρώτου γάμου κἂν ἀπὸ δευτέρου εἰσίν.[42]

[λ'.] Περὶ πενθουσῶν γυναικῶν. Ἡ πρὸ τοῦ πενθίμου χρόνου δευτερογαμοῦσα γυνὴ ἀτιμοῦται μηδὲν ἐκ τοῦ πρώτου γάμου κερδαίνουσα μήτε πλέον τοῦ γ' μέρους τῆς ἰδίας οὐσίας δυναμένη ἐπιδοῦναι τῷ δευτέρῳ ἀνδρί. καὶ τότε τοῦτο νόει ὅτι δύναται ποιῆσαι ὅτε παῖδας οὐκ ἔχει τοῦ πρώτου ἀνδρός. εἰ γὰρ ἔχει παῖδας, τὸ ἁρμόζον ἑνὶ τῶν παίδων ἀπὸ τοῦ τρίτου μέρους τῆς προτέρας αὐτῆς προικὸς μεριζομένου πᾶσιν τοῖς ἐκ τοῦ πρώτου γάμου τεχθεῖσιν παισὶν δίδωσι τῷ δευτέρῳ ἀνδρὶ εἰς προῖκα, μὴ δυναμένη πρὸς τοῖς εἰρημένοις λαβεῖν τι ἀπὸ οἱασδήποτε φιλοτιμίας. ἀλλὰ καὶ τὰ ἐκ τοῦ ἀνδρὸς αὐτῇ ἑαθέντα ἐλεύσονται εἰς τὰ πρόσωπα τῶν συγγενῶν τοῦ ἀνδρὸς αὐτῆς, ἀνιόντας φημὶ καὶ κατιόντας καὶ τοὺς ἐκ πλαγίου μέχρι δευτέρου βαθμοῦ. εἰ δὲ οὐχ ὑπέστη ἓν τῶν εἰρημένων προσώπων, εἰς τὸ ταμεῖον προσκυροῦται. οὐ μόνον δὲ τὸ λεχθὲν ὑπομένει ἡ δευτερογαμοῦσα, ἀλλ' οὐδὲ τοὺς ἐπέκεινα τοῦ γ' βαθμοῦ συγγενεῖς αὐτῆς διαδέχεται. ὡς βι. ε' τί. θ' διατ. β' τοῦ κώδ.[43]

λα'. Ἡ ἀτιμία τῆς δευτέρῳ γάμῳ πρὸ τοῦ πενθίμου προσομιλούσης λύεται ἐξ ἀπαιδίας μὲν βασιλικοῖς γράμμασιν τοῦτο κελεύουσιν, ἐπὶ παισὶν δὲ οὐδὲ βασιλέως κελεύσει, εἰ μὴ ἄρα αὕτη ἡ γυνὴ τὸ ἥμισυ τῆς ἰδίας οὐσίας δωρήσηται τοῖς ἐκ τοῦ πρώτου ἀνδρὸς παισὶν, μήτε τὴν χρῆσιν αὐτοῦ τοῦ ἡμίσεος μέρους παρακατέχουσα. ἰστέον δὲ, ἐάν τελευτήσει εἷς τῶν εἰρημένων αὐτῆς υἱῶν, κληρονομοῦσιν αὐτὸν οἱ ἴδιοι αὐτοῦ παῖδες· εἰ δὲ υἱοὺς οὐκ ἔχει, διαδέχονται αὐτὸν οἱ ἴδιοι ἀδελφοὶ εἰς τὸ λεχθὲν ἥμισυ μέρος τὸ δωρηθὲν αὐτοῖς ἐκ τῆς μητρός. εἰ δὲ ὁ τελευτήσας τούτους οὐκ ἔχει, ἀλλα μόνος ἦν καὶ οὐ διέθετο, τότε ἡ ἰδία μήτηρ ἡ δευτερογαμοῦσα κληρονομεῖ αὐτὸν, δηλονότι εἰς μόνον τὸ πολλάκις ῥηθὲν ἥμισυ μέρος τὸ δωρη-

---

41 Est ἐκ τοῦ κατὰ πόδας Cod. II, 34, 2. 42 Theod. Nov. 22 § 23 fin.
43 Theod. Nov. 22 § 24. 25.

θὲν παρ᾽ αὐτῆς διὰ τὴν τῆς ἀτιμίας ἐπίλυσιν. σὺ γὰρ οὕτω νόει τὸ ῥητὸν τῆς παρούσης διατάξεως καὶ μὴ εἴπῃς ὅ τι ἕτεροι δοξάζουσιν, ὅτι ἄλλων παίδων μὴ ὑπόντων κληρονομεῖ ἡ μήτηρ τὸν μόνον ὑπολειφθέντα υἱὸν αὐτῆς εἰς τὸ πᾶν τῆς ἄλλης καὶ ὅλης περιουσίας αὐτοῦ. ἀνάγν. βι. ϛ' τί. νϛ' διατ. δ' τοῦ κώδ.[44] — σχόλ. Τὸν γάμον τῆς τοῦ τελευτήσαντος γαμετῆς διὰ τὴν τοῦ αἵματος ἢ τῆς γονῆς σύγχυσιν ὁ πραίτωρ ἐκώλυσεν. ὡς βι. γ'. τί. [β'] διγ. ι'.[45]. — Ὅτι ὁ ἐν ἀγνοίᾳ τῇ τοιαύτῃ συναφθεὶς οὐκ ἀτιμοῦται, καὶ μάλιστα ὅτε οὐκ ἐκ συνηθείας τῆς πόλεως ἢ τῆς χώρας τοῦτο φυλάττεται.

λβ'. Περὶ ἀναργυρίας. Οὐκ ἂν εἴη δίκαιον ἡ γυνὴ παντελῶς προῖκα μὴ δοῦσα τῷ συνοικήσαντι προγαμιαίαν λαβεῖν δωρεάν. εἰ δὲ καὶ μὴ εἰς ὁλόκληρον δοίη, καὶ αὐτὴ κατὰ τοσοῦτον ἀπαιτείτω τὴν δωρεὰν καθ' ὅσον ἐπιδοίη τὴν προῖκα. ἰσότητος γὰρ ἐσμὲν καὶ δικαιοσύνης ἐρασταί, καὶ ταῦτα ἐν ἅπασίν τε καὶ τοῖς ἄλλοις καὶ πρός γε τοῖς συνοικεσίοις βουλόμεθα κρατεῖν. ὥστε ἡ μηδ' ὁτιοῦν δοῦσα μηδ' ὁτιοῦν λαμβανέτω. εἰ δὲ δοῦναι μὲν βουληθῇ τὴν προῖκα ἢ ὅστις ἄλλος ὑπὲρ αὐτῆς παρεχόμενος αὐτὴν, καὶ τὸ τῆς γυναικὸς προεμαρτύρατο μέρος καὶ ἑτοίμως εἶχεν ταύτην καταβαλεῖν, ἢ καὶ εἰς δικαστήριον ἀξιοῖ ταῦτα γενέσθαι, ἐπιμείνῃ δὲ καὶ οὕτως ἀναβαλλόμενον τὸ τοῦ ἀνδρὸς μέρος, μὴ δύνασθαι τοῦ γάμου διαλυομένου τὴν τῆς προγαμιαίας δωρεᾶς ἔκτισιν ἐκκλίνειν ὡς δὴ προικὸς μὴ ἐπιδοθείσης. ἐπ' αὐτῷ ἁρμόσει τὸν κανόνα τὸν λέγοντα· ὁ γὰρ δοῦναι βουληθεὶς, ἐν ᾧ τὴν λῆψιν ὁ λαμβάνων ἐξεπίτηδες παραιτεῖται, παραπλήσιος ἐστιν τῷ δεδωκότι.[46] ὥς φησι νεα. β'.

λγ'. Ἐὰν ἐν τῷ προικῴῳ συμβολαίῳ ἐγράφῃ μὲν ποσότης προικὸς, μὴ ἐπεδόθη δὲ, ἔξεστι τῷ ἀνδρὶ καὶ τοῖς αὐτοῦ κληρονόμοις ἀντιτιθέναι τῇ γυναικὶ ἀναργυρίαν εἴσω ἐνιαυτοῦ μετὰ τὴν λύσιν τοῦ γάμου,[47] ἢ εἴσω διετίας ἀριθμουμένης συναπτῶς μετὰ τὴν συνοίκησιν τῆς γυναικός. ὁ δὲ ἐλάττων[48] μὴ διαμαρτυρούμενος ἐγγράφως ἢ παρὰ τῷ ἄρχοντι περὶ τῆς ἀναργυρίας τῆς προικὸς τὸν ἐπερωτηθέντα ἐπὶ ἕνα ἐνιαυτὸν τὴν μέμψιν τοῖς κληρονόμοις παραπεμπέτω. εἴσω δὲ δεκαετίας μὴ γενομένης μέμψεως τελευτῶν ὁ ἀνὴρ ἐπὶ ἑτέρους τρεῖς μῆνας τὴν παραγραφὴν παραπέμπει. δεκαετίας δὲ παραδραμούσης τελείως

---

[44] Theod. Nov. 22 § 26. [45] F βι. γ' τί. α' διγ. δ'. [46] Proch. 9, 12. [47] Proch. 9, 11. [48] Codex εἰ καὶ ἐλάττω.

σβεννύσθω καὶ αὐτῷ καὶ τοῖς κληρονόμοις αὐτοῦ ἡ ἀναργυρία.[49] — *σχόλ. Ὅτι οἱ χρόνοι τῆς ἐπὶ τῇ προικὶ ἀγωγῆς οὐκ ἀπὸ τῆς συστάσεως, ἀλλὰ ἀπὸ τῆς λύσεως τῶν γάμων ἀριθμοῦνται.*[50] — *Ὁ ἥττων ἀντὶ τῆς δεκαετίας τὴν δωδεκαετίαν ἐχέτω, καὶ μετὰ ταύτην ὁ κληρονόμος αὐτοῦ ἐνιαυτόν· οἱ δὲ ἥττονες κληρονόμοι εἴτε ἥττονες τελείων τεστατόρων ἀντὶ τοῦ ἐνιαυτοῦ πενταετίαν ἐχέτωσαν.*[51]. *σημ. Ὅτι καὶ μερικῆς γενομένης καταβολῆς χώραν ἔχει ἡ μέμψις, πληναρέας δὲ γενομένης οὐ δύναται ἀναργυρίαν προβάλλεσθαι. ἀνάγν. βι. λγ' τί. δ' διγ. ξθ'.*[52] *Ἐὰν γυνὴ ἐπερωτηθῇ προῖκα καὶ μὴ καταβάλῃ αὐτὴν ζῶντι τῷ ἀνδρὶ, τῷ κληρονόμῳ αὐτοῦ χρεωστεῖ δοῦναι αὐτήν.*[53]

λδ'. Ὁ ἐσχολακὼς περὶ τῶν δημοσίων πραγμάτων καὶ συμβῇ αὐτὸν ἄρχειν ἐν ἐπαρχίαις, ὥστε εἶναι δυσχερὲς τὸ μέμψαι αὐτὸν περὶ ἀναργυρίας, ἐξέστω τῷ ἁγιωτάτῳ ἐπισκόπῳ τῆς πόλεως ἢ καὶ πρὸς ἄλλον ἄρχοντα εἴσω δύο ἐνιαυτῶν προσιέναι καὶ διαμαρτύρεσθαι τῷ λαβόντι παρ' αὐτοῦ ἔγγραφον περὶ ἀναργυρίας, καὶ λοιπὸν ἔχει διηνεκῆ τὴν ἐξ αὐτῆς ὠφέλειαν.[54] — *σχολ. Ἡ μετὰ τὴν τελευτὴν τοῦ ἀνδρὸς τῷ ἐνδεκάτῳ μηνὶ ἢ τοιούτῳ ἁπλῶς καιρῷ τεκοῦσα, ὅστις αὐτὴν πρὸ τοῦ πενθίμου χρόνου διελέγχει πορνεύουσαν, καὶ ταῖς στοῦπρου καὶ ταῖς κατὰ τῶν πρὸ πενθίμου χρόνου γαμουσῶν ὑποκείσθω ποιναῖς. μὴ γάρ ποτε πλέον ἐχέτω σωφροσύνης ἀσέλγεια.*[55]

λε'. Ὁ ἔχων ἀναργυρίας παραγραφὴν καὶ μὴ δυνάμενος

---

[49] c. CXXII (Nov. 100). [50] Theod. Nov. 100 § 2. [51] c. CXXII (Nov. 100). [52] Dig. 23, 4, 9? [53] F addit *Βι. ε' τί. β' τοῦ κώδ. διατ. ιη'. οὔτε ὁ πατὴρ ἀναγκάζεται φυλάξαι τοῖς ἐκ τοῦ γάμου ἤτοι τοῦ πρώτου αὐτοῦ παισὶν τὴν οἰκείαν πρὸ γάμου δωρεὰν οὔτε μήτηρ τοῖς ἑαυτῆς παισὶν προῖκα κἂν δευτερογαμήσῃ ἑκάτερος ἢ θάτερος αὐτῶν, δηλονότι ἐὰν ἔχωσιν ἀλλαχόθεν οἱ τούτων παῖδες τὸ νόμιμον μέρος. πλὴν ἴσθι ὅτι ὀφείλουσι φυλάξαι τοῖς τέκνοις τὰ γαμικὰ κέρδη οἱ γονεῖς καὶ οὐδὲ δευτερογαμοῦντες δύνανται ἐπιδοῦναι πλέον τοῦ ἁρμόζοντος μέρους ἑνὶ τῶν παίδων. πρὸς δὲ τούτοις γνῶθι ὅτι ἀναγκάζονται οἱ γονεῖς φυλάξαι τοῖς ἰδίοις παισὶν ἣν ἐπιδεδώκασιν ὑπὲρ αὐτῶν προῖκα, εἰ μὴ ἄρα ἀπορήσωσι κατὰ τὴν ϥζ' νεαράν.* (Theod. Cod. 5, 2, 18). — *Ὥσπερ ἡ γυνὴ μὴ ἐπιδοῦσα προῖκα οὐ λαμβάνει πρῶτον μὲν (προγάμου?) δωρεὰν, οὕτω καὶ ὁ ἀνὴρ παραιτούμενος λαβεῖν τὴν προῖκα. ὡς δεδωκυῖα τὴν λῆψιν ἔχει τῆς προγαμιαίας δωρεᾶς ἡ γυνή. — Βι. δ' τί. λ' διατ. ιε' τοῦ κώδ. Ἡ τῆς ἀναργυρίας παραγραφὴ ἁρμόζει κληρονόμοις ἐνδαψιλευομένου μέντοιγε τοῦ χρόνου. καὶ κατὰ κληρονόμων γὰρ δίδοται. ση. βι. δ' τί. λ' διατ. η' τοῦ κώδ.* [54] Cod. 4, 30, 14 § 4. [55] c. L (Nov. 39) § 2.

ἀντιτιθέναι αὐτὴν διὰ τὸν φόβον τοῦ ἰδίου διαδίκου ποιείσθω διαμαρτυρίαν παρὰ τῷ ἄρχοντι ἢ παρὰ τῷ ἐπισκόπῳ, καὶ διακόπτει τὸν τῆς δεκαετίας χρόνον.[56]

ΤΙΤΛΟΣ κς'.

Περὶ διαλυομένου συνοικεσίου ἡ προῖξ κατὰ ποῖον τρόπον ἀπαιτεῖται· καὶ περὶ διατιμήσεως αὐτῆς.

α'. Λυομένου τοῦ γάμου ἡ προῖξ τῇ αὐτεξουσίᾳ γαμετῇ ἀποδίδοται. εἰ δὲ ὑπεξουσία ἐστὶν καὶ ἡ προῖξ ἐκ τοῦ πατρὸς δεδομένη, κοινὴ αὐτῆς καὶ τοῦ πατρός· καὶ οὐ δύναται παραγνώμην αὐτῆς ἀπαιτεῖν ὁ πατὴρ δι' αὐτοῦ ἢ δι' ἄλλου τινός, ἐπειδὴ ἐνάγει τῷ ἀνδρὶ ἡ θυγάτηρ ὁτεδήποτε αὐτεξουσία γενομένη.[1]

β'. Ὁ πατὴρ ἣν ἀνέλαβεν ὑπὲρ τῆς θυγατρὸς προῖκα τοῦ γαμβροῦ τελευτήσαντος ἀναγκαζέσθω καὶ δευτερογαμούσῃ ἀμειώτως ἐπιδοῦναι τῇ θυγατρί, πλὴν εἰ μὴ τυχηρὰν ὑποστὰς ἀποδειχθῇ περίστασιν ἀναγκάζουσαν αὐτὸν ἐλαττῶσαι τὴν προῖκα. νεα. [κβ' καὶ] νε'.[2]

γ'. Ὁ ἐπερωτηθεὶς διδόναι προῖκα, οὐκ ἀπαιτεῖ[ται] αὐτὴν πρὸ τῶν γάμων. ὡς βι. ιβ' τί. ιβ' διγ. γ'. — Οὐδὲ πάλιν δύναται ὁ πατὴρ μετὰ τὴν ἐπίδοσιν ἀκούσης τῆς θυγατρὸς ἐπερωτῆσαι αὐτῷ τὴν ἀνάληψιν τῆς προικός.[3] — τί. α' διγ. ια'. Ἐὰν μὴ ῥητῶς ἐπερώτησεν τὴν ἀνάδοσιν, οὐκ ἔχει ἀγωγὴν ἐπ' αὐτῇ ὁ πατὴρ ἐκτὸς τῆς ἰδίας θυγατρὸς περὶ τῆς ἐπιδοθείσης προικός, μετὰ τὴν ἐπίδοσιν μέντοιγε, ἡ δὲ μήτηρ προῖκα παρέχουσα ὑπὲρ τῆς θυγατρὸς ἀπαιτεῖ αὐτὴν κἂν μὴ ἐπερωτηθῇ.[4] σημ. Καὶ ὑπεξουσίας οὔσης τῆς θυγατρὸς ἡ δίκη αὐτῆς πιστεύεται εἶναι.

δ'. Οὔτε ὁ υἱὸς ἔχει τὴν δεσποτείαν τῆς ἐπιδοθείσης ὑπὲρ αὐτοῦ δωρεᾶς, οὔτε ἡ θυγάτηρ ἔχει ὁμοίως τὴν δεσποτείαν τῆς ὑπὲρ αὐτῆς δοθείσης προικὸς παρὰ τοῦ πατρός. τοῦτο νόει ἐφ' ὅσον ζῇ ὁ πατὴρ αὐτῶν. ἐὰν γὰρ τελευτήσει, οὐκ ἀφαιρεῖται παρὰ τῶν παίδων τὰ δοθέντα παρὰ τοῦ πατρὸς ὑπὲρ αὐτῶν· καὶ εἰ μὲν ζῇ ὁ ἀνὴρ καὶ συνίσταται ὁ γάμος, ἔχει τὴν

---

[56] Cod. 4, 30, 14 § 4. [1] Dig. 24, 3, 2 pr. § 1. [2] c. CXIX (Nov. 97). [3] Cod. 5, 12 7. [4] Cod. 5, 12, 6 ex breviario Theod. cf. Bas. III p. 434.

δεσποτείαν τῆς προικὸς καὶ μάλιστα ἐάν ἐστιν διατετιμημένη. ὡς βι. ς' τί. ξ' διατ. β' τοῦ κώδ.[5]

[ε'.] Μετὰ τὸν γάμον οὐ δύναται ὁ πατὴρ χείρονα τὴν αἵρεσιν ποιῆσαι τῆς θυγατρὸς, ἐπειδὴ οὐδὲ καταβάλλεται ἡ προῖξ ἀκούσης αὐτῆς.[6]

ς'. Εἰ καὶ μὴ τῷ γαμβρῷ ἀλλὰ τῇ ἰδίᾳ θυγατρὶ παραδῷ τὰ πράγματα λόγῳ προικὸς αὐτῆς, καὶ εὑρεθῇ ἐν νομῇ αὐτῶν μετὰ θάνατον τοῦ πατρὸς ἡ θυγάτηρ, ἐννόμως παρακρατεῖ αὐτὰ ὡς προικιμαῖα. ὡς βι. ι' τί. β' διγ. λε'.[7]

ζ'. Ἔνθα κοινὴ τοῦ πατρὸς καὶ τῆς θυγατρός ἐστιν ἡ προῖξ, χρεία τῆς ἑκατέρου γνώμης.[8]

η'. Δύο προικῴων ὑπό τινος χρεωστουμένων τὰ μὲν ἐξ αὐτῶν φαινόμενα πράγματα ἐκδικεῖται ὑπὸ τῶν τεχθέντων ἐκ τοῦ αὐτοῦ γάμου, εἰς δὲ τὰ μὴ φαινόμενα ἔχει προγενεσίαν ἡ πρώτη προῖξ ἀπαιτουμένη ὑπὸ τῆς γυναικὸς καὶ ὑπὸ τῶν κατιόντων αὐτῆς ἑκατέρας φύσεως, εἰ μὴ ἄρα ἀπορεῖ.[9]

[θ'.] Ἡ προῖξ καὶ συνεστῶτος τοῦ γάμου καλῶς καταβάλλεται ἐπὶ τὸ καταβαλεῖν δανεισταῖς αὐτῆς, ἢ ἀγροὺς εὐπορωτέρους ἀγοράσαι, ἢ ἐπὶ τὸ προνοεῖσθαι παίδων ἐξ ἑτέρου γάμου, ἢ ἀδελφῶν ἢ γονέων πενομένων, θρέψαι προσεπιτούτοις ἢ αὐτὴν καὶ τοὺς ἰδίους εποφελέσει(?) κἄντε ἐν ἐξορίᾳ εἰσὶν κἄντε ἐν αἰχμαλωσίᾳ. ὡς βι. κγ' τί. γ' διγ. οδ'.[10]

---

[5] Cod. 6, 61, 2 (cf. Bas. IV p. 530). [6] Dig. 23, 3, 28. [7] Dig. 10, 2, 35. F addit Μετὰ τὸν γάμον οὐ δύναται ὁ πατὴρ χείρονα τὴν αἵρεσιν ποιῆσαι τῆς θυγατρὸς ἐπειδὴ οὐδὲ καταβάλλεται ἡ προῖξ . . . (Dig. 23, 3, 28) — [Ἔνθα κοινὴ τοῦ πατρὸς καὶ τῆς θυγατρός ἐστιν ἡ προῖξ] χρεία τῆς ἑκατέρου γνώμης (D. 24, 3, 3). — Ἐὰν ὑπεξουσία κόρη τελευτήσῃ ἐν συνεστῶτι τῷ γάμῳ, ἀναλαμβάνει ὁ πατὴρ αὐτῆς ἣν ἐπιδέδωκεν ὑπὲρ αὐτῆς προῖκα. τοῦτο δὲ καὶ ἐπὶ αὐτεξουσίας ἐστὶν, ἐὰν τέκνα οὐ κατέλειψεν οὔτε πάκτον προέβη ὥστε κερδᾶναι τὸ περιὸν πρόσωπον θατέρου προτελευτήσαντος. ἡ δὲ γ' διάτ. τοῦ ιδ' τί. βι. ε' τοῦ κώδ. λέγει ὅτι κἂν σύμφωνον λέγῃ οὐ δύναται παρακρατῆσαι ἢ ἀποκερδᾶναι μέρος ἐξ αὐτῆς ὁ ἀνήρ. βι. ε' τί. ιη' διατ. δ' (Theod. Cod. 5, 18, 4). ἀνάγν. τί. ιζ' καὶ κδ'. — Ἡ παρὰ τοῦ πατρὸς δεδομένη προῖξ τελευτησάσης ἐν τῷ γάμῳ τῆς θυγατρὸς τῷ πατρὶ ἀποκαθίσταται (Theod. Cod. 5, 18, 4). — Ἡ γυνὴ ἐν τῷ γάμῳ οὖσα δύναται τὴν αἵρεσιν τῆς προικὸς χείρονα ποιήσασθαι εἰ ὅλως παῖδας σχῇ βι. λ' τί. διγ. εἰ δὲ ἀπέθανεν ὁ ἀνὴρ . . . . . — μετὰ τὸν γάμον οὐ δύναται ὁ πατὴρ χείρονα ποιήσασθαι τὴν αἵρεσιν τῆς θυγατρὸς ἐπειδὴ οὐδὲ καταβάλλεται ἡ προῖξ ἀκούσης αὐτῆς (D. 23, 3, 28) — ἁπλῶς ἢ ἑτέρως ἐλύθη ὁ γάμος, τότε ζῶν ὁ πατὴρ δεσπόζει τῶν ἐπιδοθέντων παρ' αὐτοῦ ὑπὲρ τῶν ἰδίων παίδων, εἰ ἑαυτῷ τὴν ἐπανάδοσιν γίνεσθαι συνεφώνησεν. [8] Dig. 24, 3, 3.
[9] Proch. 9, 14. [10] Dig. 24, 3, 20.

ι΄. Ἐὰν ὁ πατὴρ οὕτως ἐστὶν αἰσχρὸς ὥστε δέος εἶναι μήποτε λαβὼν τὴν προῖκα δαπανήσει, ἀρνεῖται αὐτῷ ἡ ἀγωγὴ, καὶ ὁ δικαστὴς προνοεῖ αὐτοῦ καὶ τῆς θυγατρός.[11]

ια΄. Ἐὰν νομίσασα ἡ γυνὴ τὸν ἀλλότριον δοῦλον ἐλεύθερον εἶναι προῖκα παράσχῃ αὐτῷ, ἔχει προνόμιον καὶ προτιμᾶται τῶν ἐχόντων τὴν περὶ πεκουλίου ἀγωγὴν, οἳ μὴν καὶ τοῦ δεσπότου εἰς τὰς ἐποφειλομένας αὐτῷ, εἰ μὴ ἐπὶ μόνοις τοῖς δοθεῖσιν ἐν προικὶ πράγμασιν.[12]

ιβ΄. Ἐάν τις νομίσας ἐλευθέραν εἶναι τὴν ἐμὴν δούλην προῖκα ὑπὲρ αὐτῆς ἐπιδῷ ὡς δωρούμενος αὐτῇ, ἐγὼ γίνομαι τῶν δεδομένων δεσπότης καὶ αὐτῶν. ὡς βι. κγ΄ τί. γ΄ διγ. νθ΄.[13]

ιγ΄. Ἐὰν ἀπατηθεῖσα ἡ γυνή μου δέξηται κατὰ μετάθεσιν χρεώστην ἄπορον ὑπὲρ τῆς προικὸς, σώζεται αὐτῇ ἡ τῆς προικὸς ἀγωγή.[14]

[ιδ΄.] Ἐὰν παρὰ κέλευσιν τοῦ πατρὸς ὁ ὑπεξούσιος υἱὸς ὑποδέξηται προῖκα, χώρα κατὰ τοῦ πατρὸς τῇ περὶ πεκουλίου ἀγωγῇ.[15]

[ιε΄.] Ἐὰν ἐπὶ πενταετίαν ὁ ἀνὴρ μισθώσει τὸν ἀγρὸν καὶ μετὰ α΄ ἐνιαυτὸν ὁ γάμος λυθῇ, οὐκ ἀποκαθίστησιν ὁ ἀνὴρ τὸν ἀγρὸν, εἰ μὴ λάβῃ τῆς γυναικὸς ἀσφάλειαν ὑπὲρ τῶν δ΄ ἐνιαυτῶν. καὶ αὐτὸς ἀσφαλίζεται, ὡς εἴτι λάβοι ἔξωθεν τοῦ α΄ ἐνιαυτοῦ, δίδωσιν αὐτῇ.[16]

ις΄. Καρπός ἐστιν ὁ μετὰ τὴν δαπάνην περιττεύων. εἴτε γὰρ ἡ γυνὴ εἴτε ὁ ἀνὴρ ἢ ἑκάτερος δαπανήσει, πληροῦται.[17]

[ιζ΄.] Διαζυγίου γενομένου οἱ καρποὶ μερίζονται, εἴτε οἱ πρὸ τῆς μισθώσεως καὶ μετὰ τὴν μίσθωσιν ἀναλόγως τῷ χρόνῳ τοῦ γάμου σκοπεῖται. ἐὰν δὲ ἐπὶ δ΄ μῆνας ὁ γάμος ἐκταθῇ, τὸ γ΄ ὁ ἀνὴρ λαμβάνει. εἰ δὲ καὶ τρυγήσασα ἡ γυνὴ τὸν ἀγρὸν ἐπιδῷ αὐτὸν ἐπὶ προικὶ παραχρῆμα καὶ μισθώσει ὁ ἀνὴρ τῇ ἀρχῇ τοῦ μαρτίου μηνὸς, καὶ λυθῇ ὁ γάμος τῇ ἀρχῇ τοῦ ἀπριλλίου, οὐ μόνον τὸ δωδέκατον τοῦ μισθοῦ λαμβάνει, ἀλλὰ τὴν ἀναλογίαν τοῦ παντὸς χρόνου, ἐν ᾧ προικιμαῖος ἦν

---

11 Dig. 24, 3, 22 § 8. 12 Dig. ib. § 13. 13 Dig. 23, 3, 59. 14 Dig. 24, 3, 22 §. 2. 15 Dig. 24, 3, 25 pr. F addit ἀνάγν. τί. κζ΄ κεφ. ζ΄. ὁ τοῦ γήμαντος ὑπεξουσίου πατὴρ καὶ αὐτὸν ἀναγκάζεται τρέφειν καὶ τὴν γαμετὴν αὐτοῦ. αὐτὸς γὰρ ὑπόκειται τοῖς βάρεσι τοῦ γάμου τοῦ υἱοῦ αὐτοῦ. βι. ι΄ τί. β΄ διγ. νς΄. εἰ δὲ ἀποθάνῃ ὁ πατὴρ αὐτοῦ· καὶ ἡ προὶξ καὶ οἱ παῖδες καὶ ἡ γαμετὴ τῷ ἀνδρὶ ἀνήκει διὰ τὰ βάρη τοῦ γάμου (Dig. X, 2, 20 § 2. XXIII, 3, 56). 16 Dig. 24, 3, 25 § 4. 17 Dig. 24, 3, 7 pr.

ὁ ἀγρὸς παρακρατεῖ τοῦ μισθοῦ.[18] — σχόλ. Ἐκεῖνος τὰ τοῦ θέρους συλλογίζεται, αὕτη δὲ τὰ τῆς σπορᾶς.

[ιη΄.] Ἐὰν ὁ ἀνὴρ ἀνέλῃ τὴν γυναῖκα, οὐ κερδαίνει τὴν προῖκα, ἀλλὰ τοῖς κληρονόμοις αὐτῆς ἀποδίδοται. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ ἐναντίου, ἐὰν ἡ γυνὴ τὸν ἄνδρα ἀνέλῃ.[19] εἰ καὶ ἀλλότριον ἐπιδῷ γυνὴ ἐν εἰδήσει, ἀποδίδοται αὐτῇ μετὰ τὸ διαζύγιον σὺν τῇ ἀναλογίᾳ τῶν καρπῶν.[20]

[ιθ΄.] Διαζυγίου οἱουδήποτε γενομένου τοῦ τελευταίου ἐνιαυτοῦ οἱ καρποὶ διαιροῦνται, ὁ δὲ χρόνος ἀριθμεῖται οὐκ ἀπὸ τῆς ἀρχῆς τοῦ γάμου οὔτε ἀπὸ τῆς συστάσεως τῆς προικὸς, ἀλλ᾽ ἀφ᾽ οὗ παρεδόθη τῷ ἀνδρὶ ὁ ἀγρός. εἰ δὲ καὶ πρὸ τοῦ γάμου παρεδόθη, ἀπὸ τῆς ἡμέρας τοῦ γάμου ἕως τῆς αὐτῆς ἡμέρας τοῦ ἑξῆς ἐνιαυτοῦ ψηφίζεται ὁ ἐνιαυτὸς, καὶ οὕτως ἐφεξῆς. οἱ δὲ πρὸ τοῦ γάμου ληφθέντες καρποὶ ὡς τῆς προικὸς γενόμενοι μετὰ τὴν λύσιν τοῦ γάμου ἐπιδίδονται.[21]

[κ΄.] Ἐὰν ἀπολιμπανομένης τῆς θυγατρὸς ὁ πατὴρ ἀπαιτήσῃ προῖκα, μὴ δεδωκὼς τὴν ὑπὲρ αὐτῆς ἀσφάλειαν, ἀγωγὴν ἡ θυγάτηρ οὐκ ἔχει, εἴγε διὰ κληρονομίας ἢ ληγάτου εἰς τοσοῦτο ἐκ τοῦ πατρὸς ἐκέρδησεν.[22]

[κα΄.] Ἐὰν ἐξωτικὸς ἐπερωτήσει τὴν ἀνάδοσιν καὶ μετὰ τὸ διαζύγιον ἡ γυνὴ ὑποστρέψει πρὸς τὸν ἄνδρα, οὐ κωλύεται ἡ τῆς ἐπερωτήσεως ἀγωγή.[23] σημ. Ἐὰν ἡ γυνὴ συμφωνήσῃ, μετὰ τὴν λύσιν τοῦ γάμου ἀναδοθῆναι τὴν προῖκα τῷ ἐπιδεδωκότι αὐτὴν, δύναται μεταμεληθεῖσα κωλῦσαι δοθῆναι αὐτῷ τὴν προῖκα. ὡς βι. με΄ τί. γ΄ διγ. πβ΄.

[κβ΄.] Ἐὰν ληγατεύσω τῇ γαμετῇ μου ἀντὶ τῆς προικὸς αὐτῆς, καὶ μὴ δυνηθῇ τὰ ληγατευθέντα λαβεῖν, ἔχει τὴν περὶ προικὸς ἀγωγήν.[24]

κγ΄. Ἐὰν τοῦ ἀνδρὸς προαγωγεύσαντος ἡ γυνὴ μοιχευθῇ, οὐδὲν ἐκ τῆς προικὸς παρακρατεῖ· πῶς γὰρ ἀποδοκιμάσει τοὺς τρόπους, οὓς ἔφθειρεν ἢ φθαρέντας ἀπεδέξατο;[25]

κδ΄. Ἐὰν ὁμολογήσῃς γυναικὶ παρέχειν αὐτῇ γαμουμένῃ ι΄ νομίσματα, καὶ ἐπιδοίη μοι τὸ τοιοῦτον γραμματεῖον ἐν προικὶ, καὶ χωρὶς δόλου καὶ ῥᾳθυμίας μηδέν σε δυνηθῶ ἀπαιτῆσαι, οὔτε περὶ προικὸς οὔτε περὶ ἐντολῆς ἀγωγῇ ἐνέχομαι.[26]

---

[18] Dig. 24, 3, 7 § 1. 2. F addit σημ. διὰ τοῦτο λαμβάνει ὁ ἀνὴρ τὸ ἐνιαυσιαῖον ὅλον διὰ τὴν ἀνάδοσιν τῆς προικός. [19] Dig. 24, 3, 10 § 1. [20] Dig. ib. 11. [21] Dig. 24, 3, 5. 6. [22] Dig. 24, 3, 22 § 3. [23] Dig. 24, 3, 42 § 3. [24] Dig. 24, 3, 46. [25] Dig. 24, 3, 47. [26] Dig. 24, 3, 49 pr.

κε΄. Ὁ ἀνὴρ καὶ ὁ γονεὺς καὶ ὁ κοινωνὸς καὶ ὁ πάτρων μέχρι εὐπορίας καταδικαζόμενοι τὰ ἑτέροις χρεωστούμενα οὐχ ὑπεξαιροῦσιν. ὁ δὲ δωρησάμενος ὑπεξαιρεῖ καὶ κοινωνὸς ὑπεξαιρεῖ τοῖς ἐκ τῆς αὐτῆς αἰτίας χρεωστουμένοις.[27]

κς΄. Τὸ τοῦ ἀνδρὸς ἄπορον καὶ ἐπὶ τῶν κληρονόμων τῆς κόρης χρεωστεῖται, εἰ καὶ μέχρις εὐπορίας ὁ ἀνήρ, οὐ μὴν καὶ ὁ κληρονόμος αὐτοῦ καταδικάζεται. τὸ γὰρ προνόμιον προσωπικόν ἐστιν. ἔχει δὲ αὐτὸ καὶ διεκδικητής.[28]

κζ΄. Εἰ καὶ συμφωνήσει ὁ ἀνὴρ εἰς ὁλόκληρον καταδικάζεσθαι, οὐκ ἔῤῥωται τὸ σύμφωνον. ἐν δὲ τῷ καιρῷ τῆς ψήφου σκοπεῖται ἡ οὐσία τοῦ ἀνδρός, εἰ καὶ εἰς ὁλόκληρον ὁ κληρονόμος αὐτοῦ καταδικάζεται.[29]

κη΄. Καὶ ὁ πατὴρ τοῦ ἀνδρὸς μέχρις εὐπορίας τῇ νύμφῃ καταδικάζεται. τάξιν γὰρ πατρὸς ὁ πενθερὸς ἐπέχει. καὶ οἱ παῖδες τῆς γαμετῆς κληρονόμοι ὄντες τοῦ πατρὸς μέχρις εὐπορίας καταδικάζονται.[30]

κθ΄. Εἰ καὶ τοῦ ἀνδρὸς ὑπέρθεσιν ποιήσαντος ὕστερον ἡ γυνὴ [μὴ] θελήσει δέξασθαι καὶ τελευτήσει ὁ δοῦλος, οὐ χρεωστεῖ ὁ ἀνὴρ τὴν ἀποτίμησιν αὐτοῦ.[31]

[λ΄.] Ἐὰν ἐγράφη προικιμαῖος δοῦλος κληρονόμος, εἰ μὲν παραιτεῖται ἡ γυνὴ τὴν κληρονομίαν, κελευέτω ὁ ἀνὴρ τῷ δούλῳ παραιτεῖσθαι· εἰ δὲ καταδέχεται, τῇ κελεύσει αὐτῆς ὁ δοῦλος ὑπεισελθέτω τὴν κληρονομίαν.[32] εἰ δὲ ὁ ἀνὴρ ἐλευθερώσῃ αὐτὸν κατὰ γνώμην αὐτῆς, ὡς δωρουμένης αὐτῆς ἠλευθέρωσεν, καὶ τὸ μέρος τὸ ἁρμόζον αὐτῷ ὡς πάτρωνι ἀποκαθίστησιν ἤγουν τὸ τρίτον, τὸ δὲ δίμοιρον ἐκδικεῖ διὰ τῆς ἀγωγῆς τῆς προικός.[33]

λα΄. Τῆς ἀποδοτέας προικὸς μέρος ἐστὶ καὶ τὸ ὀφεῖλον ἐκ τοῦ πεκουλίου τοῦ δούλου ἀποδοθῆναι τῇ γυναικί.[34]

λβ΄. Ἐὰν γυνὴ παρὰ πολεμίοις ἐστὶν, οὐ δύναται ὁ ἀδελφὸς αὐτῆς ἀπαιτεῖν τὴν προῖκα· ἐὰν δὲ ἐτελεύτησεν, ὁ ἀδελφὸς αὐτῆς ὡς κληρονόμος αὐτὴν ἀπαιτεῖ.[35]

λγ΄. Γυνὴ τὸ χρεωστούμενον αὐτῇ μετὰ τῶν τόκων ἐπιδέδωκεν ἐν προικί. καὶ οἱ μετὰ τὸν γάμον ἁρμόσαντες μέρος εἰσὶ τῆς προικός. καὶ ἐὰν ἐπεκράτησεν ὁ γάμος ἐπὶ ἐνιαυτὸν

---

27 Dig. 24, 3, 54 cum schol. Anonymi. 28 Dig. 24, 3, 12. 13. 14 pr. 29 Dig. 24, 3, 14 § 1 et dig. 15 pr. § 1. 30 Dig. 26, 3, 15 § 2 et 16. 18. 31 Dig. 24, 3, 26. 32 Dig. 24, 3, 58. 33 Dig. cod. 61. 34 Dig. 24, 3, 67. 35 Cod. 5, 18, 5.

ἕνα καὶ διελύθη ἐπὶ[36] χρόνους γ', τοῦ ἐνιαυτοῦ ὁ τόκος δίδοται.[37]

λδ'. Καὶ ἐπὶ βεβιασμένης προικὸς τόκος ἀνεπερωτήτως οὐ δίδοται. καὶ ὅτε ἀπαιτεῖται παρὰ τοῦ ἀνδρὸς ἡ προῖξ, καλῇ πίστει ἐστίν· ὅτε ἀπαιτεῖται παρὰ τοῦ πατρὸς, βεβιασμένη ἐστίν.[38]

λε'. Τὰ προφάσει προικὸς διδόμενα τῷ ἀνδρὶ μὴ προβαινόντων ταῦτα τῶν γάμων ἀναδίδοται τῇ γυναικὶ, εἰ καὶ αὐτὴ ἐμποδίσει τὴν σύστασιν τοῦ γάμου. καὶ οἱ πρὸ τοῦ γάμου λαμβανόμενοι ἐκ τοῦ ἀνδρὸς καρποὶ ἐκ τῶν προικιμαίων ἀγρῶν εἰς προῖκα λογίζονται αὐτῷ καὶ μετὰ τῆς προικὸς ἀποδίδονται τῇ γυναικί.[39]

λς'. Τῆς γονῆς τῶν δοταλίων ἀνδραπόδων κἂν μὴ δεσπότης ἐστὶν ὁ ἀνὴρ, ὅμως τὴν χρῆσιν αὐτὸς ἔχει. — Ἐὰν ἐκκινδυνεύῃ ὁ ἀνὴρ ἐπὶ τὰ ἀνδράποδα, καὶ ὁ τοκετὸς αὐτῶν ἐν αὐτῷ μένει. — Καὶ τὰ ἐκ τῶν προικιμαίων χρημάτων ἀγορασθέντα προικιμαῖά εἰσιν.[40]

λζ'. Καὶ γονὴ καὶ ἔρια τῶν προικιμαίων θρεμμάτων τῷ ἀνδρὶ διαφέρει ὡς καρπὸς καὶ ὀπέραι τουτέστιν οἱ κάματοι τῶν οἰκετῶν. — Οὐ προσπορίζει πατὴρ θυγατρὶ τὴν ἀπὸ συμφώνου ὠφέλειαν.

λη'. Ἐπὶ τῶν εὐφθάρτων πραγμάτων εὐχαριστεῖν ὀφείλει ἡ γυνὴ ὁσονδήποτε λαμβάνουσα τίμημα.[41] ση. ὁ πενθερὸς ὑπὸ τοῦ γαμβροῦ καὶ ἡ γυνὴ ὑπὸ τοῦ ἀνδρὸς ἀπαιτούμενοι ἣν ἐπερωτήθησαν προῖκα, πρὸς τὸ μέτρον τῆς οὐσίας αὐτῶν καταδικάζονται.

λθ'. Ἐὰν πρὸ τῶν γάμων δωρηθῇ τι ἢ ληγατευθῇ τῷ προικιμαίῳ δούλῳ, προστίθεται τῇ προικὶ, ὡς καὶ οἱ ληφθέντες πρὸ τῶν γάμων ἀπὸ τοῦ ἀγροῦ καρποί.[42] θεμάτισον τὸν δοῦλον καὶ μετὰ τὸν γάμον, ἐπειδὴ ὡς ἐξ ἰδίων ἐργασιῶν λαμβάνει ὁ ἀνὴρ τὸν δοῦλον, ληγάτα δὲ καὶ κληρονομίαι τοῦ δούλου τῇ γυναικὶ ὁρῶνται.[43]

---

36 Scilicet exciderunt nonnulla. 37 Dig. 23, 3, 69 § 1. 38 Cf. Theod. ad l. 2 C. V, 11 in Basil. III p. 428 et Joannem in Bas. III p. 448. — F addit §: Ὅσα ἡ μήτηρ καὶ ὁ πατὴρ ἐξώπροικα κτλ. (Vide infra tit. 27 c. 48) et §: Ἐὰν γνώμῃ τῆς αὐτεξουσίας μου θυγατρὸς ἐπιδῶ τὰ δωρηθέντα παρ' ἐμοῦ, οὐκ ἐγὼ ἀλλ' αὐτὴ δεδωκέναι δοκεῖ (Dig. 23, 3, 51). 39 Cf. Dig. 23, 3, 7 § 1. 40 Dig. 23, 3, 54. 41 Cf. Basil. 29, 1, 108 schol. 3. 42 Dig. 23, 3, 47. 43 Vide τοὺς παλαιοὺς ad l. l. in Basil. III p. 385, qui huic loco lucem afferunt.

μ'. Ὁ παρέχων ὑπέρ τινος προῖκα εἰ μὴ ἑαυτῷ ἀλλ' ἑτέρῳ ἐπερωτήσῃ τὴν ἀνάδοσιν, οὔτε αὐτὸς οὔτε ὁ ἐξωτικὸς ἔχει ἀγωγήν. ἀλλ' ἡ κόρη δηλονότι ἔχει τὴν πρόσφορον ἀγωγήν.[44]

μα'. Τῆς ὀφειλομένης παρά τινος λαβεῖν ἐν προικί τι διαλυομένου τοῦ γάμου ἀναλαμβάνει ὅσα κατέβαλεν ἐν προικί. τοῦτο νόει ἐπὶ ἐξωτικοῦ.

μβ'. Τὸ λεγόμενον ὅτι τὰ ἀναγκαῖα δαπανήματα τῷ αὐτῷ δικαίῳ μειοῖ τὴν προῖκα τοῦτο δηλοῖ, ὥστε τὸν ἄνδρα παρακρατεῖν τὸν ἀγρὸν ἢ μέρος αὐτοῦ ἕως οὗ λάβῃ τὴν δαπάνην. εἰ δὲ κατὰ μέρος εἰς τὸν ἀγρὸν ἐδαπανήθη ὅσον ἦν ἄξιος, παύεται εἶναι προικιμαῖος, εἰ μὴ ἐντὸς ἐνιαυτοῦ παράσχῃ τὰς δαπάνας.[45]

μγ'. Τῶν δαπανημάτων τὰ μὲν διὰ ἀναγκαίαν γίνονται χρείαν, τὰ δὲ διὰ τέρψιν ἢ διὰ κέρδος. διὰ ἀνάγκην εἰσὶ τὰ ἀναγκαίως γινόμενα καὶ ταῦτα μειοῦσι τὴν προῖκα ὅτε περὶ αὐτὴν γίνονται, οἷον μῶλοι ἐν θαλάσσῃ ἢ ἐν ποταμῷ, δέμα ἢ παράχωμα, ἢ ἀρτοκοπεῖον ἢ ὥρειον ἢ οἴκημα καταπίπτον [ἀνανεῶσαι], ἢ ἀμπελῶνα ἢ ἐλαιῶνα φυτεῦσαι, ἢ [εἰς] ἀσθένειαν πρὸς ὑγιείαν τῶν δούλων, ἢ[46] περὶ μελλούσης συμπτώσεως ἀσφάλειαν, ἢ φροντίσαι τῶν δένδρων, ἢ σπερματοθήκας. ταῦτά εἰσι δαπανήματα ἀναγκαῖα ἁπλῶς.[47]

μδ'. Τὰ δὲ ἐπὶ τέρψιν ἢ κέρδος γινόμενα οὐκ εἰσιν ἀναγκαῖα δαπανήματα· φυτεῦσαι παραδείσους ἢ [πρὸς] τέρψιν ποιεῖν τῆς γυναικὸς καὶ τὴν τῶν καρπῶν συλλογίαν τῆς γεωργίας. ταῦτα ὁ ἀνὴρ ἐκ τῶν ἰδίων ποιεῖται.[48]

---

[44] Theod. Cod. V, 12, 26 (Bas. III p. 442). Unde in F additur α'ς βι. ε' τί ιβ' διατ. κς' τοῦ κώδ. [45] Proch. 8, 9. Dig. 23, 3, 56 § 3.
[46] Nempe exciderunt nonnulla. Cf. Bas. III p. 296. [47] Dig. 25, 1, 1—3.
[48] Cf. Dig. 25, 1, 16. — F addit Ἐὰν ἐπιτρέψῃ με ἡ γυνή μου δοῦναι ὑπὲρ προικὸς τῆς κοινῆς θυγατρὸς ὅπερ αὐτῇ χρεωστῶ, εἰ μὲν ὀνόματι μοῦ δώσω, μένω τῇ γυναικὶ ἐνεχόμενος. εἰ δὲ ὀνόματι τῆς γυναικός μου παράσχω, ἐλευθεροῦμαι αὐτῆς (Dig. 23, 3, 82). — Ὁ ἀνὴρ διατετιμημένην προῖκα λαβὼν τὴν διατίμησιν πιστεύεται ἔχειν ἐν προικὶ καὶ οὐχὶ τὰ πράγματα. ὅθεν διαλυομένου τοῦ γάμου δύναται μὴ τὰ πράγματα αὐτὰ ἀλλὰ τὴν διατίμησιν αὐτῶν ἀποδοῦναι, εἰ μὴ συνεφωνήθη ὥστε τὰ πράγματα αὐτὰ ἀναδοθῆναι. βι. ε' τί. ιβ' διατ. ε' τοῦ κώδ. (cf. Bas. III p. 433). — Ἡ μήτηρ ὑπὲρ τῆς θυγατρὸς προῖκα ἐπιδιδόναι οὐκ ἀναγκάζεται, εἰ μὴ ἀπὸ μεγάλης καὶ δεδοκιμασμένης ἢ νόμῳ ἰδικῶς εἰρημένης αἰτίας. ὁ δὲ πατὴρ ἐκ τῶν τῆς γυναικὸς πραγμάτων μὴ βουλομένης αὐτῆς οὐδεμίαν ἔχει ἐξουσίαν διδόναι προῖκα (Cod. 5, 12, 14). — Τὸ πρᾶγμα ὅπερ δέδωκεν ὁ πατὴρ τῆς κόρης τῷ ἰδίῳ ἀνδρὶ ἤτοι γαμβρῷ οὐ δύναται ἐκποιεῖν, εἰ μὴ ἄρα διαλυθέντος τοῦ γάμου ἐπανέλαβεν αὐτό. βι. ιβ' τί. ιγ' διγ. ιγ' (Cod. 5, 12, 22). — Οὐ μόνον οὐκ ἐκποιεῖ ὁ ἀνὴρ τὴν ἀδιατίμητον προῖκα, ἀλλ' οὐδὲ ὑποτί-

με΄. Ἐὰν ὁ ἀνὴρ ἐκ τοῦ προικιμαίου ἀγροῦ δένδρα κόψῃ, εἰ μὲν ἐξ ὕλης τεμνομένης ἢ τὰ ἐν ἀγκάλαις φερόμενα, καρπός ἐστι καὶ ἀναλόγως μερίζεται. εἰ δὲ μὴ τοιαῦτα ἦσαν, ἐνέχεται ὁ ἀνὴρ βλάψας τὸν ἀγρόν. τὰ δὲ ἀπὸ βίας ἀνέμων κατενεχθέντα οὐκ ἐνέχεται.[49]

μϛ΄. Ἐὰν ὁμολογήσει τὶς διδόναι προῖκα εἴσω ἐνιαυτοῦ, ὁ ἐνιαυτὸς οὐκ ἀπὸ τῆς ἡμέρας τῆς ἐπερωτήσεως σκοπεῖται ἀλλ᾽ ἀπὸ τοῦ γάμου ἀριθμεῖται.[50]

μζ΄. Ἡ διατετιμημένη προῖξ τῷ ἀνδρὶ κινδυνεύεται· κἂν ἡ γυνὴ τὴν ἐσθῆτα κατατρίψῃ, τὴν ἀποτίμησιν αὐτῶν δίδωσιν. τῆς δὲ ἀδιατιμήτου καὶ ἡ αὔξησις καὶ ἡ μείωσις τὴν γυναῖκα ὁρᾷ. καὶ αὐτὴ λαμβάνει τὸν τοκετὸν τῶν δούλων, τοὺς δὲ καρποὺς καὶ τὴν γονὴν τῶν θρεμμάτων ὁ ἀνὴρ λαμβάνει, πρότερον μέντοι πληρῶν τὰ πρωτότυπα καὶ ὑποβάλλων ἀντὶ τῶν τελευτώντων ἐκ τῶν ἐπιγινομένων.[51]

[μη΄.] Ἐὰν δὲ πρὸ τῶν γάμων τελευτήσῃ τινὰ τῶν διατετιμημένων, τὴν γυναῖκα ὁρᾷ ἡ ζημία.[52] εἰ μὴ ἰδικῶς συνεφωνήθη ὥστε τὰ πράγματα αὐτὰ ἀναδοθῆναι, ὅτι ἐὰν τοῦτο ἔδοξε, τὰ πράγματα καὶ οὐ τὸ τίμημα αὐτῶν ἀναδίδοται. ὡς βι. ε΄ τί. ιβ΄ τοῦ κώδ.[53]

μθ΄. Τὰ κατὰ διατίμησιν ἐπιδοθέντα πράγματα ὅτε προβῶσιν οἱ γάμοι λαμβάνουσι τὴν σύστασιν.[54] τὸ γὰρ ἐπισυμβαῖνον τῷ ἀνδρὶ ὡς ἀγοραστῇ ἐκκινδυνεύεται.[55] ὅτι ὁ ἀδιατιμήτως λαμβάνων πράγματα ἐν προικὶ ἀγοράζειν αὐτὰ πιστεύεται διὰ τὰ βάρη τοῦ γάμου.

θεται κἂν συναινέσῃ αὐτῷ ἡ γυνή, δηλονότι εἰ μὴ ἀποτάξηται ἡ γυνὴ τὸ τῆς ἰντερκεσσίωνος δίκαιον, καὶ εὑρεθῇ ὁ ἀνὴρ εὐπορῶν ὥστε ἀλλαχόθεν ποιῆσαι αὐτῇ τὸ ἱκανὸν κατὰ τὴν νεαράν. ὡς γὰρ ἔγνως οὐ[δὲ ἡ γυνὴ] δύναται ἐκποιεῖν ὃ ἐπιδέδωκεν εἰς προῖκα (Theod. Cod. 5, 13 § 15. Basil. III p. 453). — Ἐάν τις προικίζων τὴν ἰδίαν θυγατέρα ἐπερωτήσῃ τῷ παιδὶ τῷ αὐτεξουσίῳ τὴν προῖκα ἀναδοθῆναι, οὐδὲ αὐτὸς ἔχει τὴν ἀπαιτοῦσαν τὴν προῖκα ἀγωγήν, ἐπειδὴ ἑαυτῷ μὴ ἐπερώτησεν, οὐδὲ ὁ παῖς, ἐπειδὴ δι᾽ ἐλευθέρου προσώπου ἀγωγὴ οὐ προσπορίζεται (Cod. 5, 12, 26). — Πᾶσα δὲ χρόνου παραγραφὴ ἀντικειμένη τῇ γυναικὶ ἐξ ἐκείνου τοῦ καιροῦ ψηφιζέσθω αὐτῇ ἐξ οὗ ἠδύνατο κινῆσαι, τουτέστιν εἰ μὲν εὔπορός ἐστιν ὁ ἀνὴρ ἐκ τῆς τοῦ γάμου διαλύσεως, εἰ δὲ ἄπορός ἐστιν ἐκ τοῦ καιροῖ τῆς ἀπορίας (Cod. 5, 12, 30). — Πάντες οἱ τὴν ἀπαίτησιν ἔχοντες καὶ οἱ τῇ δόσει ὑποκείμενοι συμφωνεῖν ὀφείλουσι περὶ τῆς ἀποδόσεως ἢ καὶ ἀναδόσεως (Dig. 23, 4, 1 § 1). [49] Dig. 24, 3, 7 § 12. [50] Dig. 23, 3, 48 pr. Proch. 8, 5. [51] Dig. 23, 3, 10. Proch. 8, 1. [52] Dig. cit. Proch. 8, 2. [53] Cf. Cod. 5, 12, 5. 21. Bas. 29, 1, 92 schol. 1. [54] Dig. 23, 3, 10 § 4. [55] Dig. 23, 3, 15. Bas. 29, 1, 11.

[ν'.] *Συνεστηκότος τοῦ γάμου ἡ προῖξ περιουσία ἐστὶν τοῦ ἀνδρός.*[56]

[να'. *Ἐὰν διατετιμημένον πρᾶγμα εἰς προῖκα δοθῇ καὶ εὑρεθῇ ὑποκείμενον ἐκδικεῖται καὶ ὁ δεδωκὼς ἐλευθεροῖ αὐτὸ τῆς ὑποθήκης*],[57] *ὡς βι. ιθ' τί. α' διγ. νβ'.*

νβ'. *Ἀχρήστως συμφωνεῖ ὁ ἀνὴρ τὸν τοκετὸν τῶν ἀδιατιμήτων θεραπαινῶν ἐπίκοινον ἑαυτοῦ καὶ τῆς γυναικὸς εἶναι. ἡ γονὴ γὰρ τοῦ ἀνδρός ἐστιν ἐπὶ τῶν διατετιμημένων πραγμάτων τῆς προικός.*[58]

ΤΙΤΛΟΣ κζ'.

Περὶ πάκτου προικὸς καὶ δικαίου προικὸς καὶ τῶν βαρῶν αὐτῆς.

α'. *Ὁ ἐπερωτηθεὶς διδόναι προῖκα οὐκ ἀπαιτεῖται αὐτὴν πρὸ τοῦ γάμου, ὡς βι. ιβ' τί. ιβ'*[1] *διγ. νζ'.*

β'. *Ἔτι συνεστῶτος τοῦ γάμου ἐγγυητὴς οὐ δίδοται. εἰ γὰρ ἑαυτὴν ἐπίστευσεν, πολλῷ μᾶλλον τὴν ἰδίαν προῖκα.*[2] *ση. ὅτι ὁ ἐγγυώμενος τὴν ἐπερωτηθεῖσαν προῖκα ἐνέχεται.*[3]

γ'. *Ὁ πατὴρ ἐπὶ τοιούτῳ συμφώνῳ προικίζων τὴν θυγατέρα ἐπὶ τῷ μηδὲν ἄλλο τῆς κληρονομίας αὐτοῦ λαβεῖν αὐτὴν οὐκ ἀποκλείει αὐτὴν τὴν τῆς κληρονομίας μετουσίαν, ὡς βι. λη' τί. ις' διγ. ις'.*[4]

---

[56] F addit *ὡς βι. η' τί. ς' διγ. η'. πρᾶσις γὰρ καὶ ἀγορασία πιστεύεται εἶναι καὶ ὡς πράσει γινόμενον τὸ σύμφωνον φυλάττεται. τοσοῦτον δὲ πρᾶσίς ἐστιν ὅτι πᾶσα βλάβη καὶ πᾶσα ὠφέλεια τῷ ἀνδρὶ διαφέρει. βι. β' τί. β'* (lege *ε'. ιβ'*) *τοῦ κώδ.* (Cod. 5, 12, 10). — *ἀντὶ τῆς ἐξ ἔμπτο τὴν ἐξ βενδίτο δέδωκεν ὁ βασιλεὺς ἀγωγήν. ὁ γὰρ ἀνὴρ ἀγοράζειν δοκεῖ τὰ διατετιμημένα τῆς προικὸς πράγματα, ἡ δὲ γυνὴ πιπράσκειν .... ἀντ' ἀλλήλων ὁρίζεσθαι τὰς ἀγωγὰς, καὶ τὸ ἐναντίον ἀντὶ τῆς ἐξ βενδίτο τὴν ἐξ ἔμπτο.* (Thalel. ad Cod. 2, 3, 11. Bas. I p. 654). — *Δικαιοτάτης κτήσεώς ἐστιν ἡ προὶξ καὶ ἔχομεν ἐπὶ τοῖς προικιμαίοις ἀγωγήν.* (D. 41, 9, 1 pr?). — *Τὰ προικῷα συμβόλαια οὐ συνιστῶσι τὴν προῖκα. ὅθειν καὶ ἀπολομένων αὐτῶν ἡ προὶξ ἀπαιτεῖται ἐὰν δείκνυται ἀλλαχόθεν. κἂν μὴ ὑπογραφῶσι μηδὲ πληρωθῶσιν ἢ ἀπολυθῶσιν, ὀφείλει ἡ προὶξ ἀπαιτεῖσθαι, ἐπειδὴ οὐκ ἔχει ἐξ αὐτῶν τὴν σύστασιν κατὰ τὸ ἐνταῦθα εἰρημένον* (Theod. Cod. 5, 12, 15).

[57] Suppleo ex V. Est Dig. 19, 1, 52 § 1. [58] Dig. 23, 3, 69 § 9.

[1] In V est *ιδ'*, in F *βι. β' τί. ιδ' διγ. ιζ'.* cf. Dig. 2, 14, 4. 23, 3, 21.

[2] Cod. 5, 20, 2. [3] Dig. 23, 3, 55. F addit *βι. μς' τί. ι' διγ. ξθ'.*

[4] F addit *ἐὰν πατὴρ τοῦτο μόνον εἴπῃ ἐν διαθήκῃ· διὰ τοῦτο ἐποίησά*

δʹ. Ἐπὶ τῆς ἑτερογενοῦς τουτέστιν ἐπὶ τῆς προικὸς ὁ ἐναγόμενος ἔχει τὴν ἐπιλογὴν ὃ βούλεται παρασχεῖν, ἢ τὰ πράγματα ἢ τὴν διατίμησιν τῶν πραγμάτων.[5]

εʹ. Ἐὰν συμφωνηθῇ μετὰ θάνατον τῆς γυναικὸς ἐπιδοθῆναι τὴν προῖκα, ἀνισχύρως συνεφωνήθη. οὐ γάρ ἐστι προῖξ ἡ τῷ βάρει τοῦ γάμου μὴ δουλεύσασα. εἰ δὲ μετὰ θάνατον τοῦ ἀνδρὸς ἐπιδοθῇ, ἰσχύει τὸ σύμφωνον.[6]

ςʹ. Ἐὰν τὴν πατρῴαν κληρονομίαν οἱ τοῦ τελευτήσαντος παῖδες διαδέξωνται, δεῖ τὸν ἕνα τῶν παίδων, ὑπὲρ οὗ καὶ τὴν προῖκα περιὼν ὁ πατὴρ ὑπεδέξατο, κατ' ἐξαίρετον ταύτην λαμβάνειν, ἐπειδὴ καὶ μετὰ τὴν τοῦ πατρὸς τελευτὴν τὰ τοῦ γάμου μόνος ὑφίσταται βάρη.[7]

ζʹ. Ὅπου τὰ βάρη τοῦ γάμου ἐκεῖ καὶ ἡ προῖξ ὀφείλει εἶναι· παραχρῆμα δὲ τοῦ ἀποθανεῖν τὸν πατέρα τῷ υἱῷ ἕπονται ὥσπερ καὶ οἱ παῖδες καὶ ἡ γυνή.[8] ὡς βι. μθʹ τί. ιζʹ διγ. ιςʹ· ἡ προῖξ διὰ τά βάρη τοῦ γάμου δίδοται καὶ διὰ τοὺς παῖδας. ἐκεῖνος γὰρ λαμβάνει τὴν προῖκα ὁ μέλλων ἔχειν τοὺς παῖδας ὑπεξουσίους κἄντε πατήρ ἐστι κἄντε πάππος.

ηʹ. Ἐὰν ὁ πατὴρ κατὰ φιλοτιμίαν ἐπιδῷ ἑνὶ τῶν παίδων εἰς χρῆσιν ἢ εἰς προῖκα πράγματα τῆς γυναικὸς αὐτοῦ, ἐκδικοῦσιν αὐτὰ ἐξίσης οἱ ἕτεροι καὶ μειοῦται ἡ προῖξ καὶ ἐνάγει ὁ γαμβρὸς αὐτόν. ση. τὰ μητρῷα οἱ παῖδες ἐπίσης μερίζονται.

θʹ. Ἐὰν ἐπηγγείλατο ἡ γυνὴ προῖκα διδόναι, μὴ εἴπῃ δὲ ποσότητα ἢ πρᾶγμα ῥητόν, ἄχρηστός ἐστιν ἡ τῆς προικὸς ἐπαγγελία, ὡς δυναμένης τῆς γυναικὸς εὐτελέστατόν τι παρασχεῖν.[9]

ιʹ. Πατὴρ δὲ ἐπαγγειλάμενος προῖκα ὑπὲρ τῆς ἰδίας θυγατρὸς κἂν μὴ εἴπῃ ποσότητα ἔῤῥωται ἡ ἐπαγγελία. βι. κγʹ τί. γʹ διγ. [ξθʹ θέ. εʹ]. — ὁ πατὴρ οὕτω λέγων οὐχ ὅσην θέλει δίδωσι προῖκα ἀλλ' ὅσην εὐπορεῖ.[10]

ιαʹ. Ὁ ἀνὴρ ἐπιτρέπων ἑτέρῳ τινὶ δοθῆναι τὴν προῖκα αὐτὸς πιστεύεται αὐτὴν εἰληφέναι.[11]

ιβʹ. Ἡ γυνὴ κατὰ τῶν τοῦ ἀνδρὸς κληρονόμων ὀφείλει κινεῖν τὴν περὶ προικὸς ἀγωγήν. ἐπὶ νομῆς γὰρ τῶν πραγμά-

---

σε ἐξνερεδάτον ὦ θύγατερ, ἐπειδὴ θέλω σε ἀρκεσθῆναι τῇ προικί σου· ἰσχύει ἡ ἐξνερεδατίων. βι. ιʹ τί. εʹ διγ. ξαʹ. (Dig. 28, 5, 61). — V inserit §: Ὁ ἀνὴρ καὶ ἄπορος ὢν πᾶσαν τὴν προῖκα χρεωστεῖ (Proch. 9, 2). [5] Dig. 23, 3, 10 § 6. Cf. Bas. III p. 358. [6] Cf. Dig. 23, 3, 76. Bas. III p. 417. [7] Pars indicis dig. 56 § 1. 2. Dig. 23, 3. Vide Bas. III p. 391 schol. 2. [8] Dig. 23, 3, 56 § 1. 2. [9] Cod. 5, 11, 1. [10] Theod. Cod. 5, 11, 3. Bas. III p. 428. [11] Dig. 23, 3, 19.

των γενέσθαι οὐ δύναται μήτε συναινούντων ἐκείνων, μήτε ἀποφάσεως ἀρχικῆς προηγουμένης οὐ δύναται. κἂν ἐν νομῇ γένηται οὐ δεσπόζει αὐτῶν, ὡς βι. ζ' τί. οβ'[12] διατ. η'. πλὴν παρακελεύεται τύπος τὶς λέοντος, οὗ ἡ ἀρχή· ὁ κράτιστος καὶ γαληνότατος βασιλεὺς, δύνασθαι τὴν γυναῖκα ἐπὶ νομῆς εἶναι τῶν πραγμάτων ποιοῦσαν μέντοιγε καταγραφὴν κατὰ τὴν διάταξιν τῶν ἐκλογῶν, ὡς νεα. ϙθ'[13].

ιγ'. Ἀγρὸν διατετιμημένον ἐπιδοῦσα γυνὴ ρ' νομισμάτων ὕστερον συνεφώνησεν ἵνα διαζυγίου γενομένου τοσούτου ἄξιος ὁ ἀγρὸς ἀποδοθῇ. τοῦτον ὁ ἀνὴρ συναινούσης αὐτῆς σ' νομισμάτων ἐπώλησεν.[14] ση. εἰ γὰρ ἦν ἀδιατίμητος, οὐδὲ συναινούσης αὐτῷ τῆς γυναικὸς ἠδύνατο αὐτὸν ἐκποιεῖν, ὡς βι. β' ἰνστ. η'. εἰ καὶ διατετιμημένος ἦν ὁ ἀγρὸς, οὐ δοκεῖ χείρων γίνεσθαι ἡ αἵρεσις τῆς γυναικὸς διὰ τῆς μετὰ ταῦτα συναινέσεως.[15]

ιδ'. Ἐὰν συμφωνήσῃ ὁ ἀνὴρ τῇ γυναικὶ ἐκ τῶν καρπῶν τῆς προικὸς ἀποτραφῆναι ταύτην καὶ τοὺς αὐτῆς, ἰσχύει τὸ σύμφωνον.[16] — Ἃ μὲν ἐπερωτηθῇ ὁ ἀνὴρ δοῦναι κατὰ χάριν τῇ ἰδίᾳ γυναικὶ δαπανήματα οὐκ ἀπαιτεῖται. ἐὰν δὲ καταβάλῃ τὶ ἐξ αὐτῶν, οὐκ ἔχει ἀνάληψιν.[17] ὡς βι. κα'[18] τί. α' διγ. α'. τὰ καταβληθέντα ἐξ ἀνάγκης νόμου μὴ ὀφειλόμενα, ἐὰν ἐκπροαιρέσεως ἕνεκα καταβληθῶσιν, οὐκ ἀναλαμβάνονται. ὡς βι. ε' τί. ις' διατ. ια' τοῦ κώδ.

ιε'. Ἄγροικος πατὴρ προῖκα ὑπὲρ θυγατρὸς ἐπιδοὺς συνεφώνησε τρέφειν τὴν γυναῖκα καὶ τοὺς αὐτῶν, καὶ μετὰ χρόνον τινὰ ὡς τόκους χρεωστῶν ἐχειρογράφησεν τῷ γαμβρῷ διδόναι τοὺς τόκους. οὐκ ἀπαιτεῖται αὐτούς. ὡς βι. μδ' τί. δ' διγ. ιζ'. — τοῦτο φύσει ἦν τὸ χρέος καὶ διὰ τοῦτο οὐκ ἀπαιτεῖ αὐτὸ ὁ δικαστής. ὅτι τὸ φύσει χρεωστούμενον ἀπαιτεῖσθαι μὲν οὐ δύναται, καταβληθὲν δὲ οὐ ῥεπετιτεύεται τουτέστιν οὐκ ἀναστρέφεται.[19] — σχόλ. ἐν τοῖς ἰδιωτικοῖς συμφώνοις τὰ κοινὰ νόμιμα οὐ καταβλάπτονται.[20]

---

[12] Codices ξβ' vel ξη'. [13] V ιθ'. — Theod. Cod. 5, 18, 9. Cf. Bas. III p. 295. [14] Dig. 23, 4, 32 pr. Exciderunt complura. [15] Videsis Bas. III p. 479. [16] Cod. 5, 14, 2. [17] Cod. 5, 16, 11. [18] Forte lib. XXIV Bas. intelligendus est. [19] F addit βι. ε' τί. κ' διατ. ια' τοῦ κώδ.
[20] F addit βι [ν'] τί. ιζ' διγ. [με']. οὐδὲ πακτεύων τὶς οὐδὲ ὅρον τιθεὶς ἐν συναλλάγμασιν ἀλλ' ὡς ἀσφάλειαν ποιεῖ οὐδὲ ἐπερωτῶν. βι. λς' τί. α' διγ. ε'. V addit σχόλ. τελευτώσης τῆς θυγατρὸς ἀποδίδοται τῷ πατρὶ ἡ προφεκτικία προῖξ, ὡς βι. ιε' τί. α' διατ. α' τῆς συλλογῆς.

ιϛ'. Ἀνισχύρως συμφωνεῖ ἡ γυνὴ τελευτώσης αὐτῆς ἐν τῷ γάμῳ μέρος τῆς προικὸς ἀποδοθῆναι τῇ μητρὶ αὐτῆς, ὡς βι. κα' τί. α' διγ. α'.[21]

ιζ'. Ἰσχυρῶς πακτεύει ὁ πατὴρ τουτέστι συμφωνεῖ μὴ ἀπαιτηθῆναι ἕως ὅτε περίεστι προῖκα ἣν ἐπερωτήθη τῷ γαμβρῷ αὐτοῦ. ὡς βι. κθ' τί. α' διγ. α'.

ιη'. Ἐὰν συμφωνηθῇ τὰ διατετιμημένα πράγματα τῆς προικὸς μετὰ τὴν λύσιν τοῦ γάμου ἐν τῷ οἰκείῳ σώματι ἀποδοθῆναι μετὰ τῆς συμβαινούσης αὐτοῖς αὐξήσεως ἢ μειώσεως, ἔῤῥωται τὸ σύμφωνον.[22]

ιθ'. Ὁ ἐπερωτηθεὶς τῷ γαμβρῷ αὐτοῦ προῖκα καὶ ληγάτον εἶναι αὐτὴν τῇ θυγατρὶ [διαθέμενος] οὐ ποιεῖ τοῖς δυσὶν ἔνοχον τὸν ἴδιον κληρονόμον, ἀλλ' εἷς μόνος ἀπαιτεῖ[23] ὃς ἐὰν συναρέσῃ αὐτοῖς,[24] διὰ τὸν κανόνα τὸν λέγοντα· δύο ἐπικερδεῖς αἰτίαι εἰς τὸ αὐτὸ πρόσωπον ἢ εἰς τὸ αὐτὸ πρᾶγμα συντρέχειν οὐ δύνανται. — σχόλ. ἡνίκα γὰρ εἰς τὸ αὐτὸ πρόσωπον συντρέχουσι δύο ἀγωγαὶ, ἡ μὲν πρωτότυπος ἡ δὲ προσθήκη, ἀναιρεῖται ἡ προσθήκη· ἐὰν δὲ αἱ δύο πρωτότυποί εἰσιν, μένουσιν ἐῤῥωμέναι. — Ἐὰν ὁ πατὴρ ὁμολογήσας προῖκα ληγατεύσῃ [προῖκα], εἰ μὲν τῷ γαμβρῷ, ἀνίσχυρον τὸ ληγάτον· οὐ γὰρ ἐῤῥωμένως τὶς ληγατεύει τῷ δανειστῇ[25] αὐτοῦ, ὅπερ αὐτῷ χρεωστεῖ. εἰ δὲ τῇ θυγατρὶ, ἔῤῥωται. ἡ μὲν γὰρ προῖξ τῷ ἀνδρὶ ἀπὸ τῆς ἐπερωτήσεως διαφέρει, τὸ δὲ ληγάτον τῇ θυγατρὶ κεχρεώστηται, καὶ λαμβάνει ἡ θυγάτηρ ἑκάτερον.[26]

κ'. Ἐὰν συμφωνηθῇ ἐξ ἀπαιδίας τὸν ἄνδρα κερδάναι τὴν προῖκα, καὶ ναυαγήσῃ ἡ γυνὴ μετὰ ἐνιαυσιαίου παιδίου, δοκεῖ προτελευτᾶν τῆς μητρὸς αὐτοῦ ὁ παῖς, καὶ κερδαίνει ὁ ἀνήρ.[27] — σῆ. τοῦτο νόησον ἐπὶ τῶν συμπτώσεων προκρίνειν τὸν παῖδα παρὰ τὴν μητέρα ὡς ἀσθενέστερον.[28]

κα'. Ἐὰν γυνὴ κατὰ ἀψιμαχίαν λαβοῦσα τοὺς παῖδας ὑπαναχωρήσῃ τοῦ ἀνδρὸς, ὁ δὲ ἀγοράζων τὴν φιλίαν αὐτῆς συμφω-

---

[21] V et F ὡς βι. κα' τί. α' (vel γ'). ἀνάγν. βι. λϛ' [κα' τί. α'] διγ. α'. — Est Dig. 36, 1, 59 § 1. [22] Cf. Cod. 5, 18, 1. [23] F ἓν μόνον ἀπαιτεῖται. Mox ὡς ἄν? [24] Proch. 9, 5 ex Dig. 33, 4, 1 § 9. [25] F χρεώστῃ, ut Bas. 29, 1, 25. [26] Dig. 23, 3, 29. — V addit quae Bas. l. l. plura habent. F addit §: ὡς βι. λγ' τί δ' διγ. α'· εἰ ὁ πενθερὸς τῷ γαμβρῷ προῖκα ληγατεύσει, καλῶς καταβάλλεται τῇ γυναικί. [27] Proch. 9, 6 ex Dig. 23, 4, 26 pr. [28] F addit σῆ. διὰ τὸ ὅλως ἄνηβον εἶναι τὸν παῖδα, et paulo ante recte laudat βι. λδ' τί. ε' διγ. κβ'.

νήσῃ μὴ ἀπαιτῆσαι τὴν προῖκα εἴγε πρὸς αὐτὸν ὑποστρέψοι, οὐκ ἔῤῥωται τὸ σύμφωνον.[29]

κβ'. Ἐὰν συνεφώνησε πρὸς τὸν πενθερὸν ὁ γαμβρὸς, ἵνα ἐὰν συμβῇ αὐτὸν ἐν τῷ γάμῳ τελευτῆσαι παίδων ὑπόντων τὸ ἥμισυ τῆς προικὸς μόνον ἀποδοθῇ, ἄχρηστόν ἐστι τὸ σύμφωνον.[30]

κγ'. Ἐὰν ὁ ἀνὴρ συμφωνήσῃ πρὸς τὴν γυναῖκα ἵνα τελευτῶσαν αὐτὴν κληρονομήσῃ, τοῦτο τὸ σύμφωνον ἄχρηστόν ἐστιν. οὐδὲ γὰρ δυνατὸν διὰ συμφώνου τυποῦσθαι τὰ περὶ τῆς ἡμετέρας κληρονομίας· ἐξωτικὸς γὰρ ἄνθρωπος διαθήκης χωρὶς ἕτερον οὐ δύναται κληρονομεῖν· ἡ γὰρ κληρονομία τοῖς ἐξωτικοῖς ἐν διαθήκῃ δίδοται.[31] — σχόλ. ὅσα σύμφωνα ὑπεναντία τοῦ νόμου ἢ τῶν καλῶν τρόπων, ἐκ τῶν μετὰ ταῦτα ἐπιγινομένων οὐδεμίαν ἰσχὺν ἔχει.

κδ'. Ὁ ἀνὴρ συνεστῶτος τοῦ γάμου μὴ διδότω τῇ γυναικὶ τὴν προῖκα χωρὶς εὐλόγου αἰτίας. τοῦτο γὰρ ποιῶν δοκεῖ δωρεῖσθαι αὐτῇ καὶ ἀπαιτεῖται τὴν προῖκα αὐτῆς μετὰ καὶ τῶν ἐν μέσῳ καρπῶν. ὡς βι. ιβ' τί. δ' διατ. ιθ'.[32]

κε'. Ὁ κατὰ πλάνην νομίσας χρεωστεῖν γυναῖκα καὶ διὰ τοῦτο προῖκα ὑπὲρ αὐτῆς ἐπερωτηθεὶς προβαινόντων τῶν γάμων ἀπαιτεῖται αὐτὴν ἰσχυρῶς. ὡς βι. ιβ' τί. δ' διγ. θ'.

κς'. Ἐὰν γένηται σύμφωνον ἵνα προτελευτώσης τῆς γυναικὸς ἡ προῖξ ἀπομείνῃ παρὰ τῷ ἀνδρὶ, ἐὰν παρὰ τοῦ πατρὸς δεδομένη ἐστὶν ἡ προῖξ, ἔῤῥωται τὸ σύμφωνον καὶ ἀποκλείεται ὁ πατήρ· δυνατὸν γὰρ βλάπτεσθαι ἀπὸ συμφώνου τὴν προῖκα ὅτε μόνος ὁ πατὴρ μέλλει περὶ αὐτῆς ἐνάγειν.[33]

κζ'. Εἴτε ἀγρὸς εἴτε χρῆσις ἐν προικὶ δοθῇ, καλῶς συμφωνεῖται τοὺς καρποὺς εἶναι προικιμαίους καὶ μόνους τοὺς τόκους αὐτῶν τὸν ἄνδρα καρπίζεσθαι.[34] σῆ. ὁ ἀνὴρ τοὺς καρποὺς τῆς προικὸς λαμβάνει διὰ τὰ βάρη τοῦ γάμου. σῆ. ἀλλ' οὐδὲ δύναται συμφωνεῖν ὁ ἀνὴρ ὥστε κληρονομεῖν τὰ ἐξώπροικα τῆς ἰδίας γυναικός.[35] — σχόλ. Οὐκ ἐξουσιάζει ὁ ἀνὴρ τῶν ἐξω-

---

[29] Proch. 9, 7 ex Dig. 23, 4, 27. [30] Proch. 9, 8 ex Cod. 5, 14, 3. [31] Proch. 9, 9 ex Cod. 5, 14, 5. [32] F βι. ε' τί. ιθ' διατ. α'. — Theod. Nov. 22 § 39, ubi legitur ἀνάγν. βι. ε' τοῦ κώδ. τί. ιβ' διατ. κθ' καὶ τί. ιθ' διατ. α'. — F addit Ἐὰν ἡ γυνὴ παρὰ τοῦ ἰδίου ἀνδρὸς λέγει ὑποστῆναι καινοτομίαν εἰς τὰ ἀνήκοντα αὐτῇ, χωρὶς δὲ ἀπογραφῆς εἴτε διηνεγκοῦς ἐπιδείξεως μηδὲν ζητεῖν μηδὲ ζητοῦσαν λαμβάνειν. νεα. ϙθ'. [33] Proch. 9, 10 et Cod. 5, 14, 6. [34] Dig. 24, 4, 4. [35] Hanc σημείωσιν G inferius post § 2 collocat. Ego vero V et F sequor.

προίκων τῆς ἰδίας γυναικός. ὅθεν εἰ κατὰ γνώμην αὐτῆς δαπανήσει αὐτὰ, καταδικάζεται εἰς ὅσον εὐπορεῖ· εἰ δὲ χωρὶς αὐτῆς ἀναλώσει αὐτὰ, τὸ πᾶν ἀπαιτεῖται.[36]

κη'. Ἐὰν γυνὴ γραμματεῖα ἔχουσα χρεωστῶν ἰδίων ταῦτα δέδωκεν ἐξώπροικα τῷ ἰδίῳ ἀνδρὶ, τὰς μὲν ἀγωγὰς αὐτὴ ἐχέτω, ἐξέστω δὲ τῷ ἀνδρὶ ταύτας κινεῖν ὡς προκουράτορι τῆς γυναικὸς μηδεμίαν ἀπαιτουμένῳ ἱκανοδοσίαν· ἀρκεῖ γὰρ αὐτῷ πρὸς ἀσφάλειαν τὸ ἐπιδεῖξαι ὅτι γέγραπται ἐν τῷ προικῴῳ συμβολαίῳ ἡ τούτων τῶν πραγμάτων ἐν ἐξωπροίκοις ἐπίδοσις.[37] ἀπαιτήσας μὲν τοὺς τόκους εἰς ἑαυτὸν καὶ τὴν γυναῖκα δαπανάτω, τὸ δὲ κεφάλαιον φυλαττέτω τῇ γυναικὶ καὶ εἰς τὰς ἀρεσκούσας αὐτῇ[38] χρείας ἀναλισκέτω.[39]

κθ'. Καλῶς συμφωνεῖ ὁ πατήρ· ἐὰν ἐμοῦ ζῶντος ἀποθάνῃ ἡ θυγάτηρ μου ἡ προῖξ ἀποδοθῇ μοι, εἰ δὲ προαποθάνω τῷ υἱῷ μου, ἢ κἀκείνου προτελευτήσαντος ἀποδοθῇ τῷ κληρονόμῳ μου.[40]

λ'. Ταχύτερον τοῦ ὡρισμένου χρόνου δύναται συμφωνεῖν ἀποδοθῆναι τὴν προῖκα, οὐ μὴν βραδύτερον, ὥσπερ οὔτε[41] τὸ μηδόλως ἀπαιτηθῆναι.[42]

λα'. Ὁ νόμιμος χρόνος ἐστὶν ὁ ἐνιαυτὸς τῆς ἐπιδόσεως. καὶ εἰ μὲν ἀκίνητά εἰσι, παραχρῆμα ἀποδίδοσθαι ὀφείλουσιν, εἰ δὲ κινητὰ ἢ αὐτοκίνητα ἢ ἀσώματα, ἐντὸς ἐνιαυτοῦ. μετὰ γὰρ τὸν χρόνον καὶ ὁ τῆς ἐπιδόσεως καὶ ὁ τῆς ἀναδόσεως χρόνος σκοπεῖται.[43]

λβ'. Ἡ ὁμολογήσασα προῖκα ῥητοῦ ποσοῦ καλῶς συμφωνεῖ ἀντὶ τῶν χρημάτων ἀνδράποδα παρασχεῖν ἐφ' ᾧ αὐτῇ ἐγκινδυνεύειν καὶ αὐτῇ διαφέρειν τὰ ἐξ αὐτῶν τικτόμενα. δυνατὸν γὰρ ἐπὶ λυσιτελείᾳ τῆς γυναικὸς τὴν ἐν χρήμασι προῖκα μεταγαγεῖν εἰς πράγματα.[44]

λγ'. Πατὴρ ἐπαγγειλάμενος προῖκα συνεφώνησε μὴ ἀπαιτηθῆναι αὐτὴν τοῦ γάμου συνεστῶτος.[45] καὶ εἰ μὲν ἡ θυγάτηρ αὐτοῦ ἐν τῷ γάμῳ τελευτήσοι ἄπαις, τὸ ἥμισυ τῆς προικὸς μεῖναι παρὰ τῷ γαμβρῷ καὶ τὸ ἥμισυ δοθῆναι τῷ υἱῷ αὐτοῦ, ἢ καὶ τελευτῶν ὅλην τὴν προῖκα τῇ θυγατρὶ ἐληγάτευσε,

---

[36] Cod. 5, 16, 17. [37] F σημ. G σχόλ. adscribit. [38] V αὐτοῖς. [39] Cod. 5, 14, 11. [40] Dig. 23, 4, 9. [41] Ita libri et Bas. [42] Dig. 23, 4, 14—16. [43] Corruptissimum hoc scholium ad Dig. 23, 4, 17 (Bas. 29, 1, 15) pertinere videtur. [44] Dig. 23, 4, 21. [45] Bas. 29, 1, 11 ex Dig. 23, 4, 11.

καὶ τεκοῦσα ἡ θυγάτηρ ἐτελεύτησεν ἐπὶ παιδὶ καὶ ἀδελφῷ κληρονόμοις, ἤδη τοῦ γάμου διαζυγίῳ διαλυθέντος. τὸ ἥμισυ ὁ ἀνὴρ[46] λαμβάνει, τὸ δὲ ἥμισυ ἐπ' ὀνόματι τοῦ παιδός.[47]

λδ'. Καὶ συνεστῶτος τοῦ γάμου δυνατὸν συμφωνεῖν τὴν διατετιμημένην προῖκα γενέσθαι ἀδιατίμητον καὶ τῇ γυναικὶ κινδυνεύειν. εἰ δὲ βλάψοι τοὺς ἀγροὺς ὁ ἀνήρ, ἐνέχεται τῇ ἀγωγῇ τῇ περὶ προικός.[48] — σῆ. δύναται τὰ συμβόλαια τῆς προικὸς καὶ συνεστώτων ἔτι τῶν γάμων ἐναλλάττεσθαι τοῦ πατρὸς τῆς κόρης τοῦτο κελεύσαντος ἐν διαθήκῃ. βι. κς' τί. ε' διγ. ζ'. καὶ αὐξάνεσθαι καὶ ἐλαττοῦσθαι δύναται ἡ προῖξ συνεστηκότων ἔτι τῶν γάμων, ὡς βι. λα' τί. κς' διγ. ζ'.[49]

λε'. Ὁ δόλος τοῦ πατρὸς τῆς γυναικὸς τὴν γυναῖκα ὀφείλει μᾶλλον βλάπτειν περὶ τὴν προῖκα, οὐχὶ δὲ τὸν ἄνδρα. ὡς βι. κδ' τί. γ' διγ. μθ'.

λς'. Ἐὰν ἐξωτικὸς ἐπαγγειλάμενος προῖκα ἀπορήσῃ, ὁ ἀνὴρ ὡς μὴ ἀπαιτήσας ἐγκινδυνεύει, εἰ μὴ ἄρα κατὰ δωρεὰν ἐπηγγείλατο. τότε γὰρ τοῦ ἀνδρὸς φειδόμεθα μὴ κατακρημνίσαντος πρὸς καταβολὴν τὸν δωρησάμενον, ἐπειδὴ καὶ οἱ δωρούμενοι μέχρις εὐπορίας καταδικάζονται.[50]

λζ'. Πάντες οἱ ἐπαγγειλάμενοι προῖκα ἐνέχονται οἵας ἂν εἶεν φύσεως ἢ αἱρέσεως. εἰ δὲ μὴ γένωνται οἱ γάμοι, οὐ κινεῖται ἡ περὶ τῆς ἀπαιτήσεως τῆς προικὸς ἀγωγή· οὐ γὰρ τοῖς ῥήμασιν ἀλλὰ τοῖς πράγμασι[51] δεῖ προσέχειν.[52]

λη'. Ἡ διάταξις κελεύει· ἐπὶ πάσης ὁμολογίας ἀπαίτησιν ἔχει ἡ προῖξ, κἂν μὴ προηγήσατο ἐπερώτησις.[53] — σῆ. ὅτι ἐπὶ τοῖς ῥητοῖς πράγμασιν οὐ κωλύεται ὁ ἀνὴρ τοὺς προικιμαίους δούλους ἐλευθεροῦν ἐν συνεστῶτι τῷ γάμῳ καὶ ἅμα τῷ τελευτῆσαι καὶ κατὰ ἀποκατάστασιν μετὰ χρόνους τινὰς καὶ ἔτι ζῶν. ἔῤῥωνται αἱ ἐλευθερίαι κἂν τὰ μάλιστα ἁρμόσῃ τῷ πενθερῷ ἡ ἀπαίτησις τῆς προικός. κἂν ἀδιατίμητοί εἰσι· προικιμαῖοι γὰρ κυρίως οἱ ἀδιατίμητοι λέγονται.[54]

λθ'. Ὁ κωφὸς καὶ ὁ ἄλαλος καὶ ὁ τυφλὸς ἐνέχονται περὶ προικός, ἐπειδὴ καὶ γαμεῖν δύνανται.[55]

---

[46] V in margine: τοῦτο εἰς τὸ παλαιὸν οὕτως ἔχει· τὸ ἥμισυ τῆς προικὸς ὁ ἀδελφὸς λαμβ. καὶ τὸ ἥμ. ὁ ἀνὴρ ὀνόμ. τ. π. Addit G et V σῆ. δι' ὧν συνεφωνήθη ἐξ ἀπαιδίας δοθῆναι αὐτῷ τὸ ἥμισυ. [47] Bas. 29, 1 28 ex Dig. 23, 4, 30. [48] Dig. 23, 4, 29 pr. [49] V ξ'. [50] Dig. 23, 3, 33.
[51] V τῷ πράγματι [52] Dig. 23, 3, 41 pr. § 1. [53] Cod. 5, 11, 6.
[54] Cod. 5, 12, 3 cum scholio Thalelaei. Vide Bas. 29, 1, 90. [55] Dig. 23, 3, 73 pr.

μ'. Ἡ κατὰ φόβον γενομένη τῆς προικὸς ἐπερώτησις οὐδεμίαν τίκτει ἀγωγήν.[56]

μα'. Ἐὰν δοκιμασίᾳ τοῦ πενθεροῦ μου ἐπερωτήσω αὐτὸν προῖκα μὴ δηλωθέντος πράγματος ἢ ποσοῦ, ἔρρωται καὶ περιαιρουμένης τῆς δοκιμασίας ὁρίζεται ἡ προῖξ πρὸς τὴν οὐσίαν αὐτοῦ καὶ τὴν ἀξίαν μου.[57] — σχόλ. τὸ περιαιρεθὲν ἶσόν ἐστι τῷ ἀφαιρεθέντι, ὡς βι. λε' τί. δ'.

μβ'. Ὅσα δίδωσιν ἔξωθεν τῆς προικὸς ὁ πατὴρ τῇ θυγατρὶ δύνανται οἱ κληρονόμοι τοῦ πατρὸς ἐκδικεῖν, ἐὰν ἄρα καὶ ἡ θυγάτηρ κληρονομῇ. ἐὰν δὲ μὴ κληρονομῇ, οὐδὲν λαμβάνουσιν.[58]

μγ'. Ἐὰν ἡ γυνὴ τὸν ἐπαγγειλάμενον αὐτῇ προῖκα κληρονομήσῃ, αὐτὴ ἐγκινδυνεύει τῇ προικί.

μδ'. Ἐὰν ἑτέρου ἐπαγγειλαμένου προῖκα ὑπὲρ τῆς θυγατρός μου κληρονομήσω αὐτὸν καὶ παράσχω τὴν προῖκα, εἰ μὲν πρὸ τῶν γάμων ἐκληρονόμησα, ὡς παρὰ πατρὸς δεδομένη ἐστί. ἠδυνάμην γὰρ στεῖλαι διαζύγιον καὶ λῦσαι τῆς προικὸς τὴν ἐπερώτησιν. εἰ δὲ μετὰ τὸν γάμον, οὐκ ἔστιν ὡς παρὰ πατρὸς δεδομένη, ἀλλ' ὡς κληρονόμου.[59]

με'. Ἐπὶ τοῖς προικιμαίοις πράγμασιν χρεωστεῖ ὁ ἀνὴρ δόλον καὶ ῥαθυμίαν καὶ ἐπιμέλειαν οἵαν καὶ ἐν τοῖς ἰδίοις.[60]

μς'. Ἡ πατρώνισσα τὴν ὁμολογηθεῖσαν ὑπὲρ τῆς ἀπελευθέρας προῖκα παρακρατεῖν οὐ δύναται καθὸ γέγονεν ἀχάριστος.[61]

μζ'. Ἡ ἐπιδοθεῖσα παρὰ τοῦ τελευτήσαντος προῖξ οὐκ ἀνατρέπεται, εἰ καὶ διὰ τῆς δε ἰνοφφικιόσο ἀνετράπη,[62] ὡς βι. ε' τί. δ' διγ. ιθ'.[63]

μη'. Ὅσα ἡ μήτηρ καὶ ὁ πατὴρ ἐξώπροικα ὑπὲρ τῆς θυγατρὸς παρέχουσι πράγματα τῷ γαμβρῷ εἰ καὶ ἀπαιτήσειαν αὐτὸν ὁμολογίαν δηλοῦσαν, ὅτι εἰς χρῆσιν τῆς θυγατρὸς δεδώκαμεν αὐτῷ, οὐ παρὰ τοῦτο μόνον ἰσχύει, ἀλλ' ὅτι καὶ δέσποιναν αὐτὴν ἐποίησαν. διὰ τοῦ μόνον χωρίσαι ταῦτα τῆς προικὸς τὴν τοιαύτην ὁμολογίαν ἔλαβον παρὰ τοῦ γαμβροῦ αὐτῶν. βι. μα' τί. δ' διγ. λβ'.[64]

---

56 Dig. 4, 2, 21 § 3. 57 Dig. 23, 3, 69 § 4. — F addit σχόλ. σκοπεῖται οὖν ἡ οὐσία καὶ ἡ ἀξία τοῦ πατρὸς καὶ ὁ ἀριθμὸς τῶν παίδων. Eadem G habet post § 47 posita. 58 F hic addit βι. λζ' διγ. η'. Est enim Dig. 37, 7, 8. 59 Dig. 23, 3, 5 § 14. 60 Dig. 23, 3, 17 pr. 61 Dig. 23, 3, 69 § 6. 62 Sc. ἡ διαθήκη. 63 Imo Dig. 5, 2, 11. 64 F λα'. Cf. Dig. 23, 3, 9 § 3 et Dig. 39, 5, 31 § 1 in Bas. 47, 1, 30 schol.

μθ'. Πατρὸς αὐτεξουσίαν[65] θυγατέρα προικίζοντος οὐκ ἐν τῇ αὐτοῦ περιουσίᾳ ἀλλ' ἐν τῇ τῆς θυγατρὸς ἡ προῖξ εἶναι πιστεύεται. ὡς βι. λζ' τί. ς' διγ. δ'.[66]

ν'. Ἡ μὲν μήτηρ προῖκα παρέχουσα ὑπὲρ θυγατρὸς καὶ συμφωνοῦσα τὴν ἀνάδοσιν ἀπαιτεῖ αὐτὴν κἂν μὴ ἐπερώτησεν. ὁ δὲ πατὴρ ἐπιδοὺς προῖκα ἐὰν μὴ ῥητῶς ἐπερωτήσει τὴν ἀνάδοσιν, οὐκ ἔχει ἀγωγὴν ἐπ' αὐτῇ. ὡς βι. ε' τί. ιβ' διατ. ς' τοῦ κώδ.[67] — Οὐ μόνον οὐκ ἀναγκάζεται ἡ μήτηρ προικίσαι τὴν θυγατέρα αὐτῆς ἐκτὸς τῶν ἐγνωσμένων αἰτιῶν τοῖς νόμοις, ἀλλ' οὐδὲ ὁ ἀνὴρ ἐκ τῶν πραγμάτων αὐτῆς μὴ θελούσης. τοῦτο μόνον δέξαι ἐπὶ μητρὸς, οὐκέτι μὴν καὶ ἐπὶ πατρός. ἀναγκάζεται γὰρ ὁ πατὴρ τὴν θυγατέρα αὐτοῦ προικίσαι. διατ. ια'.[68] τὸ γὰρ μεῖζον λέγει καὶ ϙζ' νεαρὰ, ὡς καὶ ἣν ἔδωκεν προῖκα τῇ θυγατρὶ ἀναλαβὼν ὀφείλει φυλάξαι.[69]

να'. Τὰ ἐπαγγελθέντα λόγῳ προικὸς εἰ μὴ ἐντὸς δύο ἐτῶν καταβληθῶσιν, ἀπαιτοῦνται καὶ οἱ τόκοι αὐτῶν ἑκατοστιαῖοι·[70] καὶ ἐὰν ὦσι κινητὰ καὶ διετιμήθησαν, μεθοδεύονται πρὸ τῆς διετίας, καὶ πάλιν εἰ ὑπερτεθῶσιν, ἀπαιτοῦνται οἱ τόκοι αὐτῶν.[71] — σχόλ. Ἐὰν [ἡ] μήτηρ δαπανήσῃ τὴν οὐσίαν αὐτῆς εἰς προῖκα, ἐχέτωσαν οἱ παῖδες αὐτῆς τὴν de inofficiosis dotibus. τί γὰρ, ὅτι δευτερογαμήσασα ἐπέδωκε πάντα τὰ ἴδια; ὡς βι. η' τί. β' διατ. α' καὶ β' (?) καὶ βι. γ' τί. λ' διατ. α'.

νβ'. Οὐδεὶς [νόμος] κωλύει πᾶσαν ἅμα τὴν οὐσίαν τῆς γυναικὸς εἰς προῖκα ἐπιδοθῆναι, ἐὰν μὴ ὑπερβαίνῃ τὰς τετρακοσίας τοῦ χρυσίου λίτρας.[72]

νγ'. Ἡ γυνὴ συνισταμένων ἔτι τῶν γάμων ἐὰν ἄπορον ὁρᾷ τὸν ἄνδρα, δύναται ὑπὲρ προικὸς καὶ προγάμου δωρεᾶς καὶ ἐξωπροίκων διακρατῆσαι τὴν αὐτοῦ οὐσίαν ὡς ὑποθήκην, καὶ εἴτε ἐνάγεται ἔχει παραγραφὴν, εἴτε ἐνάγει νικᾷ. οὐδὲ γὰρ ἀντίκειται αὐτῇ τὸ μηδέπω διαλυθῆναι τὸν γάμον, ἀλλὰ τέως μὲν λαμβάνει τὰ πράγματα οὕτως ὡσανεὶ διελύθη ὁ γάμος καὶ ἥρμοσεν αὐτῇ ἡ τῆς προικὸς ἀγωγή.[73] — σχόλ. ὡς θέλει

---

[65] Lege αὐτεξουσίου. [66] Ita recte V. G ὡς βι. ε' τί. ιβ' τοῦ κώδ.
[67] Theod. Cod. 5, 12, 6 (Bas. III p. 434). [68] Lege ιδ'. [69] Theod. Cod. 5, 12, 14 (Bas. III p. 437). — G addit αὐτὴν γάμους. An αὐτῇ διγαμούσῃ? [70] Imo ἀπὸ τρίτου ἑκατοστῆς. [71] Theod. Cod. 5, 12, 31 (Bas. III p. 447). [72] F addit βι. ε' τί. ιβ' διατ. γ', νεαρὰ νς'. Imo diat. δ' et νεαρὰ κβ'. Cf. Bas. III p. 433. [73] Cod. 5, 12, 29.

καὶ ὅτε θέλει ὁ ἀνὴρ ἐλευθεροῖ ὅσους ἔλαβεν ἐν προικὶ ἀδιατιμήτους δούλους, κἂν ἔχῃ τὰς ὀπέρας αὐτῶν ἡ γυνή.[74]

νδ'. Εἰ μὲν εὔπορός ἐστιν ὁ ἀνὴρ ἐκ τῆς τοῦ γάμου διαλύσεως σκοπεῖται ὁ χρόνος, εἰ δὲ ἄπορος ἐκ τοῦ καιροῦ τῆς ἀπορίας.[75] καὶ ἐὰν ἐλάνθανεν ὁ ἀνὴρ ἄπορος ὢν, οὐκ ἐγκαλεῖται ἡ γυνὴ διὰ τί μὴ ἐκίνει.[76] καὶ ὅσα ἂν ἐπικτήσηται ἡ γυνὴ, οὐ δύναται ἐκποιῆσαι αὐτὰ, ἀλλ' ὀφείλει αὐτὸν καὶ τοὺς ἰδίους παῖδας διαθρέψαι, δηλονότι μὴ διαλυομένου τοῦ γάμου.[77]

νε'. Ἐὰν πάντα τὰ πράγματα αὐτῆς ἐπιδῷ ἡ γυνὴ ἐν προικὶ, οὐχ ὑπόκειται τοῖς δανεισταῖς ὁ ἀνὴρ ὡς κληρονόμος αὐτῆς.[78]

νς'. Γυνὴ τὰ ἐξ ἄλλων προσώπων αὐτῇ ἐπελθόντα δύναται αὐτὰ ὑπεξαιρεῖν ἐν τῇ ἀναδόσει τῆς προικός. τῇ δὲ τῶν πραγμάτων ἐπαγγελίᾳ τὰ καθαρὰ μετὰ τὰ χρέη δηλοῦνται.

ΤΙΤΛΟΣ κη'.

Περὶ δωρεῶν καὶ ἀνατροπῆς δωρεῶν.

α'. Τῶν δωρεῶν δύο εἰσὶ γένη, καὶ ἡ μὲν λέγεται μόρτις καῦσα ἡ δὲ ἴντερ βίβος. καὶ ἡ μὲν μόρτις καῦσά ἐστι δωρεὰ ἐπιθανάτιος αἰτία, οἷον ἐάν τις δωρήσηταί τινι μέλλων πλεῖν ἐπικίνδυνον πλοῦν ἢ ὁδεύειν ὁδὸν ἐνοχλουμένην ὑπὸ θηρίων ἢ λῃστῶν ἢ πολεμίων, ἵνα εἴ τι ἂν τῷ δωρησαμένῳ συμβῇ, ἀναφαίρετον ἔχῃ τὴν δωρεὰν ὁ ταύτην δεξάμενος· εἰ δὲ μεταγνῷ ὁ δωρησάμενος, αναλήψεται τὴν δωρεὰν, ὡς καὶ εἰ προετελεύτησεν ὁ τὴν δωρεὰν δεξάμενος, ἐξεῖναι τῷ δωρησαμένῳ ῥεπετιτεύειν τὸ δωρηθὲν τουτέστιν ἀναλαμβάνειν. αὗται δὲ αἱ μόρτις καῦσα δωρεαὶ ἐοίκασι λεγάτοις. τὸ δὲ σχεδὸν εἶπον, ἐπειδὴ ἀπὸ ζῶντος εἰς ζῶντα γίνεται. συνίσταται τοίνυν κατὰ τὰ εἰρημένα τῇ θεία διατάξει. ὡς ἐν κεφαλαίῳ δὲ μόρτις καῦσα δωρεά ἐστιν, ὁπότε ἑαυτόν τις βούλεται ἔχειν ἤπερ ἐκεῖνον ᾧ ἐδωρήσατο καὶ μᾶλλον τὸ πρᾶγμα κερδαίνεσθαι βούλεται ὑπὸ τοῦ τὴν δωρεὰν δεξαμένου ἤπερ ὑπὸ τοῦ οἰκείου κληρονόμου.[1]

---

[74] Theod. Cod. 5, 12, 3 (Bas. III p. 433). — V hic intercalat quae supra habentur tit. 18 § 30. [75] Cod. 5, 12, 30. [76] Adnotatio Thalelaei ad Cod. l. l. cf. Bas. III p. 446. [77] F addit διατ. θ'. Lege κθ'. Est enim pars l. 29 C. 5, 12. [78] D. 23, 3, 72 pr. [1] Capp. 1—5 sumta sunt (nonnullis omissis) ex Theophil. Inst. II, 17 pr. — § 4.

β'. Εἴπωμεν καὶ περὶ τῶν λοιπῶν δωρεῶν, αἵτινές εἰσιν ἴντερ βίβος. γίνονται δὲ αὗται μηδεμιᾶς ἐννοίας ὑποκειμένης θανάτου, αἵτινες ἀπεοίκασι τοῖς λεγάτοις. ἡνίκα ὁ δωρούμενος τὴν οἰκείαν δηλώσῃ γνώμην ἐν γράμμασιν ἢ καὶ ἀγράφως. καὶ ὥσπερ ὁ πωλήσας τὸ πραθὲν ἀναγκάζεται τραδιτεύειν τουτέστι παραδιδόναι, οὕτω τὸν δωρήσασθαι βουληθέντα ἀναγκάζεται πάντως παραδοῦναι τὸ δωρηθέν, τὸ τέλειον παρέχουσα τῇ δωρεᾷ εἰ καὶ μὴ παρηκολούθησε τραδιτίων τουτέστι παράδοσις.

γ'. Τὰς δὲ δωρεὰς ἐμφανεῖς ἐπὶ πράξεως ὑπομνημάτων γίνεσθαι παρεκελεύσαντο οἱ πάλαι βεβασιλευκότες, εἴγε ἡ δωρεὰ μείζων ἦν τῶν διακοσίων νομισμάτων. ὁ δὲ ἰουστινιανὸς ἐθέσπισε μέχρι πεντακοσίων νομισμάτων καὶ ἀνεμφάνιστον οὖσαν ἐῤῥῶσθαι [τὴν δωρεάν . .] τὰς δωρεάς, ἃς μηδὲ δεῖσθαι πράξεως ὑπομνημάτων, εἰ καὶ τῶν φ' νομισμάτων ὑπερβαίνοιεν τὴν ποσότητα, ἀλλ' ἔχειν αὐτὰς τὸ ἰσχυρὸν ἐκέλευσεν.

δ'. Ἐστὶ καὶ ἕτερον εἶδος τῆς ἴντερ βίβος δωρεᾶς, ἡ μεταξὺ τοῦ μνηστῆρος πρὸς τὴν μνηστὴν γενομένη δωρεὰ ἡνίκα παρακολουθήσωσιν οἱ γάμοι. ὠνόμασται γὰρ πρὸ γάμου δωρεὰ διὰ τὸ πρὸ τῆς συστάσεως τοῦ συνοικεσίου γίνεσθαι αὐτήν, οὐδέποτε δὲ μετὰ τὸν γάμον. καθόλου δὲ πᾶσα δωρεὰ ἐν συνεστῶτι τῷ γάμῳ γινομένη μεταξὺ ἀνδρὸς καὶ γυναικὸς ἀπηγόρευται. ἀλλὰ γέγονε διάταξις τοῦ τῆς θείας λήξεως ἰουστινιανοῦ[2] ἐπιτρέπουσα ὥσπερ ἐκ τῶν πάλαι νομικῶν ἔξεστιν ἐν συνεστῶτι τῷ γάμῳ αὔξειν τὴν προῖκα, [καὶ δύναται] ἡ γυνὴ καὶ ἐπιδοῦναι ὅσα ἄλλα βούλεται χρήματα καὶ πλείονα ποιῆσαι τὴν προῖκα, ὡσαύτως καὶ τὴν πρὸ γάμου δωρεὰν δύνασθαι τὸν ἄνδρα μείζονα ποιεῖν, καὶ τοῦ ἑνὸς αὔξοντος μέρους ἐπέτρεψεν ἐξεῖναι καὶ τῷ ἑτέρῳ τὰ αὐτὰ πράττειν. εἰ γὰρ συνήφθην ἐγὼ γυναικὶ πρὸς γάμον οὐ ποιησάμενος εἰς αὐτὴν πρὸ γάμου δωρεὰν ἢ διὰ πενίαν τυχὸν ἢ καὶ δι' ἑτέραν αἰτίαν, νῦν δὲ συστήσασθαι βούλομαι, ἀκώλυτον εἶναί μοι τὸ πρᾶγμα, οὐκέτι πρὸ γάμου δωρεὰν ἀλλὰ διὰ γάμους ταύτην θεσπίσας.

ε'. Πρῖμος καὶ τίτιος εἶχον ἐπίκοινον οἰκέτην. ὁ πρῖμος παρὰ γνώμην τοῦ τιτίου τὸν κοινὸν ἠλευθέρωσεν οἰκέτην βινδίκτᾳ τουτέστιν ἐν διαθήκῃ. ἐκέλευσεν ἡ πολιτικὴ νομοθεσία τὸν πρῖμον μηδὲν ποιεῖν μηδὲ τὸν οἰκέτην ἀπαλλάττειν τῆς δουλείας, ἀλλὰ καὶ ἀπολλύειν ὅπερ μέρος εἶχεν ἐπ' αὐτῷ δεσποτείας, ἀπολλύμενον δὲ τοῦτο ἐπὶ τὸν τίτιον ἔρχεσθαι δικαίῳ

---

[2] Imo ἰουστίνου.

προσαυξήσεως. ἀλλ' ἐπειδὴ κάκιστον ἦν τοῦτο τὸ παράδειγμα τὸ καὶ τὸν οἰκέτην στερεῖσθαι τῆς ἐλευθερίας καὶ τοὺς μὲν φιλάνθρωπόν τι βουλευσαμένους ἐπὶ τῷ οἰκέτῃ δεσπότας ζημιοῦσθαι, τοὺς δὲ μὴ βουληθέντας τοῦτον ἐλεῆσαι καὶ δουλείας ἀπαλλάξαι κερδαίνειν τοῦ μέρους αὐτοῖς προσαυξανομένου, βασκανίας ἀνάμεστον τὸ τοιοῦτον κρίνας ὁ εὐσεβέστατος βασιλεὺς θείαν ἐξεῦρεν αὐτοῖς θεραπείας ὁδὸν, δι' ἧς καὶ πρῖμος ὁ ἐλευθερώσας καὶ τίτιος ὁ μὴ συναινέσας καὶ ὁ τὴν ἐλευθερίαν δεξάμενος οἰκέτης τῇ αὐτοῦ χάριτας ὁμολογήσουσι διατάξει. ἐκέλευσε γὰρ τὸν μὲν οἰκέτην πάντως ἐλεύθερον εἶναι, ἐπειδὴ καὶ οἱ παλαιοὶ ἐπέθαλψαν τὴν ἐλευθερίαν, καὶ τὸν μὲν πρῖμον χαίρειν ἐφ' οἷς ἡ παρ' αὐτοῦ δοθεῖσα ἐλευθερία τὸ βέβαιον ἔχει, τῷ δὲ κοινωνῷ φυλάττεσθαι τὸ ἀζήμιον, τοῦ τιμήματος ἀποκαθισταμένου αὐτῷ παρὰ τοῦ ἐλευθερώσαντος καθ' ὅπερ ἐπ' αὐτῷ δεσποτείας ἔχει μέρος.

ϛ'. Δωρεά ἐστι τὸ χωρὶς ἀνάγκης διδόμενον. ὡς βι. ν' τί. ιζ' διγ. πβ'.[3]

ζ'. Ἐὰν δωρούμενος ἀποστείλω σοι πρᾶγμα καὶ πρὶν ἢ δοθῆναι ἀποθάνω, οὐ γίνεται σόν.[4]

η'. Μεταξὺ ἀνδρὸς καὶ γυναικὸς οὔτε πρᾶσις οὔτε δωρεὰ ἔῤῥωται.[5]

θ'. Ὅσα ἐδωρήσατο ὁ ἀνὴρ πρὸ τῶν γάμων, διαλυθέντος τοῦ γάμου ἀπαιτεῖ αὐτά.[6]

ι'. Γυνὴ δωρεὰν λαβοῦσα παρὰ τοῦ ἀνδρὸς φυσικῶς νέμεται τὸ δωρηθέν· τὰ γὰρ ἐν φάκτῳ ὁ πολιτικὸς νόμος οὐκ ἀναιρεῖ. ὅτε θέλει ὁ ἀνὴρ λύει τὴν νομήν.[7]

ια'. Τῆς γυναικὸς λαβούσης ἐν γάμῳ δωρεὰν καὶ πρὸ τοῦ ἀνδρὸς τελευτησάσης ἀπαιτεῖται ὁ κληρονόμος αὐτῆς δοῦναι τῷ ἀνδρὶ εἰς ὅσον πλουσιωτέρα γέγονεν ἐκ τῆς δωρεᾶς, ὡς βι. λε' τί. β'.[8]

ιβ'. Συμφωνῶν ὁ ἀνὴρ ἐκ τῶν καρπῶν τῶν προικιμαίων ἀγρῶν διδόναι τὰ χρέη τῆς γυναικὸς δωρεῖσθαι αὐτῇ πιστεύεται καὶ διὰ τοῦτο οὐκ ἔῤῥωται τὸ σύμφωνον, εἰ μὴ πρὸ τῶν γάμων ἐγένετο, ὡς βι. κε'[9] τί. δ' διγ. κη'.

---

[3] F potius laudat βι. δ' τί. ι' διατ. η' τοῦ κώδ. [4] Dig. 39, 5, 2 § 6. [5] Cf. Dig. 23, 3, 12 pr. in Bas. 29, 1, 8. [6] F addit βι. δ' τί. ζ' (lege ϛ') διατ. γ' τοῦ κώδ. ἐὰν δωρήσηταί τίς τινι πράγματα ἐπὶ τῷ μὴ ἐκποιῆσαι αὐτὰ, εἶτα παραβῇ τὴν πίστιν ὁ ἀνὴρ λαβὼν, ἐκδικεῖ αὐτὰ ὁ δωρησάμενος. [7] Dig. 41, 2, 1 § 4. [8] Videtur allegari Dig. 35, 2, 15 § 5. [9] Lege κγ'.

ιγ'. Αἱ ἐν γάμῳ γενόμεναι δωρεαὶ τοῦ προτελευτῶντος ἐπὶ τῆς αὐτῆς γνώμης τοῦ δωρησαμένου μένοντος βεβαιοῦνται. ὡς βι. λγ' τί. [δ'] διγ. α'.

ιδ'. Καὶ ἐπὶ τῷ προσάγειν τὶ τῷ θεῷ καλῶς δωροῦμαι τῇ γαμετῇ μου.[10]

ιε'. Ἐὰν γυνὴ τὰ δωρηθέντα αὐτῇ παρὰ τοῦ ἀνδρὸς αὐτῆς δαπανήσῃ περὶ συνήθειαν προκοπῆς συγγενῶν αὐτῆς, ἔῤῥωται ἡ δωρεά. πλουσιωτέρα γὰρ οὐ γέγονεν, εἰ καὶ μὴ ἔμελλε δανείζεσθαι.[11]

ιϛ'. Οὐκ ἔῤῥωται δωρεὰ διὰ τὸν ἔρωτα καὶ διὰ τὸ μὴ γίνεσθαι τὸν εὔπορον ἄπορον καὶ τὸν ἄπορον εὔπορον.[12] τοῦτο μὲν ἐν γάμῳ ἐπὶ τῆς αὐτῆς γνώμης τελευτώντων ἐῤῥῶσθαι, ἐπὶ δὲ διαζυγίου μὴ ἐῤῥῶσθαι.

ιζ'. Τὰς βασιλικὰς δωρεὰς ἐν ὑπομνήμασιν ἢ εἰς βασιλέα γενομένην δωρεὰν μὴ[13] ἐῤῥῶσθαι.

ιη'. Ἐὰν ἡ δωρεὰ[14] πρᾶσις γένηται, οὐ συνίσταται ἡ πρᾶσις, ἀλλ' ἡ δωρεὰ μένει ἐῤῥωμένη.[15]

ιθ'. Ἐὰν ἐκ τῶν δωρηθέντων χρημάτων ἀγρὸν ἀγοράσῃ καὶ ἥττονός [ἐστιν ἐν] τῇ προκατάρξει, μόνην τὴν τιμὴν δίδωσιν· εἰ δὲ πλείονός ἐστιν, τὸ δωρηθὲν ποσὸν δίδοται χωρὶς τόκων.[16] — ση. τὸ αὐτὸ κἂν ἡ γυνὴ μέμφηται ἥττονος τὴν προῖκα διατιμηθῆναι. αὐτῇ γὰρ δίδοται ἡ ἐπιλογή.[17]

κ'. Ἐὰν τῆς γυναικὸς ἀγορασάσης ἢ δανεισαμένης ὁ ἀνὴρ ὑπὲρ αὐτῆς καταβαλὼν ἐλευθερώσῃ αὐτὴν, τὸ ὅλον αὐτὴν ἀπαιτεῖ ὡς γενομένην εὐπορωτέραν.[18]

κα'. Ἐὰν ὑπεξουσίας οὔσης τῆς γυναικός μου παραδῶ αὐτῇ πράγματα καὶ ἐν τῷ τελευτᾶν με εὑρεθῇ αὐτεξουσία, αὐτῆς γίνεται ἡ δωρεὰ καὶ τὸ κέρδος ἅπαν. — τὸ αὐτὸ καὶ ἐπὶ γυναικὸς δωρουμένης ὑπεξουσίῳ ἀνδρί.[19]

κβ'. Ἐὰν πρᾶγμά σοι δωρήσωμαι, οἱ καρποὶ αὐτοῦ οὐ λογίζονται εἰς δωρεὰν, ἐὰν δὲ καὶ καρποὺς, [εἰς] δωρεὰν ψηφίζονται.

κγ'. Ἐπὶ τῶν κεκωλυμένων εἰ μὲν φαίνεται τὰ δωρηθέντα, ἐκδικεῖται· εἰ δὲ δεδαπάνηται, ἀπαιτεῖται ὁ δεξάμενος μέχρις οὗ γέγονεν εὐπορώτερος.[21] — ση. ὁ γὰρ ἐξ ἀκύρου δωρεᾶς τι

---

[10] Dig. 24, 1, 5 § 12. [11] Dig. 24, 1, 5 § 17. [12] Dig. 24, 1, 1. 3 pr. [13] Negatio potius ante illa: *ἐν ὑπομν.* collocanda erat. Cf. c. LXIX (Nov. 52). [14] Lege *κατὰ δωρεὰν ἡ πρ.* Cf. supra tit. 16 § 33. [15] Cod. IV, 38, 3. 9. [16] Dig. 24, 1, 7 § 3. [17] Dig. eod. § 5. [18] Dig. 24, 1, 7 § 7. [19] Dig. 24, 1, 11 § 3. 4. [20] Dig. 24, 1, 17 pr. 21 § 1. [21] Dig. 24, 1, 5 § 18.

κατέχων ἢ ἄνευ αἰτίας ἢ μὴ ἐκ δικαίας αἰτίας κατέχει ἐκδικεῖται. τότε γὰρ ἡ δωρεὰ ἐμποδίζεται, ὅτε ὁ λαμβάνων κερδαίνει καὶ ὁ δωρούμενος οἴκοθεν ζημιοῦται.[22]

κδ'. Ὅσα δωρεῖται ὁ ἀνελὼν ἑαυτὸν διὰ κακὴν συνείδησιν τῇ γαμετῇ αὐτοῦ ἢ μετὰ τὸ τελευτῆσαι καταδικασθῇ ἡ μνήμη αὐτοῦ, ἀνατρέπεται ἡ δωρεὰ, τὰ δὲ παρ' αὐτοῦ ἑτέροις δωρηθέντα ἔῤῥωται εἰ μὴ θανάτου αἰτίᾳ ἐδωρήσατο. ἐὰν δὲ ἐπιτραπῇ διαθέσθαι, ἔῤῥωται ἡ δωρεὰ αὐτοῦ· ὁ γὰρ ἐπιτραπεὶς διαθέσθαι δύναται θανάτου αἰτίᾳ δωρεῖσθαι.[23]

κε'. Ἐὰν νύμφη δωρήσηται τῷ πενθερῷ, τῷ θανάτῳ αὐτῆς προσέχομεν εἰ ἐπὶ τῆς αὐτῆς διέμεινε γνώμης. εἰ δὲ καὶ προετελεύτησε τῆς νύμφης ὁ πενθερὸς καὶ ἡ νύμφη τοῦ ἀνδρὸς αὐτῆς, φυλαττέσθω ἡ δωρεὰ ὡς νεωστὶ γενομένη πρὸς τὸν ἄνδρα ὡς κληρονόμον· εἰ γὰρ μὴ ἐκληρονόμησεν αὐτὸν, λύεται ἡ δωρεά.[24]

κς'. Καλῶς δωροῦμαι τῇ γαμετῇ μου τὸ ἀρκοῦν πρὸς ἀνανέωσιν τοῦ καυθέντος αὐτῆς οἴκου.[25]

κζ'. Ἐὰν γυνὴ τὰ δωρηθέντα αὐτῇ δανείσῃ καὶ λάβοι τόκους, κερδαίνει αὐτοὺς, καὶ κἂν ἀπόληται μέρος τοῦ κεφαλαίου παρὰ τῷ χρεώστῃ, οὐκ ἐμποδίζει αὔτη[26] τῷ ἀνδρὶ ἐκ τοῦ δωρηθέντος αὐτῇ τόκου. — ση. κερδαίνει τοὺς καρποὺς τοῦ δωρηθέντος, οὐ μὴν καὶ τὰ προσπορισθέντα διὰ τοῦ δωρηθέντος δούλου· τῷ γὰρ δωρησαμένῳ διαφέρουσιν.[27]

κη'. Ἐπὶ τῶν κεκωλυμένων καὶ ἡ μνηστεία ἄκυρος καὶ τὸ δωρηθὲν οὐ δημεύεται.[28]

κθ'. Ἐπὶ τῆς ὑπεξουσίας θυγατρὸς ὅσα δωρεῖται ὁ πενθερὸς τῷ γαμβρῷ καὶ τελευτήσει, μετὰ δὲ ταῦτα διαζύγιον ἐὰν γένηται, ἄχρηστός ἐστιν ἡ δωρεά.[29]

λ'. Ἐὰν αὐτεξουσίῳ τῷ ἀνδρὶ δωρήσηται ἡ γυνὴ καὶ εὑρεθῇ ἐν τῷ τελευτᾶν ὑπεξούσιος, τοῦ πατρὸς αὐτοῦ γίνεται τὸ κέρδος.[30]

λα'. Ἐὰν τοὺς καρποὺς τῶν προικιμαίων πραγμάτων ἔλαβεν ἡ γυνὴ, εἰ μὲν ἐδαπάνησεν αὐτοὺς, ἐκέρδησεν· εἰ δὲ πλουσιωτέρα γέγονεν ἐξ αὐτῶν, ἀποκαθίστησι τῷ ἀνδρί.[31]

λβ'. Ἐὰν τὰ ἐξώπροικα τῆς γυναικὸς ὁ ἀνὴρ δαπανήσῃ,

---

[22] Dig. 24, 1, 6. 5 § 11. [23] Dig. 24, 1, 32 § 7. 8. [24] Dig. 24, 1, 32 § 18. [25] Dig. 24, 1, 14. [26] ἐμπίμπλαται? [27] Dig. 24, 1, 15 § 1 et 16. 17. [28] Dig. 24, 1, 32 § 28. [29] Cod. 5, 16, 5. Cf. Tipucit. in Bas. III p. 511. [30] Dig. 24, 1, 11 § 5. [31] Cod. 5, 16, 8.

εἰ μὲν δωρησαμένης ἐκείνης, οὐκ ἐνάγεται ὁ κληρονόμος αὐτοῦ, εἰ μὴ μόνον εἰς ὃ γέγονε πλουσιώτερος.[32]

λγ'. Ἐὰν γυνὴ συνισταμένων τῶν γάμων δωρήσηται τῇ ἰδίᾳ θυγατρὶ, ἔῤῥωται ἡ δωρεά.[33] — ση. αὐτεξουσία ἦν ἡ θυγάτηρ ἢ ἐξ ἄλλων γάμων.

λδ'. Δύναται ὁ ἀνὴρ δωρεῖσθαι δοῦλον, ἵνα λαβοῦσα αὐτὸν ἐλευθερώσῃ.[34] — ση. κἂν τὸ πατρωνικὸν δίκαιον κτᾶται ἡ γυνὴ, οὐ γίνεται πλουσιωτέρα, ἐπειδὴ ἐν ἐλπίδι ἐστὶν, ἐλπὶς δὲ ἐν περιουσίᾳ οὐ πιστεύεται.

λε'. Εἴτε διαζύγιον γένηται εἴτε προτελευτήσοι ὁ τὴν δωρεὰν δεξάμενος, ἄδειαν ἔχει ὁ δωρησάμενος ἀνατρέπειν τὴν δωρεάν. εἰ δὲ μετὰ τὸ διαζύγιον ὁ γάμος ἀνανεωθῇ καὶ τελευτήσοι ἐν τῷ γάμῳ ὁ δωρησάμενος, βεβαιοῦται ἡ δωρεά.[35]

λϛ'. Οἱ ἀλλήλοις δωρησάμενοι σύνευνοι τῇ ἄφνω καταπτώσει αὐτῶν, ἔῤῥωται ἡ πρὸς ἀλλήλους δωρεά. ὅτε γὰρ ἐπιζητεῖ ὁ τὴν δωρεὰν ἐπιδεδωκὼς λέγομεν αὐτὴν ἀνατρέπεσθαι.[36]

λζ'. Ἐάν τινα τῶν δωρηθέντων τῇ γαμετῇ μου ληγατεύσω, οὐ δοκῶ τὰ λοιπὰ ἀνατρέπειν.[37]

λη'. Ἐπὶ τῆς δωρεᾶς τῶν συμπενθέρων κἂν ἐδωρήσαντο ἀλλήλοις, τῷ θανάτῳ τοῦ δωρησαμένου ζητοῦμεν, ἐὰν ἔμεινεν ἐν τοῖς αὐτοῖς.[38]

λθ'. Οὔτε πενθερὸς τῷ συμπενθέρῳ οὔτε πενθερὰ τῇ συμπενθέρᾳ δωρεῖται ἐὰν ὑπεξουσίους ἔχωσι τοὺς ἀλλήλοις συναπτομένους.[39]

μ'. Τὰ τῷ ἀνδρὶ παρὰ τῆς γυναικὸς δωρούμενα διὰ τὸ τυχεῖν αὐτὸν ἀξίας ἔῤῥωται μέχρι τοῦ προχωροῦντος ποσοῦ, εἰ καὶ μὴ εἰς προκοπὴν αὐτὰ δωρεῖται.[40]

μα'. Ἐὰν τῇ παλλακῇ μου ἅπερ ἐδωρησάμην αὐτὴ ἀμείψῃ πρός με μετὰ τὸν γάμον, οὐκ ἔστι δωρεὰ ἀλλὰ συνάλλαγμα.[41]

μβ'. Ἐὰν ἀποθρέψω τοὺς δούλους τῆς γαμετῆς ἢ τῆς παλλακῆς, οὐκ ἀπαιτῶ τὴν δαπάνην.[42]

μγ'. Ἐὰν δωρήσωμαι τῇ γαμετῇ μου ἐφ' ᾧ δοῦναί μοι αὐτὰ ἐν προικὶ καὶ προτελευτήσω, βεβαιοῦται.[43]

---

[32] Cod. 5, 16, 17 [33] Cod. 5, 16, 19. [34] Cod. 5, 16, 22. [35] Dig. 24, 1, 32 § 10. 11. [36] Dig. 24, 1, 32 § 14. [37] Dig. 24, 1, 32 § 15. — F intercalat §: Τὸ ἔχειν τινὰ ἀξίωμα οὐ δηλοῖ αὐτὸν εὔπορον. ὅθεν οὐκ ἀπαιτεῖ ἡ γυνὴ τὸν ἄνδρα ἃ ἐδαπάνησεν εἰς τὴν ἀξίαν αὐτοῦ. βι. ιε' τί. ιϛ' (lege βι. ε' τί. ιϛ') διατ. κα' τοῦ κώδ. [38] Dig. 24, 1, 32 § 20. [39] Dig. 24, 1, 32 § 16. [40] Dig. 24, 1, 40. [41] Dig. 24, 1, 58 pr. [42] Dig. 24, 1, 58 § 1. [43] Dig. 24, 1 59.

μδ'. Ὁ πατρωὸς καὶ ὁ προγονὸς καλῶς δωροῦνται ἀλλήλοις. καλῶς δὲ δωροῦμαι καὶ τῇ γαμηθείσῃ μοι ἀνήβῳ.[44]

με'. Μέχρι φ' νομισμάτων καὶ ἀνεμφανίστων οὐσῶν ἐῤῥῶσθαι τὴν δωρεὰν εἰ καὶ τῶν φ' νομισμάτων ὑπερβαίνοιεν τὴν ποσότητα, ἀλλ' ἔχειν αὐτὰς τὸ ἰσχυρὸν ἐκέλευσεν ὁ ἰουστινιανός.[45] ἀρτίως δὲ καὶ μετὰ ἐμφανείας ἐκέλευσαν αἱ διατάξεις[46] γενέσθαι τὴν δωρεὰν κἂν μὴ ὑπερβαίνῃ τὴν ποσότητα κἂν ἄλλας εὐσεβεῖς γίνωνται πράξεις κἄντε εἰς ἐκκλησίαν κἄντε εἰς ξενοδοχεῖον ἢ πτωχοτροφεῖον ἢ ὀρφανοτροφεῖον. — σχόλ. Τὰ δωρηθέντα τῇ γυναικὶ παρὰ τοῦ ἰδίου ἀνδρὸς ἔῤῥωται, εἰ μὴ ἄρα πρὸ τελευτῆς ὁ ἀνὴρ τὴν δωρεὰν ἀνεκαλέσατο ἢ ἀπέθανε χρεωστῶν πριμίπιλον. — ση. ὁ ἀνὴρ καὶ ἡ γυνὴ [ἐν] συνεστῶτι τῷ γάμῳ ἀλλήλοις χαριζόμενοι καὶ[47] τελευτῶντες τὴν δωρεὰν ἐπικυρώσωσιν, ἔῤῥωται, κἂν ὁσηδήποτέ ἐστιν μὴ χρήζουσα πράξεως ὑπομνημάτων. εἰ δὲ προτελευτήσοι ὁ τῆς δωρεᾶς τυχών, ἐπανατρέχει τὸ δωρηθὲν ἐπὶ τὸν χαρισάμενον. τὸ αὐτὸ καὶ ἐὰν ῥεπουδίῳ λυθῇ ὁ γάμος· ὡς βι. ε' τί. ιβ'[48] διατ. κε' τοῦ κώδ.

μς'. Ἡ παρὰ πατρὸς εἰς ὑπεξούσιον γενομένη δωρεὰ οὐδὲ μετὰ θάνατον τοῦ πατρὸς βεβαιοῦται, ἐὰν ἐξνερεδάτος γέγονεν ὁ τὴν δωρεὰν λαβών, εἰ μὴ ἄρα οἱ κληρονόμοι τοῦ πατρὸς κυρίαν ἡγήσοιντο τὴν δωρεάν· ὡς βι. κδ' τί. ζ' διγ. β'.[49] ἐπειδὴ εἰς πάντα μεσιτεύει ὁ φαλκίδιος, εἰς οἷον ἂν μέρος ἐξνερεδάτος γέγονεν· ἀλλὰ καὶ ἡ in factum ἀγωγὴ κινεῖται κατὰ τοῦ λαβόντος τὴν δωρεάν.

μζ'. Ὁ δωρεὰν λαβὼν ἔνοχος γίνεται φυσικῶς εἰς τὸ ἀντιδωρεῖσθαι τῷ δωρησαμένῳ.[50]

μη'. Ἐάν τις δωρήσηταί μοι δοῦλον ἐπὶ τῷ ἐλευθερῶσαι αὐτόν, τότε γίνομαι αὐτοῦ δεσπότης, ὅτε ἄρξομαι ἐπιθεῖναι αὐτῷ τὴν ἐλευθερίαν.

μθ'. Ὁ ἐπερωτήσας τόκον τῆς ἐπαγγελθείσης αὐτῷ προικὸς καὶ ἐν ὅλῳ τῷ καιρῷ τῶν γάμων μὴ ἀπαιτήσας αὐτόν, δωρεῖσθαι αὐτὸν πιστεύεται.[51]

---

[44] Dig. 24, 1, 60. 65. [45] Idem locus iisdem corruptelis conspicuus supra est § 3 hujus tituli. Cf. Theophil. Inst. II, 7, 2. [46] Cod. 1, 2, 19. 8, 53, 34 pr. § 1. [47] Lege ἐάν. [48] ις'? [49] Cf. Dig. 41, 6, 4. [50] F addit βι. ε' τί. γ' διγ. κε' (sc. § 11). [51] Dig. 24, 1, 54. — Iam F loco §§ 50—54 haec habet: Ἡ ἴντερ βίβος δωρεὰ οὐκ ἀνατρέπεται κἂν ἡ διαθήκη τοῦ δωρησαμένου διὰ τῆς δινοφφικι'σο ἀνατραπῇ. διγ. ια'. (Dig. 5, 2, 11). — Ὁ κατὰ δωρεὰν ἐγγυησάμενος οὐκ ἔχει μανδάτι. βι. λη' τί. ε'

ν΄. Ὁ ἀλλότριον ἤδη χαρισάμενος πρᾶγμα εἰ νῦν ἕτερον ἀντὶ αὐτοῦ δωρήσηται διδούς, οὐ καινὴν ποιεῖ τὴν δωρεὰν, ἀλλὰ τὴν προτέραν βεβαιοῖ. σκοπουμένης τῆς οὐσίας τοῦ δωρησαμένου, ἵνα πρὸς τὸ μέτρον αὐτῆς καταδικασθῇ. πρότερον ὑπεξαιρεῖται ὅσα ἑτέροις χρεωστεῖ καὶ πρὸς τὴν ἐναπομένουσαν καθαρὰν οὐσίαν καταδικάζεται.

να΄. Ὁ δωρούμενος πρᾶγμα ἐπὶ τῷ μὴ ἀναλαβεῖν αὐτὸ δωρεῖται. καὶ ὁ δωρούμενος ἑτέρῳ ὅπερ ἑτέρῳ ἐληγάτευσεν ἀνατρέπει τὸ ληγάτον, εἴτε ἔῤῥωται ἡ δωρεὰ εἴτε ἀσθενεῖ.

νβ΄. Ἐάν τις δωρησάμενός τινι κατὰ μόρτις καῦσα δωρεὰν πᾶσαν αὐτοῦ τὴν οὐσίαν καὶ ἐπὶ ἑτέρῳ κληρονόμῳ τελευτήσοι μὴ ἔχοντι φαλκίδιον, ὁ τοιοῦτος κληρονόμος τὴν ἰμφάκτουμ ἀγωγὴν κατὰ τοῦ λαβόντος τὴν μόρτις καῦσα δωρεὰν [ἔχει]. — Ἐὰν ἐπεγεννήθη αὐτῷ υἱὸς, ἀκυροῦται ἡ δωρεὰ, κἄντε μερική ἐστι κἄντε πλήρης.[52] εἰ δὲ ἀπόκληρος ἦν, εἰς τὸ ἥμισυ ἀνατρέπει τὴν δωρεὰν ἐὰν γέγονε πρὸς περιγραφὴν αὐτοῦ.

νγ΄. Ὅσα σχῇ ἡ γυνὴ ὁθενδήποτε κἂν ἀπὸ τοῦ ἀνδρὸς οὐκ ἀφαιρεῖται ἐξ αὐτῆς, οὐδὲ εἰ τιμωρηθῇ αὐτὸς ὁ ἀνὴρ καὶ δημευθῇ· ὡς βι. ε΄ τί. ις΄[53] διατ. κδ΄. — Καλῶς ἀπαιτεῖ ἡ γυνὴ ἀπὸ δωρεᾶς τὸ δωρηθὲν αὐτῇ ὑπὸ τοῦ οἰκείου ἀνδρὸς κἂν ἐαθῇ αὐτῇ αὐτὸ παρ᾽ αὐτοῦ ἢ ἐν φιδεκομίσσῳ ἢ ἐν ληγάτῳ· ὡς διατ. ιδ΄.[54] ἀνάγν. βι. θ΄ τί. μθ΄ διατ. θ΄ προστιθέμενον, ὅτι οὐ συνυπάγεται τοῖς πράγμασι τοῦ ἀνδρὸς δημευομένου ὅσα τῇ γυναικὶ αὐτοῦ ἐχαρίσατο. — σῃ. ὅτι τὰ πράγματα τῆς γυναικὸς οὐ συνυπάγονται τοῖς πράγμασι τοῦ ἀνδρὸς δημευομένου ἢ χρεωστοῦντος πριμίπιλον.

Περὶ ἀνατροπῆς δωρεῶν. νδ΄. Ἐὰν ὁ τὴν δωρεὰν εἰληφὼς ἀχάριστος ὀφθῇ περὶ τὸν δωρησάμενον σκαιαῖς κατὰ τούτου χρησάμενος ὕβρεσιν ἢ χεῖρας ἀδίκους ἐπαγάγῃ ἢ ζημίαν μεγίστην περιβάλῃ ἐξ οἰκείας ἐπιβουλῆς ἢ περὶ τὴν ζωὴν ἐπιβουλεύσῃ ἢ τὰ ἐν τῇ δωρεᾷ πάκτα εἴτε ἐγγράφως εἴτε ἀγράφως

διγ. α΄ (§ 19). ὁ δὲ ἄνηβον ἐγγυησάμενος κἂν καταβάλλῃ οὐκ ἔχει κατὰ τοῦ ἐγγυηθέντος ἀγωγήν. βι. λδ΄ τί. γ΄ διγ. ε΄ κεφ. να΄. — Οὐδὲ ἡ μόρτις καῦσα δωρεὰ ἔῤῥωται, ἐὰν μὴ περιττεύῃ μετὰ τὰ χρέα καθαρὰ περιουσία τῷ δωρησαμένῳ, ὥσπερ οὐδὲ τὰ ληγάτα. — Ἐπὶ δωρεᾶς αἰτίᾳ διατίμησις γενομένη οὐκ ἔῤῥωται. — Ὁ δωρησάμενος θανάτου αἰτίᾳ μεταμελούμενος ἔχει ἀγωγὴν εἰς τὸ ἀπαιτῆσαι τὸ δωρηθέν. βι. μζ΄ τί. γ΄ κεφ. ιβ΄ τῶν ἐκλογῶν (Bas. 47, 3, 30). — Καὶ ἔτι νοσῶν ὁ δωρησάμενος δύναται τὴν δωρεὰν ἀνακαλεῖσθαι (Dig. 39, 6, 16). [52] Cf. Cod. 8, 55, 8. [53] G ιβ΄ V ιε΄.
[54] G ια΄ V βι. ιδ΄.

γεγονότα μὴ πληρώσῃ· μία γὰρ ἐκ τούτων τῶν αἰτιῶν ἐὰν ἐν δικαστηρίῳ τηρηθῇ καὶ κατὰ σύστασιν φανερῶς ἀποδειχθῇ, ἀνατρεπέσθωσαν αἱ γενόμεναι δωρεαί.[55]

νε'. Μεταξὺ ἀνδρὸς καὶ γυναικὸς πρᾶσις οὐκ ἐστὶν καὶ ἡ κατὰ δωρεὰν πρᾶσις ἀκυροῦται. εἰ μὲν ἥττονος ἠγόρασεν ἢ τὸ τίμημα συνεχώρησεν μετὰ ταῦτα, ἔῤῥωται ἡ δωρεά.[56] ση. οὐχ ἡ πρᾶσις ἀλλὰ τὸ σύμφωνον ἀκυροῦται. ἀνάγν. κεφ. ιη' τοῦ παρόντος τίτλου.[57]

ΤΙΤΛΟΣ κθ'.

Περὶ διαθήκης αὐτεξουσίων καὶ ὑπεξουσίων καὶ στρατιωτικῆς διαθήκης καὶ τίνες ἐν αὐτῇ μαρτυροῦσιν.

α'. Ὁ διατιθέμενος ὀφείλει τὸν νοῦν, οὐ μὴν τὸ σῶμα ἐῤῥῶσθαι.[1]

β'. Ὁ ἄῤῥην πληρώσας τὰ ιδ' ἔτη διατίθεται, ἡ δὲ θήλεια τὰ ιβ'.[2]

γ'. Αἱ διαθῆκαι ἐκ τριῶν νομίμων τὴν σύστασιν ἔχουσιν, ἐκ τοῦ πολιτικοῦ καὶ ἐκ τῶν διατάξεων καὶ ἐκ τοῦ πραίτορος. ἐκ μὲν γὰρ τοῦ πολιτικοῦ κατάγεται τὸ παρόντων τῶν μαρτύρων μιᾷ ὑφῇ συναπτῶς τὴν διαθήκην πληροῦσθαι· ἐκ δὲ τῶν διατάξεων αἱ τοῦ διατιθεμένου καὶ τῶν μαρτύρων ὑπογραφαί. ἐκ δὲ τοῦ πραίτορος αἱ σφραγίδες καὶ ὁ τῶν μαρτύρων ἀριθμός.[3]

δ'. Ἐπειδὴ δὲ εἰρήκαμεν τοὺς μάρτυρας χρῆναι σφραγίδας ἐπιθεῖναι, ὀφείλεις εἰδέναι ὅτι καὶ ἑνὶ δακτυλίῳ δύνανται σφραγίζειν τὴν διαθήκην.[4]

ε'. Καὶ ἐν νυκτὶ σφραγίζεται καὶ ὑπογράφεται διαθήκη.[5]

---

[55] Cod. 8, 55, 10. [56] Dig. 24, 1, 32 § 25. 26. [57] G addit κεφ. ἐκ τῆς προγόμου δωρεᾶς. Εἰ συναφθεῖέν τινες — τῷ δεδωκότι (Proch. 9, 12). Eundem locum praestat E, sed a recentiori manu adscriptum in fine tituli, ubi pagina in albo relicta erat. — F autem post § 55 haec habet: Μήτηρ υἱῷ καλῶς δωρεῖται, ὁ πατὴρ οὐ δωρεῖται τῷ ὑπεξουσίῳ υἱῷ εἰ μὴ σιωπήσει καὶ βεβαιώσει τὸ δωρηθὲν μέλλων τελευτᾶν. — Ἡ συναφθεῖσα τῷ υἱῷ τοῦ ἰδίου ἐπιτρόπου κατὰ κέλευσιν τοῦ πατρὸς αὐτοῦ οὐ δύναται αὐτῷ δωρεῖσθαι, ἀλλ' οὐδὲ ὁ γάμος ἔῤῥωται κἂν ἐκτὸς βουλήσεως ἐγένετο (Cod. 5, 16, 7). [1] Proch. 21, 2 ex Dig. 28, 1, 2. [2] Proch. 21, 3 ex Dig. 28, 1, 5. [3] Proch. 21, 4 ex Theoph. Inst. 2, 10 § 3. [4] Proch. 21, 5 ex Theoph. l. l. § 5. [5] Proch. 21, 6 ex Dig. 28, 1, 22 § 6.

ϛ'. Καὶ ὁ γραφεὺς τῆς διαθήκης καλῶς ἐν αὐτῇ μαρτυρεῖ.[6]

ζ'. Ὁ ἐν ἀσθενείᾳ σώματος παραφρονήσας οὐ διατίθεται ἐν τῇ παραφροσύνῃ, ἐν τοῖς διαλείμμασι δὲ καλῶς διατίθεται.[7] ἐὰν δὲ τελείως μαίνηται, οὐδὲ κωδικέλλους ποιεῖ, ὡς βι. ϛ' τί. λϛ' διατ. ε' τοῦ κώδ.

η'. Ἄδειαν ἐχέτω ὁ τυφλὸς, εἴτε ὁ ἐκ γεννητῆς εἴτε ὁ ἀπὸ νόσου, ἄγραφον διαθήκην ποιῆσαι ζ' ἢ ε' μάρτυρας συγκαλῶν καὶ λέγων τὸν κληρονόμον μετὰ σημείων διὰ τὸ μὴ πλανηθῆναι.[8]

θ'. Εἰ καὶ κοινὰ ἔχουσι τὰ πράγματα ἀδελφοὶ, ὅμως οὐδεὶς αὐτῶν κωλύεται διατίθεσθαι εἰς ἃ βούλεται καὶ ὃν βούλεται γράφειν κληρονόμον, οὐδὲ ἐμποδίζονται διὰ τὸ ἀδιαίρετα εἶναι τὰ πράγματα.[9]

ι'. Ἐὰν ἀποδειχθῇ βουληθέντα τὸν διατιθέμενον πλείονας εἰπεῖν κληρονόμους φιμωθῆναι, οὐδὲ οἱ παρ' αὐτοῦ λεχθέντες κληρονομοῦσιν.[10]

ια'. Ἐὰν μέντοιγε ὁ διαθέμενος βούληται μὴ γνῶναι τὰ γεγραμμένα τοὺς μάρτυρας, ἑλιχθεῖσαν ἕως τῶν γεγραμμένων καὶ σφραγισθεῖσαν ὑπ' αὐτοῦ προσφερέσθω τοῖς μάρτυσιν ἵνα ὑπογράψωσιν καὶ λεγέτω τοῖς μάρτυσιν ἰδίαν εἶναι τὴν διαθήκην. λοιπὸν δὲ ἐν ἑνὶ καιρῷ ὑπογραφέτωσαν καὶ σφραγιζέτωσαν καὶ κρατείτω ἰσχυρῶς. οὐ μόνον δὲ ζ' ἀλλὰ καὶ ε' παραλαμβανόμενοι μάρτυρες ἔν τε ἐγγράφῳ πάσῃ καὶ ἀγράφῳ διαθήκῃ βεβαίαν ταύτην παριστῶσιν.[11]

ιβ'. Ὁ μέντοιγε ἐν πολέμῳ πληγεὶς καὶ ἐν ὁδῷ περιπατῶν καὶ ὁ πρὸς τῷ θανάτῳ ἐγγίσας ὁ τοιοῦτος οὐ μόνον ἐπὶ τριῶν διαθήκην δύναται ποιεῖν, ἀλλὰ καὶ δύο μόνα εὑρισκόμενα πρόσωπα διὰ τὴν συμβᾶσαν περίστασιν δύναται τὴν ἐκείνου διαθήκην βεβαίαν παριστᾶν.[12]

ιγ'. Ἐν τῇ φυλακῇ τῆς διαθήκης προτιμᾶται ὁ γεραιότερος[13] τοῦ νεωτέρου, ὁ ἀξιωματικώτερος τοῦ ἧττονος, ὁ ἄῤῥην τῆς θηλείας, ὁ εὐγενὴς τοῦ ἀπελευθέρου. ὡς βι. κβ' τί. δ' διγ. ϛ'.

ιδ'. Ὁ ἐπὶ ῥητῷ πράγματι γραφεὶς κληρονόμος οὐκ ἀνα-

---

[6] Proch. 21, 7 ex Dig. l. l. 27. [7] Proch. 21, 8 ex Dig. l. l. 17. [8] Proch. 21, 9 ex Cod. 6, 22, 8. — V inserit ex Proch. 21 § 10. [9] Proch. 21, 11 ex Cod. l. l. 1. — In V sequitur § 12 et 13 ex Proch. cit. [10] Proch. 21, 14 ex Dig. 28, 1, 25. [11] Proch. 21, 15 ex Cod. 6, 23, 21. [12] Proch. 21, 16. [13] V γενεώτερος.

τρέπει τὴν διαθήκην, ἀλλὰ τὸ λεῖπον ἀναπληροῦται. νεαρὰ ριβ΄.[14]

ιε΄. Οὐδεὶς δύναται ἐν τῇ διαθήκῃ αὐτοῦ ἀσφαλίσασθαι ἵνα μὴ ἔχωσι χώραν οἱ νόμοι.[15] ἰσχυρότεροι γάρ εἰσι τῆς τῶν ἰδιωτῶν γνώμης. διὰ τὸν κανόνα τὸν λέγοντα· αἱ τῶν ἰδιωτῶν ἀσφάλειαι τοὺς νόμους οὐ καταβλάπτουσι. καὶ τὸ παρὰ τοῦ νόμου δεδομένον ἰδιώτης ἀφελέσθαι οὐ δύναται.[16] — Ἃ γὰρ παρὰ τὸν νόμον ὁ τεστάτωρ κελεύσει οὐκ ἀνάγκη πληροῦν, οἷον εἰ τὸν κεκωλυμένον ἐλευθερωθῆναι ληγατεύσω σοι ἐφ᾽ ᾧ ἐλευθερῶσαι, κερδαίνεις τὸ ληγάτον, ὡς βι. λε΄ τί. α΄ διγ. λζ΄.

ιϛ΄. Δύναται ὁ διαθέμενος καὶ μετὰ τὰ ληγάτα ἐπιφέρειν τὴν ἔνστασιν.[17] κἂν παρέλθῃ ἡ δεκαετία μετὰ τὴν ποίησιν τῆς διαθήκης, οὐκ ἀνατρέπεται, ὡς βι. ϛ΄ τί. κβ΄ διατ. η΄ τοῦ κώδ.[18]

ιζ΄. Αἱ οὖσαι ἐν διαθήκῃ ἐλευθερίαι διδόσθωσαν μὴ ὑπερτιθέμεναι ἑνὸς ἐνιαυτοῦ, εἰ μὴ ἄρα πλαστή ἐστιν. νεα. κβ΄.[19]

ιη΄. Ἐὰν ἐν ἑνὶ μέρει ἀνατραπῇ ἡ διαθήκη ἀπὸ τῆς δινοφφικιόσο, αἱ ἐλευθερίαι εἰς ὁλόκληρον δίδονται.[20]

ιθ΄. Τοῦ τεστάτορος τουτέστι τοῦ διατιθεμένου ἀπογραφὴν ποιησαμένου τῆς ἰδίας οὐσίας παρόντων τῶν σκρίπτων κληρονόμων ἢ ἐνίων καὶ ὅρκον ὑποσχόντος ἐν αὐτῇ ἢ κατὰ τὴν διαθήκην διομοσαμένου περὶ τοῦ μέτρου τῆς οὐσίας, τοῖς μὲν δανεισταῖς πρόκριμα μὴ γίνεσθαι, οἱ δὲ κληρονόμοι στεργέτωσαν. οἱ δὲ πολυπραγμονεῖν μετὰ ταῦτα σπουδάζοντες τῶν

---

[14] Athanas. IX parat. § 8. — In collectione 168 Novv. est Nov. 115.
[15] Dig. 30, 55. [16] Cf. Athanas. π. διαφ. ἀναγν. § 13. [17] Cod. 6, 23, 24. [18] Cod. 6, 23, 27. F addit *εἰ μὴ ἄρα ἐν τῷ μεταξὺ ἄλλην διαθήκην ἐποίησεν νομίμως ἢ εἶπεν ἐπὶ τριῶν μαρτύρων ἐπὶ πράξεως ὑπομνημάτων, ὡς οὐ βούλεται τὴν προγενεστέραν αὐτοῦ διαθήκην ἐῤῥῶσθαι. — Ὁ ὑπογράψας τῇ διαθήκῃ οὐ δύναται κατ᾽ αὐτῆς δινοφφικιόσο κινεῖν. βι. α΄* (ε΄?) *τί. β΄ διγ. λδ΄.* [19] F intercalat haec: *Δύο τινῶν ἐχόντων τὴν μέμψιν αὐτοῖς ἁρμόζουσαν καὶ ὁ εἷς μεταμεληθῇ, τὸ τοῦ μὴ κινήσαντος μέρος τῷ κινοῦντι προσαύξεται, εἰ καὶ ὁ ὡρισμένος χρόνος τῆς δινοφφικιόσο παρῆλθε. βι. λα΄ τί. δ΄ διγ. ιγ΄* (Dig. 5, 2, 23 § 2). — *Ὅτε ὁ γραφεὶς κληρονόμος οὐδὲν δύναται κερδᾶναι ἀπὸ τῆς διαθήκης, οὐ κωλύεται καταλιπεῖν τὴν διαθήκην καὶ ἐξ ἀδιαθέτου ἐλθεῖν. — Ἐὰν ὡς ἐν ὁμιλίᾳ εἴπω τινί· ἐγγράφω σε κληρονόμον ἢ τὰ πράγματά μου σοι καταλιμπάνω, οὐ ποιεῖ αὐτὸν ταῦτα τὰ ῥήματα κληρονόμον. βι. κθ΄ τί. β΄* (lege *α΄*) *διγ. κδ΄. — Οἱ οἰκέται γραφόμενοι κληρονόμοι ἐν ταῖς τῶν δεσποτῶν διαθήκαις καὶ κληρονόμοι καὶ ἐλεύθεροι γίνονται. βι. κθ΄ τί. . . διγ. κδ΄.* (Cod. 6, 27, 5). —
[20] Cf. Dig. 31, 76 pr. 44, 2, 29 pr. Cod. 3, 28, 13.

ἐγκαταλελειμμένων ἐκπιπτέτωσαν. νεαρὰ μθ΄.[21] — Ἔξεστι τοῖς δανεισταῖς μετὰ τὴν ποίησιν τοῦ ἰνβέντου τουτέστι τῆς καταγραφῆς πᾶσαν ἔρευναν ποιεῖν καὶ βασανίζειν τοὺς οἰκέτας, καὶ ὅρκον ἐπάγειν τῷ κληρονόμῳ ἐὰν λέγωσιν αὐτὸν κλέπτην· καὶ εἰ δειχθῇ κλέπτης ἢ κρύψας, διπλοῦν ἀπαιτείσθω. εἰ δὲ ἴνβεντον οὐκ ἐποίησεν, οὐκ ἐπιφέρεται αὐτῷ ὅρκος ὁ λεγόμενος ἰν λίτημ.[22]

κ΄. Δύναται ὁ ἄρχων τιμωρῆσαι τοὺς σφραγιστὰς τῆς διαθήκης, ἐὰν μὴ ἀνέχωνται καλούμενοι ἐλθεῖν καὶ ἐπιγνῶναι τὰς οἰκείας σφραγίδας.[23]

κα΄. Εἴ τις οὖν μέχρι τῆς παρούσης διατάξεως τῇ οἰκείᾳ χειρὶ τὸ τοῦ κληρονόμου ὄνομα οὐκ ἔγραψεν, ἀλλὰ τὸ τετραούγκιον μόνον τοῖς παισὶ κατέλιπεν, μὴ ἀκυρούσθω ἡ διαθήκη αὐτοῦ. νεαρὰ ξζ΄.[24]

κβ΄. Ἡ στρατιωτικὴ διαθήκη ἕως ἐνιαυτοῦ μόνου μετὰ τὴν ἄφεσιν τῆς σρατείας ἔῤῥωται τὰ ἐν αὐτῇ, ὡς βι. ε΄ [τί. β΄] διγ. η΄.[25] ση. ὅτι καὶ ἐν τῇ εἰσόδῳ τῆς στρατείας εἴσω ἐνιαυτοῦ βετεράνος λέγεται τουτέστι τήρων.

κγ΄. Τοῖς ὑπαγορεύουσι διαθήκην δυνατὸν καταλιμπάνεσθαι εἴ τι ἂν ὁ διαθέμενος βούλοιτο· ὁμοίως καὶ τοῖς μάρτυσιν.[26]

κδ΄. Οἱ ὅμηροι εἰ μὴ ἐπιτραπῶσιν οὐ διατίθενται, ἀλλὰ καὶ κατὰ τοὺς ῥωμαίων νόμους πολιτεύονται.[27]

κε΄. Ἔῤῥωται ἡ διαθήκη τοῦ ἐν φυλακῇ μετὰ κατηγορίαν πρὸ καταδίκης τελευτήσαντος.[28]

κς΄. Ἐὰν περὶ τὸν χρηματισμὸν ἢ τὴν πατρωνυμίαν ἢ τὴν προσηγορίαν τοῦ κληρονόμου γένηται πλάνη, δῆλον δέ ἐστι περὶ τίνος ὁ διατιθέμενος ἐνενόησεν, ἔῤῥωται ἡ διαθήκη.[29]

κζ΄. Ἀφανισθεισῶν τῶν σφραγίδων καὶ τοῖ παντὸς λίνου κοπέντος ἢ τοῦ πλείονος μέρους αὐτοῦ, εἰ μὲν ὁ διατιθέμενος τοῦτο πεποίηκεν, ἀναιρείσθω ἡ διαθήκη· εἰ δὲ κατὰ τύχην ἐγένετο, μηδὲν αὐτὴν ἀδικείτω, μόνον εἰ νομίμως συνετέθη.[30]

κη΄. Αἱ διαθῆκαι αἱ ἐν πᾶσι πόλεσι ῥωμαϊκαῖς καὶ ἐγγρά-

---

[21] In vulgata 168 Novellarum collectione est Nov. 48. [22] Cod. 6, 30, 22 § 10. [23] Dig. 43, 5, 3 § 9. [24] Nov. 66 in vulgata 168 Nov. collectione? Cf. ibidem Nov. 107 et 119. [25] Scil. § 4. [26] Cod. 6, 23, 22. [27] Dig. 28, 1, 11. [28] F addit βι. μη΄ τί. δ΄ διγ. Imo Dig. 28, 1, 9. — F pergit καὶ ὁ τῷ πομπηΐῳ ἐναγόμενος ἐὰν πρὸ καταδίκης κατὰ φύσιν ἀποθάνῃ, δύναται διατίθεσθαι (Dig. 48, 9, 8). [29] Cod. 6, 23, 4. [30] Cod. 6, 23, 30.

φως καὶ ἀγράφως γινόμεναι ..... τὴν τοῦ τόπου συνήθειαν ἀντὶ νόμου δεχόμεθα. ἐπεὶ ε´ μάρτυρες ἀρκοῦσι ἢ γ´.[31]

κθ´. Δύναταί τις καὶ ἀγράφως μετὰ τὸ διαθέσθαι ἐναλλάξαι τὴν διατυπωθεῖσαν αὐτῷ προτέραν ἔγγραφον διαθήκην, ὡς βι. ς´ τί. κγ´ διατ. κζ´ τοῦ κώδ.[32]

λ´. Ἀπὸ σχηδαρίου διαθήκης οὐκ ἔῤῥωται ληγάτον. ἐὰν δὲ ταῦτα τὰ ῥήματα ἔχῃ· ταύτην τὴν διαθήκην βούλομαι εἶναι κυρίαν ἐπὶ πάσης ἐξουσίας, ἔῤῥωται τὰ ἐν αὐτῇ καταλειφθέντα, κἂν τὰ ἐξ ἀδιαθέτου χώραν σχῇ.[33] — ση. Ἀπὸ ἀτελοῦς διαθήκης μηδὲ βασιλεὺς κληρονομείτω.[34] — Ὁ κατὰ φύσιν κωφὸς καὶ ἄλαλος οὐ διατίθεται, ὁ δὲ κατὰ πάθος γενόμενος ἐὰν γράμματα εἰδὼς διαθήκην γράψῃ ἰδίᾳ χειρὶ, ἐῤῥῶσθαι τὸ γινόμενον. ση. τὰ αὐτὰ καὶ ἐπὶ θηλείας κρατείτω.[35]

λα´.[36] Τὸ πεκούλιον ἐν τοῖς ὑπεξουσίοις ὁρᾶται. ὅθεν τῶν πεκουλίων τὰ μέν ἐστιν ἰδιόκτητα, τὰ δὲ παγανικά. καὶ ἰδιόκτητα μέν ἐστιν ὅσα ἰδικῶς ἐξ ἰδίου ἐπιτηδεύματος ἢ στρατείας ἢ βαθμοῦ ἢ οἱουδήποτε κλήρου ἐκτήσατο ἢ ἀπὸ μακρᾶς κανσώδους καὶ χειμερινῆς ὁδοιπορίας ἢ ἀπὸ ἄλλων τινῶν ἔσχεν αἰτιῶν. ἔξεστιν ἐν αὐτοῖς διατίθεσθοι ἕως τῶν η´ οὐγκιῶν, τὸ δὲ τετραούγκιον ἀνιοῦσιν καὶ κατιοῦσιν ἀποκληροῦσθαι μήτε τὴν μέμψιν τῆς διαθήκης εὐλαβούμενος.[37]

λβ´. Παγανικὰ δὲ ἅπερ παρὰ τῆς τῶν γονέων αὐτοῖς ὑπηρεσίας λόγῳ χρείας ἐδόθησαν ἢ καὶ ἐκ τῶν δοθέντων ἐπεκτήσαντο. τὸ μὲν παγανικὸν ἀφαιρεῖσθαι δύναται πεκούλιον, τὸ δὲ ἰδιόκτητον οὐκέτι.

λγ´. Ἐὰν πολλοῖς ἐποφείλων τὶς ὑποστῇ διάπρασιν ὑπὸ τῶν ἰδίων δανειστῶν, τὸ μὲν παγανικὸν τοῦ παιδὸς συνδιαπιπράσκεται πεκούλιον, τὸ δὲ ἰδιόκτητον οὐδαμῶς.

λδ´. Ἐὰν πολλῶν ὄντων παίδων ὁ πατὴρ τελευτήσῃ, συμβῇ δὲ ἕνα ἐξ αὐτῶν παγανικὸν ἔχειν πεκούλιον καὶ ἰδιόκτητον .... μόνου τοῦ κτησαμένου.

---

[31] Cod. 6, 23, 31. [32] F addit Δύναται ἡ διαθήκη ἐν πάσῃ τῇ ὕλῃ καὶ πολλοῖς ἴσοις καταγράφεσθαι. ἰνστιτ. β´ τί. ι´. καὶ οἱ ἐν πολλοῖς γεγραμμένοις ἴσοις καταγραφεῖσα διαθήκη μία νοεῖται καὶ οὐ πολλαί (Dig. 28, 1, 24). [33] Dig. 28, 1, 29. [34] Cod. 6, 23, 3. F addit Τὴν ἄγραφον βούλησιν οἱ ζ´ μάρτυρες προσκληθέντες καὶ τοῦ διατιθεμένου ἀκούοντες ὀφείλουσι κατ᾽ ἰδίαν σημειώσασθαι παρ᾽ αὐτοῦ ὅτι ἤκουσαν λέγοντος τοῦ τεστάτορος. βι. λζ´ τί. ς´ διγ. θ´. [35] Cod. 6, 22, 10. [36] Proch. 22, 1 sqq. sive Theoph. II, 12 debentur §§ 31—35. In V pleniores habentur. [37] F addit βι. λδ´ τί. θ´ διγ. θ´.

λε'. Τὰ ἀπὸ ταξειδίων γινόμενα πεκούλια τοῖς ὑπεξουσίοις ἰδιόκτητά ἐστι καὶ δύνανται καὶ ἐν τούτοις διατίθεσθαι.[38]

λϛ'. Ὁμοίως καὶ τοῖς ὑπεξουσίοις στρατιώταις εἰς τὰ καστρέσια πεκούλια. ἕως ὅτε ἀδιτεύῃ ὁ γραφεὶς κληρονόμος ὑπὸ[39] χώραν ἔχει τὸ δεδομένον αὐτοῖς προνόμιον, οὐχὶ δὲ τὸ ἀσώματον τῆς κληρονομίας αὐτοῦ ὑφέστηκε. ση. τὸ προνόμιον ἐν ταῖς διαθήκαις οἱ στρατιῶται ἔχουσιν οὐ πρὸς τὸ βλάψαι ἕτερον, ἀλλὰ πρὸς τὸ διοικῆσαι ὡς βούλονται τὰ ἴδια.[40]

λζ'. Ὅτε μηδεὶς ὑπεισέρχηται τῇ κληρονομίᾳ, ἀσθενεῖ ἡ διαθήκη.[41] τότε γὰρ ἰσχὺν λαμβάνει, ὅτε ὁ κληρονόμος ἀδιτεύσει.

λη'. Τοῦ στρατιώτου ἡ διαθήκη καὶ ἀτελὴς μείνασα ἔρρωται καὶ ἀνατρέπει τὴν πρὸ αὐτῆς διαθήκην.[42]

λθ'. Ὁ στρατιώτης κατάκριτος γενόμενος οὐ δύναται διατίθεσθαι εἰ μὴ αἰτήσει βασιλικῇ.[43]

μ'. Ἔξεστι τῷ στρατιώτῃ ἄλλον εἰς τὰ παγανικὰ καὶ ἄλλον εἰς τὰ καστρέσια πράγματα γράφειν κληρονόμον.[44] κἂν ὑπεξούσιοι ὦσιν διατίθενται ἐν αὐτοῖς, ὡς βι. λθ' τί. τελευταίῳ. καὶ ἐὰν ὁ μὲν εἷς καταδέξηται τὰ καστρέσια, ὁ δὲ ἕτερος παραιτήσηται τὰ παγανικά, οὐκ ἀναγκάζεται ὁ κληρονομήσας τὰ καστρέσια καταδέξασθαι καὶ τὰ παγανικὰ κατὰ τὸν κανόνα τὸν λέγοντα ὅτι ὁ μέρος κληρονομήσας καὶ τὸ ἄλλο μέρος ἀναγκάζεται κληρονομεῖν.[45]

μα'. Ὁ κληρονόμος οὐ δύναται μαρτυρεῖν, ὁ δὲ ληγατάριος καὶ ὁ διδόμενος ἐπίτροπος ἐν διαθήκῃ μαρτυροῦσιν.[46]

μβ'. Οὔτε καθ' οἱονδήποτε τρόπον μαρτυρεῖ ὑπεξούσιος ἡμῶν ἔνθα τὶ προσπορίζεται. καὶ πατὴρ καὶ πολλοὶ αὐτοῦ ὑπεξούσιοι ἅμα μαρτυρεῖν ἐν διαθήκῃ δύνανται.[47] — Ὁ γραφεὺς

---

[38] F intercalat haec: *Παγανὸς ὑπεξούσιος διατίθεται εἰς τὰ καστρέσια πεκούλια κατὰ τὴν τοῦ νόμου ἀκρίβειαν. — Καὶ ὅτι παγανὸς οὐ δύναται ἐν μέρει διατίθεσθαι καὶ ἐν μέρει ἀδιάθετος τελευτᾶν. — Οὐκ ἔστι διαθήκη ἐν ᾗ κληρονόμος οὐ γέγραπται. ὅτι ἡ ἰσχὺς τῆς διαθήκης ἐν τῇ ἐνστάσει τοῦ κληρονόμου θεωρεῖται.* [39] *ἢ ὑποκατάστατος?* [40] Cf. Dig. 29, 1, 28.

[41] Dig. 50, 17, 181. [42] F *ὡς βι. κη' τί. γ' διγ. β'*. Recte. — Idem pergit: *Κἂν ἀνηβός ἐστιν, οὔτε φαλκιδίῳ ὑπόκειται. ἀλλὰ καὶ ἐγγράφως καὶ ἀγράφως διατίθεταί παρὰ τὴν τῶν νόμων ἀκρίβειαν κἂν ὑπεξούσιός ἐστιν. — Μάθε ὅτι εἰ ἐστὶ παγανὸς ὁ ὑπεξούσιος, οὐ διατίθεται ὡς στρατιώτης. εἰ γένηται βετεράνος, οὐ δύναται παρανόμως διαθήκην ποιῆσαι. — Ὁ βετεράνος καὶ ἀγνοῶν εἰ αὐτεξούσιός ἐστιν διατίθεται. βι. κθ' τί. ζ' διγ.*

[43] Dig. 28, 3, 6 § 6. [44] Dig. 29, 1, 17 § 1. [45] Cf. Bas. 35, 21, 40.

[46] Dig. 28, 1, 20 pr. [47] Dig. 28, 1, 20 § 3. 22 pr.

τῆς διαθήκης καλῶς ἐν αὐτῇ μαρτυρεῖ, καὶ ὁ ἀλλότριος δοῦλος καλῶς γράφει τὴν διαθήκην.[48]

μγ'. Ὁ κατὰ δόλον κωλύσας τοὺς μάρτυρας μὴ εἰσελθεῖν ἐκπίπτει τοῦ κλήρου.[49]

μδ'. Ἐάν τις ἀρνῆται τὴν ἰδίαν σφραγίδα, ὕποπτος μέν ἐστιν ἡ διαθήκη, ἀνοίγεται δέ.[50]

με'. Ὅτε ἡ διαθήκη ἐν πρώτοις ἀνοίγεται, ἀναγκάζονται παρεῖναι οἱ μάρτυρες καὶ τὰς οἰκείας ἐπιγινώσκειν σφραγίδας ἢ ἀρνεῖσθαι αὐτάς. καὶ τοῦ πλείονος μέρους τῶν μαρτύρων εὑρισκομένου ἀποσφραγίζεται καὶ ἀναγινώσκεται.[51]

μϛ'.[52] Παρακελευόμεθα πᾶσιν ἀνδράσιν καὶ γυναιξὶν τοῖς ὀφείλουσιν τελευταίαν βούλησιν παρασκευάσαι μὴ ἔλαττον τῶν ε' μαρτύρων προσκαλεῖσθαι εἰς τὴν μέλλουσαν γενέσθαι διατύπωσιν. καὶ εἰ μὲν φανερὰ καθίσταται, μετὰ τὴν γραφὴν τοῦ ὕφους τῆς τοιαύτης διατυπώσεως ἀναγινώσκεσθαι ταύτην κατενώπιον τοῦ διαθεμένου καὶ τῶν μαρτύρων. μετὰ τὴν ἀνάγνωσιν ἐρωτάσθω ὁ διαθέμενος παρόντων τῶν μαρτύρων, εἰ ἄρα αὐτὸς διετάξατο τὰ ἐπαναγινωσκόμενα, καὶ καταθεμένου αὐτοῦ ὑπογραφέτωσαν οἱ αὐτοὶ μάρτυρες ἐν τῇ τοιαύτῃ διατυπώσει ταῖς ἰδίαις χερσὶν αὐτῶν κατενώπιον τοῦ διαθεμένου. καὶ μετὰ τὸ ὑπογράψαι σφραγιζέτωσαν οἱ αὐτοὶ μάρτυρες, καὶ μετὰ τὸ σφραγίσαι αὐτοὺς παρεχέτωσαν αὐτὴν τῷ διαθεμένῳ ὁμοῦ πάντες οἱ μάρτυρες παρόντες μηδενὸς ἐλλείποντος ἐκ τοῦ ἀριθμοῦ, καὶ μετὰ τοῦτο ὑποχωρείτωσαν. ἐὰν δὲ μυστικῶς ὀφείλουσι διατυπώσασθαι, τὸ μὲν ὕφος τῆς διατυπώσεως ὁ γραφεὺς ἐκτελείτω καὶ μετὰ τὴν γραφὴν προσκαλείτωσαν μάρτυρας οὐκ ἔλαττον τῶν ε', καὶ λεγέτω αὐτοῖς ὁ διαθέμενος ὅτι ἡ διατύπωσις

---

48 Dig. 28, 1, 27. 49 Dig. 29, 6, 2 pr. 50 Dig. 29, 3, 1 § 2.

51 Dig. 29, 3, 4—6. 52 Haec §, quae legitur tam in D quam in G, a reliquis abest: unde quaeritur, an genuinae Epitomae partem fecerit. In Epitome ad Prochioron aucta in fine hujus tituli habentur κεφάλαια ἐκ τοῦ α' τόμου περὶ διαθηκῶν. Δεῖ γινώσκειν πάντα τὸν διατιθέμενον ὅτι ὀφείλει τοῖς ἐξ ἀδιαθέτου κληρονόμοις τὸ νόμιμον καταλιμπάνειν μέρος. εἰ γὰρ τοῦτο μὴ ποιήσειεν, καὶ ἄκοντος αὐτοῦ προσκαλοῦνται τούτους οἱ νόμοι εἰς τὴν καταλειφθεῖσαν ὑπ' αὐτοῦ περιουσίαν, οὓς τὸ εὐσεβὲς ἡμῶν κράτος κυρῶσαι ἐσπούδασεν. Eadem occurrunt in D fol. 258 (cf. Jus GR. P. III p. 226 et Gesch. d. griech.-röm. Rechts ed. 2 p. 166 not.). Ad numerum locorum ibi laudatorum haec nostra § accedit. Eorum originem in Calabria quaerendam esse nonnulla videntur indicare: nam τὸ κράτος regulorum Occidentis imperium significat et Codices certe Ambrosianus et Vaticanus ex Calabria provenerunt. Vide etiam infra tit. 32 § 8 not.

ἰδία αὐτοῦ ἐστιν καὶ ὅτι μυστική ἐστιν, καὶ προτρεπέτω αὐτοὺς ἐν αὐτῇ ὑπογράψαι καὶ βουλλῶσαι, καὶ εὐθέως ὑπογραφέτωσαν αὐτὴν πάντες ἐν μιᾷ ὥρᾳ κατενώπιον αὐτοῦ καὶ σφραγιζέτωσαν αὐτὴν, καὶ μετὰ τὸ σφραγισθῆναι τὴν διατύπωσιν παρεχέτωσαν αὐτὴν τῷ διαθεμένῳ. οὗτοι δὲ ὀφείλουσιν μυστικὰς διατυπώσεις ποιεῖσθαι ἄνδρες τε καὶ γυναῖκες, ὁπόσοι γράμματα ἀναγινώσκουσιν. ἐὰν δὲ ἀγράμματοι καθίστανται εἴτε ἄνδρες ὦσιν εἴτε γυναῖκες, μὴ ποιείτωσαν μυστικὰς διατυπώσεις, ἀλλὰ φανεράς. ὅστις δὲ εὑρεθῇ ἔξω τῆς τοιαύτης προστάξεως διαπραττόμενος καὶ ἐν ἀσυστάτῳ διατυπώσει ἤγουν ἀνυπογράφῳ μαρτύρων, ἵνα δέρεται καὶ κουρεύεται καὶ ἐξορίζεται. ἔτι δὲ καὶ τοῦτο προτυπώμεθα πᾶσιν τοῖς μετὰ τελευτὴν τοῦ διαθεμένου εἴτε καὶ ἀδιαθέτου τελευτῶντος εὑρισκομένοις κληρονόμοις, εἴτε γυνή ἐστιν τοῦ τελευτήσαντος εἴτε παιδίον εἴτε ἐπίτροπος εἴτε ἄλλος τὶς ἐξ ἀδιαθέτου κληρονόμος καλούμενος, [ἵνα] ἔσωθεν τοῦ τριμηνιαίου καιροῦ ἀπογράφεται πᾶσαν τὴν περιουσίαν τοῦ τελευτήσαντος κατενώπιον μαρτύρων, τῶν αὐτῶν μαρτύρων ὑπογραφόντων τὴν αὐτὴν ἀπογραφήν. ὅστις δὲ βουληθῇ ἐκ τῶν εἰρημένων προσώπων ἀκατάγραφον κατασχεῖν ὑπόστασιν τελευτῶντος ἵνα δέρεται καὶ κουρεύεται καὶ ἐξορίζεται.

μζ'. Ἐὰν ἄπεστι μάρτυς, πέμπεται ἡ διαθήκη ὅπου διάγει εἰς τὸ ἐπιγνῶναι τὴν σφραγίδα, οὐ μὴν αὐτὸς ἄγεται. ἄδικον γάρ ἐστι ἐπιζήμιόν τινι γενέσθαι τὸ ἴδιον ὀφφίκιον. ἐὰν ἀπολιμπάνωνται οἱ μάρτυρες [καὶ] ἀναγκαῖόν ἐστιν αὐτὴν [ἀνοιγῆναι], ὁ ἄρχων παρασκευάσει παρόντων ἀνδρῶν εὐϋπολήπτων ἀνοιγῆναι, καὶ μετὰ τὸ γραφῆναι καὶ ἀναγνωσθῆναι πάλιν ἀνασφραγίζεται διὰ τοῦ ἄρχοντος καὶ πέμπεται ὅπου εἰσὶν οἱ μάρτυρες εἰς τὸ ἐπιγνῶναι τὰς ἰδίας σφραγίδας.[53]

μη'. Ἐὰν εἷς τῶν μαρτυρησάντων εὑρεθῇ ἐπὶ μοιχείᾳ κατακεκριμένος, οὔτε κατὰ τὸν πολιτικὸν οὔτε κατὰ τὸν πραέτορα ἔῤῥωται ἡ διαθήκη.[54] — Ὅτι καὶ οἱ ἄρχοντες καὶ οἱ στρατηγοὶ

---

[53] Dig. 29, 3, 7. F intercalat: Ὁ τυφλὸς καλῶς μαρτυρεῖ ἐν διαθήκῃ ὅτι ἀρκεῖ τῇ αἰσθήσει τῶν μαρτύρων (Dig. 28, 1, 20 § 9). καὶ ὁ ἀγράμματος καλῶς μαρτυρεῖ ἐν ἀγράφῳ διαθήκῃ, μόνον ὅτι οἶδεν τοῦ τελευτῶντος τὴν βούλησιν. σὺ δὲ νόει ἔξωθεν, ὅτι καὶ δύναταί τις ὑπεράνω ἄλλου μαρτυρεῖν ὀγραμμάτου ὄντος ὑπογράφων οἰκείᾳ χειρὶ ὑπὲρ αὐτοῦ. βι. κβ' τί. δ' διγ. α'. — Ὁ ἐπονομαζόμενος ἑρμαφρόδιτος εἰ μὴ ἄρα πλέον ἐπικλίνῃ πρὸς τὸ ἄῤῥεν, οὐ μαρτυρεῖ ἐν διαθήκῃ. βι. κη' τί. α' διγ. ιβ' καὶ ις' (Dig. 22, 5, 15 § 1. 28, 2, 6 § 2). [54] F addit ὡς βι. κβ' τί. ε' διγ. ιδ'. Recte.

χρεωστοῦσι τοὺς κατὰ χώραν μάρτυρας καὶ σφραγιστὰς παραπέμπειν τοῖς μέλλουσι διατίθεσθαι.[55]

μθ'. Ἐὰν γὰρ εἰς νομὴν πεμφθῇ γαστὴρ, ἀνοίγεται διὰ τὸ γνωσθῆναι τίς αὐτῇ κατελείφθη κουράτωρ.[56] *ση. κουράτωρ ἐν διαθήκῃ πατρὸς ἢ μητρὸς οὐ δίδοται, ἀλλ' ἐπίτροπος. ὡς βι. κγ'*[57] *τί. γ' διγ. α'.*

ν'. Ἐάν τις διαθέμενος τὸν δεσπότην ἰησοῦν χριστὸν γράψῃ κληρονόμον ἢ ἐξ ὁλοκλήρου ἢ ἐκ μέρους, πιστεύεται τῇ ἐκκλησίᾳ τῇ [ἐν] ἐκείνῃ τῇ πόλει ἢ τῇ κώμῃ τῇ διακειμένῃ . . . καὶ [οἱ] οἰκονόμοι τῆς ἐκκλησίας ἀπαιτεῖν ὀφείλουσιν τὸ καταλειφθὲν καὶ περὶ τοὺς πτωχοὺς ταῦτα δαπανᾶν.[58]

να'. Οἱ ἀποστάται μήτε κληρονομείτωσαν παρά τινος μήτε διατιθέσθωσαν. ἡ δὲ αὐτῶν περιουσία τοῖς ὀρθοδόξοις ἔσται χριστιανοῖς, κἄντε συγγενέσι κἄντε ἄλλοις.[59]

ΤΙΤΛΟΣ λ'.

Περὶ ἀνατροπῆς διαθήκης καὶ περὶ μέμψεως αὐτῆς.

α'. Ἐὰν τὴν γενομένην ὀρθῶς διαθήκην ἕτερός τις διαῤῥήξῃ παρὰ γνώμην τοῦ διατιθεμένου, οὐδὲν τῶν ἐν αὐτῇ ἀνατρέπεται, ὡς βι. λϛ' τί. α' διγ. δ'.[1]

β'. Ὁ ὑπεξούσιος υἱὸς καλῶς διατίθεται εἰς τὰ ἀπρο-

---

55 Dig. 22, 5, 22. 56 Dig. 29, 3, 9. 57 Lege *κϛ'*. — F *ὡς βι. λβ' τί. α' διγ. ια'*. 58 Cod. 1, 2, 26. 59 Cod. 1, 7, 4. — In D in spatio, quod in fine tituli in albo relictum erat, recentior manus supplevit, in G vero primitiva manus tanquam partem textus addit haec: *Τί. β'* (scil. Bas. lib. XXXV) *περὶ διαθήκης ποίῳ τρόπῳ αἱ διαθῆκαι συνίστανται. τοῦ βι. ϛ' τί. κγ' Ἀνατολίου. — Ἐάν οἱ μάρτυρες μὴ ἐπ' ὄψεσι τοῦ διαθεμένου σφραγίσωσιν τὴν διαθήκην, ἄχρηστός ἐστιν, εἰ μὴ ἄρα προνόμιόν ἐστιν ἰδικὸν ἐν ἐκείνῃ τῇ πόλει, ὥστε μὴ ἐπ' ὄψεσι τοῦ διαθεμένου τὰς σφραγίδας ἐπιτίθεσθαι* (Cod. 6, 23, 9). — *Ἡ διάταξις κελεύει μὴ πάντως ἀνάγκην εἶναι τῷ διατιθεμένῳ παρόντων τῶν μαρτύρων ὑπαγορεύειν τὴν διαθήκην, ἀλλ' ἐξεῖναι αὐτῷ καὶ ἀπόντων αὐτῶν ὑπαγορεῦσαι καὶ ὑπογράψαι, ἵνα μέντοι παραγενομένων αὐτῶν ἐφ' ᾧ σφραγίσαι προσομολογήσῃ τὴν διαθήκην ἰδίαν εἶναι, καὶ ἐν ἑνὶ καὶ τῷ αὐτῷ καιρῷ καὶ σφραγίσωσιν οἱ μάρτυρες καὶ ὑπογράψωσιν* (Cod. 6, 23, 21 pr.) — *Μὴ ἐῤῥώσθω τελευταία οἱαδήποτε διατύπωσις τοῦ ἥττονος τῶν ιδ' ἐνιαυτῶν. ὁ δὲ τοῦτον ἐξελθὼν τὸν χρόνον, κἂν μὴ κεκόσμηται τὸ σῶμα θριξὶν, διατίθεται καλῶς* (Cod. 6, 22, 4). 1 Cf. Dig. 37, 11, 1 § 10. — §§ 1 et 2 in V in fine tituli 29 exhibentur.

σπόριστα αὐτοῦ πράγματα, δηλονότι ζῶντος τοῦ πατρὸς αὐτοῦ.[2]

γ'. Ταῖς διαθήκαις τρία πάθη παρενοχλεῖ, οἷον ῥῆξις ἀκυρωσία καὶ ἀτέλεια. ἀλλ' αἱ μὲν ῥηγνύμεναι ἢ καθόλου ῥήγνυνται ἢ ἐκ μέρους. καὶ καθόλου μὲν κατὰ τρόπους ἕξ. καὶ πρῶτος μὲν τρόπος ἐστὶν, ὅταν τὶς μετὰ τὴν ποίησιν τῆς διαθήκης εἰς υἱοθεσίαν τινὰ λάβῃ καθ' οἱονδήποτε τρόπον τῆς υἱοθεσίας. δεύτερος δὲ, ὅταν μετα τὴν ποίησιν τῆς διαθήκης ἢ τὸν θάνατον τοῦ διατιθεμένου υἱὸς τεχθῇ ἢ ὑπεξουσίου υἱοῦ θανόντος ἔγγονος παροφθῇ, κἂν μετὰ τοὺς ὁρισθέντας κληρονόμους πρόσκειται οὕτως· ἔστωσαν ἀπόκληροι, εἰ μὴ ἄρα ληγατευθῇ ἢ ἐκτρώσῃ ἡ τίκτουσα. τρίτος· ὅταν ὁ θετὸς υἱὸς ὑπεξούσιος ὢν οὐ μνημονευθῇ ἐν τῇ διαθήκῃ. τέταρτος· ὅταν δευτέρα γένηται διαθήκη κατὰ νόμον, εἴτε γέγονέ τις ἐν αὐτῇ κληρονόμος εἴτε μὴ γέγονε τῶν πεφυκότων κληρονομεῖν. πέμπτος· ὅταν δευτέρα διαθήκη κατὰ νόμους γενομένη κληρονόμον ἕτερον εἰς ὡρισμένα πράγματα καταστήσῃ μὴ βεβαιοῦσα τὰ τῆς πρώτης διαθήκης. ἕκτος· ὅταν στρατιώτου υἱὸς ἐγκυμονούμενος παρ' αὐτῷ ἐν τῇ ποιήσει τῆς διαθήκης ἠγνοήθη· εἰ γὰρ γνοὺς αὐτὸν ἐσιώπησεν, οὐ ῥήγνυται ἡ διαθήκη.[3]

δ'. Ἐκ μέρους δὲ κατὰ τρόπους δύο. καὶ πρῶτος τρόπος ἐστὶν, ὅταν ἡ δευτέρα διαθήκη τὰ μὲν ἐν τῇ πρώτῃ βέβαια μένειν διαγορεύῃ, ἕτερον δὲ κληρονόμον εἰς ὡρισμένα πράγματα κατέστησεν. ἀρκεῖ γὰρ αὐτῷ τὰ ἐαθέντα, εἰ καὶ μὴ ποιεῖ τὸν φαλκίδιον, ὥστε ἀναπληροῦσθαι τὸ λεῖπον τοῦ φαλκιδίου αὐτοῦ. ὡς βι. β' ἰνστιτ. ζ'.[4] δεύτερος τρόπος ἐστὶν, ὅταν τὶς θυγατέρα ὑπεξουσίαν ἔχῃ ἢ ἔγγονον ἢ ἐγγόνην οὐκ ἔγραψε δὲ αὐτοὺς κληρονόμους. τότε ἡ μὲν διαθήκη οὐ ῥήγνυται τέλεον, αὐτοὶ δὲ τῇ κληρονομίᾳ ὑπεισέρχονται· καὶ εἰ μέν ἐστι γραφεῖσα ἡ κληρονομία εἰς ἐξωτικοὺς τουτέστι τοὺς μὴ ὄντας συγγενεῖς, τὸ ἥμισυ οἱ οἰκεῖοι λαμβάνουσιν εἰς προσαύξησιν· εἰ δὲ εἰς οἰκείους, ἐπίσης πάντες. ἀνάγνωθι βι. β' ἰνστιτ. ση. προσαύξησις δέ ἐστι μέρος ἀφαιρέσεως.[5]

---

[2] F intercalat §§ has: Ὅτι διαθήκη ἐπὶ πράξεως ὑπομνημάτων οὐ τυποῦται, ἐπειδὴ τὰ ἐν ὑπομνήμασι γινόμενα οὐ δέονται μαρτύρων. ἀμάρτυρος δὲ διαθήκη οὐκ ἐστὶν, εἰ μὴ ἐν δεήσει γενομένη παρὰ βασιλέως. βι. ε' (lege ϛ') τί. κγ' διατ. κα'. — Οὐ δύναται ὑπεξούσιος διατίθεσθαι εἰς τὰ μητρῷα αὐτοῦ πράγματα, οὐδὲ γάρ εἰσι καστρέσια πεκούλια, ἀλλὰ καὶ τὸν οὐσούφρουκτον αὐτῶν ὁ πατὴρ ἔχει. [3] § 3—6 sunt ex Proch. 25, 1—5.

[4] Lege ιζ'. [5] μέρους ἀφαίρεσις?

ε'. Αἱ δὲ ἀκυρούμεναι κατὰ δ' τρόπους γίνονται. καὶ πρῶτος τρόπος, ὅταν ὁ διατιθέμενος θανάτῳ καταδικασθῇ ἢ ἐξορισθῇ ἢ αὐτεξούσιος ὢν ἑαυτὸν εἰς υἱοθεσίαν ἑτέρῳ παράσχῃ ἢ ὑπεξούσιος ὢν αὐτεξούσιος γέγονεν. δεύτερος, ὅταν δευτέρας ἐννόμου γραφείσης διαθήκης, τότε ἡ μὲν πρώτη ῥήγνυται, ἡ δὲ δευτέρα ἀκυροῦται δι' αἰτίαν τῶν πεφυκότων κληρονομεῖν τουτέστιν ὅταν ἀποτάξωνται τῇ κληρονομίᾳ, ἢ ὅταν προτελευτήσωσι τοῦ διατιθεμένου, ἢ ὅταν μετὰ τὴν τελευτὴν τοῦ διατιθεμένου πρὸ τοῦ παραλαβεῖν τὴν κληρονομίαν τελευτήσωσιν, ἢ ὅταν ὑπὸ αἵρεσιν ἐγράφησαν καὶ ἡ αἵρεσις ἠτόνησεν. τρίτος δὲ τρόπος, ὅταν τὶς δίκην ἔχων πρός τινα τὸν βασιλέα κληρονόμον ποιήσῃ ἐγγράφως ἢ ἀγράφως, εἰ μὴ ἄλλως πως κατὰ νόμους κληρονομῇ αὐτὸν ὁ βασιλεύς· εἰ γὰρ καὶ νόμοις οἱ βασιλεῖς οὐχ ὑπόκεινται, ἀλλ' οὖν κατὰ νόμους πολιτεύονται. τέταρτος δὲ τρόπος ἐστὶν, ὅταν ἀποσφραγίσας εἴασεν αὐτὴν οὕτως ἢ εἶπεν ὅτι οὐκ ἰσχύειν αὐτὴν βούλομαι· τὰ γὰρ κατὰ νόμους γενόμενα ἐννόμως ἀνατρέπεσθαι δεῖ.

ς'. Αἱ δὲ ἀτελεῖς κατὰ ε' τρόπους νοοῦνται. καὶ πρῶτος μὲν τρόπος, ὅταν μὴ παρόντων ζ' ἢ ε' μαρτύρων κατὰ τὰ παρ' ἡμῶν νομοθετηθέντα γένηται ἡ διαθήκη. δεύτερος δὲ, ὅταν παρόντες οὐ πάντες ὑπέγραψαν. τρίτος, ὅταν πάντες μὲν ὑπέγραψαν, οὐκ ἐσφράγισαν δὲ πάντες. τέταρτος, ὅταν ὁ διαθέμενος οἰκείᾳ χειρὶ τὸ τοῦ κληρονόμου ὄνομα μὴ γράψας οὐκ ἐμνημόνευσεν ἐπὶ τῶν μαρτύρων. πέμπτος, ὅταν αὐτεξουσίους ἢ ὑπεξουσίους υἱοὺς ἢ ἐκγόνους ἐξ ὑπεξουσίων παίδων τελευτησάντων ἔχων τὶς τούτους οὔτε κληρονόμους οὔτε ἀποκλήρους ἔγραψε· κἂν τύχῃ αὐτοὺς προτελευτῆσαι τοῦ πατρὸς οὐδὲν ἧττον ἄκυρος ἡ διαθήκη διὰ τὸν κανόνα τὸν λέγοντα· τὰ ἐξ ἀρχῆς ἐν διαθήκαις ἀνυπόστατα ἐκ τῶν μετὰ ταῦτα ἐπιγινομένων ἰσχὺν λαμβάνειν οὐ δύναται.

ζ'.[6] Ὁ ὑπὸ κεφαλικὴν ἀπόφασιν γενόμενος εἰ ἐγκαλέσηται ἐν τῷ μέσῳ καιρῷ καλῶς διατίθεται, εἰ καὶ μὴ δέξηται τὴν ἔκκλητον ὁ ἀποφηνάμενος.[7]

η'. Ὁ περὶ τῆς οἰκείας καταστάσεως ἀμφιβάλλων οὐ διατίθεται.[8]

θ'. Ἡ προγενεστέρα διαθήκη ἀνατρέπεται ὑπὸ τῆς μεταγενεστέρας τελείας οὔσης, κἂν ἐστιν ἡ πρώτη ἔγγραφος.[9]

---

[6] Loco §§ ζ'—ι' V inserit Epanagoges tit. 30 § 1—6. [7] Dig. 28, 1, 13 § 2. [8] Dig. 28, 1, 15. [9] Inst. 2, 17, 2. Proch. 21, 13.

ι'. Ἐὰν διάθηται ὑπεξούσιος ἢ ἄνηβος ἢ δοῦλος, οὐκ ἔῤῥωται, κἂν ὁ μὲν αὐτεξούσιος ἀποθάνῃ, ὁ δὲ ἔφηβος, ὁ δὲ ἐλεύθερος.[10] — ση. οὔτε ἄνηβος οὔτε μαινόμενος οὔτε ἄσωτος οὔτε ὑπεξούσιος διατίθεται καὶ συναινούντων τῶν πατέρων.

ια'. Ὁ παρὰ τοῖς πολεμίοις ὢν οὐ καλῶς παρ' αὐτοῖς διατίθεται, εἰ μὴ συμβῇ τοῦτον εἰς τὴν ἡμετέραν πολιτείαν ἐλθεῖν.[11]

ιβ'. Ὁ μετὰ τὸ διατίθεσθαι παρέχων ἑαυτὸν εἰς θέσιν ἀναχωρεῖ τῆς πρὸς τὸν κληρονόμον εὐνοίας, καὶ διὰ τοῦτο εἰ καὶ αὐτεξούσιος τελευτήσει οὐ καλῶς ἐκδικεῖ τὴν κληρονομίαν αὐτοῦ ὁ σκρίπτος, εἰ μὴ ἄρα ἢ ἐν κωδικέλλοις ἢ ἐν ἄλλῳ τινὶ σημανεῖ ὅτι ἐπ' αὐτῇ τῇ διαθήκῃ θέλει τελευτῆσαι.[12]

ιγ'. Ποστούμου ἐπιγεννηθέντος ῥοῦπταν ποιεῖ τὴν διαθήκην καὶ οὐδὲν τῶν ἐν αὐτῇ καταλειφθέντων ἔῤῥωται.[13]

ιδ'. Ἐάν χειρὶ τοῦ υἱοῦ μου γραφῇ ἡ ἐξνερεδατίων αὐτοῦ, ἔῤῥωται. ὅσα γὰρ καθ' ἑαυτοῦ γράψει τὶς ἐν ἀλλοτρίᾳ διαθήκῃ, ἰσχυρῶς γράφει, ὡς βι. λζ' τί. δ' διγ. η'.[14]

ιε'. Καὶ τὴν γαστέρα καλῶς τις ποιεῖ ἐξνερεδάτον ὁ ἐλπίζων ὑπεξούσιον ἐξ αὐτῆς τίκτεσθαι αὐτῷ.[15]

ις'. Ἐὰν ἐγκύμονα γυναῖκα ῥεπουδιατεύσω καὶ γεννήσασα ἔκθηται τὸ παιδίον καὶ ἕτερός τις ἀναθρέψῃ αὐτὸ, καὶ ἐν ὅλῃ τῇ ζωῇ μου ἐγὼ καὶ ἡ μήτηρ τοῦ παιδίου ἀγνοήσομεν εἰ περίεστιν, ὅμως ἀπόκληρος [μὴ] γινόμενος ἀνατρέπει τὴν διαθήκην, ὡς βι. κθ' τί. α' διγ. λς'.[16]

ιζ'. Ἐὰν τῷ πάππῳ διαθεμένῳ γεννηθῇ ἔγγονος ἐξ υἱοῦ περιόντος, οὐ ῥήγνυσι τὴν διαθήκην, ὡς βι. κθ' τί. α' διγ. α'.[17]

ιη'. Ὁ ἐξ υἱοῦ ἔγγονος ἀποκληρονόμος ὑπὸ τοῦ πάππου γινόμενος οὐδὲ ἐπαναβαίνων τῷ τόπῳ τοῦ πατρὸς ἀφανίζει τοῦ πάππου τὴν διαθήκην.[18] — ση. οὐκ ἀνατρέπεται παρὰ τοῦ υἱοῦ τοῦ υἱοῦ τοῦ πάππου ὡς τοῦ υἱοῦ αὐτοῦ κληρονομοῦντος.

---

[10] Dig. 28, 1, 19. Proch. 21, 10. [11] Theoph. Inst. 2, 12 § 5. — V pergit: *Τὴν δὲ παρ' ἡμῖν γενομένην διαθήκην ἐῤῥῶσθαί φαμεν μετὰ ταῦτα γινομένου αὐτοῦ αἰχμαλώτου. εἴτε γὰρ ὑπέστρεψεν ἐκ τῆς αἰχμαλωσίας ἡ τοιαύτη διαθήκη τὸ βέβαιον ἔχει, εἴτε παρὰ τοῖς πολεμίοις ἐτελεύτησεν.* — Deinde addit §: *Ὁ φάμουσον ποιήσας καθ' οἱουδήποτε προσώπου καὶ ἐλεγχθεὶς οὔτε διατίθεται οὔτε μαρτυρεῖ ἐν διαθήκῃ* (Dig. 28, 1, 18 § 1). [12] Dig. 37, 11, 11 § 2. [13] Cod. 6, 29, 1. [14] Scil. § 6. [15] Cf. Dig. 28, 3, 3 § 5. [16] Ibi scilicet hoc adnotatum fuisse videtur ex Dig. 40, 4, 29. [17] F λς'. Cf. Dig. 28, 3, 6 pr. [18] Cf. Dig. 28, 3, 6 § 3. 4.

ιϑ'. Οἱ ἐξνερεδάτοι παῖδες κληρονομοῦσιν, ἐὰν ῥούπτα γένηται ἡ διαθήκη, ὡς βι. μα'. τί. α' διγ. ιγ'.[19]

κ'. Ἀνίσχυρός ἐστιν ἡ διαθήκη, ἐάν τις γράψη τὸν υἱὸν αὐτοῦ κληρονόμον ἐὰν δείξῃ ὅτι υἱὸς αὐτοῦ ἐστιν.[20] ση. ἀνατρέπεται ἡ διαθήκη ὡς αὐτομοιχοῦ ὄντος τοῦ πατρός.

κα'· Εἰ καὶ ἐν ἀχρήστῳ διαθήκῃ εἴποι ὁ διαθέμενος ὅτι βούλεται εἶναι ταύτην κυρίαν ἐπὶ πάσης ἐξουσίας, φυλάττεται καὶ ἐξ ἀδιαθέτου τὰ ἐν αὐτῇ γεγραμμένα.[21]

κβ'. Ὅτε τῷ τῆς καθοσιώσεως ἐγκλήματι κατακρίνεται ἡ τοῦ τελευτήσαντος μνήμη, ἴνριτος τουτέστιν ἄκυρος γίνεται ἡ διαθήκη αὐτοῦ,[22] ὡς βι. λα'.[23]

κγ'. Ἐὰν υἱὸς ἀμνημόνευτος καταλειφθῇ, ἀνατρέπεται ἡ διαθήκη καὶ ἐξ ἀδιαθέτου ἔρχεται. ὡς βι. λζ' τί. α' διγ. ια'.[24]

κδ'. Ἐάν τις δευτέραν ποιήσας διαθήκην σχίσῃ αὐτὴν ἵνα ἐκ τούτου ἡ προτέρα βεβαιοῦται εἴη[25] ἡ πρώτη. ση. ἀπὸ ψιλῆς διαθέσεως διαθήκη οὐκ ἰσχυροποιεῖται.[26]

κε'. Κἂν ἀγνοῆται ὁ παῖς ῥούπταν ποιεῖ τὴν διαθήκην μηδὲ κληρονόμος γραφόμενος μηδὲ ἀπόκληρος. τὰς δὲ ἐλευθερίας ἐὰν ἐπὶ πενταετίαν κρατήσωσι καὶ τότε κινήσει κατὰ τῆς διαθήκης,· οὐκ ἀνατρέπει αὐτάς. ὡς βι. μ' τί. δ' διγ. κϑ'.[27] — σχόλ. λαμβάνει δὲ ὁ κληρονόμος ἀνὰ κ' νομισμάτων ὑπὲρ τοῦ τιμήματος αὐτῶν.

κϛ'. Ἀπὸ ῥούπτας διαθήκης οὐ διρέκτα οὐδὲ φιδικομισσαρία ἐλευθερία δίδοται, εἰ μὴ ἄρα κελεύσει ὁ τεστάτωρ καὶ ἐξ ἀδιαθέτου ἢ ἐν κωδικέλλῳ κρατεῖν αὐτάς, ὡς βι. μ' τί. ε' διγ. κδ'.[28]

κζ'. Ἐὰν τὸν ἐμαγκιπάτον μου υἱὸν λάβω εἰς θέσιν ἤδη ποιήσας διαθήκην, τὰ φυσικὰ δίκαια πλέον ἐπ' αὐτῷ ἰσχύει τῶν τῆς θέσεως. ἡ διαθήκη οὐ ῥήγνυται ὡς ἐξ ἀρχῆς μείναντος αὐτοῦ ἐπὶ τῆς φύσεως. — ση. οὐ δύναται γὰρ τῇ εἰκόνι τῆς θέσεως ἡ ἀλήθεια τῆς φύσεως σκέπεσθαι, ὡς βι. κη' τί. β' διγ. ϛ'.[29]

κη'. Ἐν ταῖς περὶ τῶν διαθηκῶν ζητήσεσιν οὐ χρὴ πρὸς τοὺς ἀκριβεῖς ὅρους τῶν ὀνομάτων ἡμᾶς καταγίνεσθαι, ἐπειδὴ

---

[19] Dig. 44, 4, 13. Itaque legendum βι. μδ' τί. δ'. [20] Dig. 35, 1, 83. [21] Dig. 28, 1, 29 § 1. [22] Dig. 28, 3, 6 § 11. [23] F λδ'. [24]. Haec allegatio potius ad § sequentem pertinere videtur, si τί. ια' legeris. [25] ἰσχύει?

[26] F addit ὡς βι. μ' τί. ε' διγ. κα'. Dig. 37, 11, 11 § 2. [27] Dig. 47 pr. [28] Scil. § 11. — Caeterum F διγ. κα', G διγ. μ'. [29] F βι. κβ' τί. δ' διγ. α'. Sed est Dig. 28, 2, 23, pr.

ὡς ἐπὶ τὸ πλεῖστον οἱ διατιθέμενοι καταχρηστικῶς διαλέγουσι καὶ οὐ κυριολεκτοῦσιν, ὡς βι. λβ' τί. ζ'[30] διγ. ξη'.[31]

κθ'. Οὐκ ἄλλως δὲ τῆς σημασίας τῶν λέξεων τοῦ διατιθεμένου ἀναχωρεῖν ἡμᾶς, εἰ μὴ ὅτε πρόδηλόν ἐστιν ὡς ἕτερόν τι διενοήθη.[32]

λ'. Τὰ μετὰ τὴν συμπλήρωσιν τῆς διαθήκης ἐγγραφόμενα αὐτῇ οὐκ ἔῤῥωται, ὡς βι. η' τί. ε' διγ. ια'.[33]

λα'. Τὸ ὑπερτιθέναι τὴν ἄνοιξιν τῆς διαθήκης οὐ καταβλάπτει τὸν κληρονόμον.[34] ἡ τῆς δεκαετίας παραδρομὴ[35] εἰ μὴ ἄρα τελείας γενομένης ἐγγράφου ἢ ἀγράφου ἐναντίαν γνώμην τοῦ διατιθεμένου δηλούσης ἐπὶ ζ' ἢ ε' μαρτύρων.[36] ὡς βι. κη' τί. ε' διγ. [γ'].

λβ'. Ἐάν τις οὐ κατὰ φόβον ἐγκλήματος ἀλλὰ διὰ τὸ μισεῖν τὴν ἰδίαν ζωὴν ἢ διὰ τὸ μὴ φέρειν τὸν ἐπικείμενον αὐτῷ πόνον ἀνέλῃ ἑαυτὸν, καλῶς ἀνοίγεται καὶ ἀναγινώσκεται ἡ τούτου διαθήκη, ὡς βι. κθ' τί. ε' διγ. [α'].[37]

λγ'. Ὁ ἐπιμείνας μέχρι ἀποφάσεως κινῶν τὸ πλαστὸν κατὰ τῆς διαθήκης καὶ ἡττηθεὶς οὐδὲν ἐξ αὐτῆς λαμβάνει, ἀλλ' εἰς τον φίσκον ἔρχονται τὰ καταλελειμμένα, ὡς βι. ς' τί. λε' διατ. γ'[38] τοῦ κώδ.

λδ'. Εἰ δὲ κινήσας ἀπέστη πρὸ τῆς ψήφου, οὐδὲν ζημιοῦται, ὡς βι. δ' τί. νβ' ζ' τοῦ κώδ.

λε'. Τῆς διαθήκης εἰς μέρος ἀνατρεπομένης ἐκ τῆς δινοφφικιόσο ἰσχύουσιν αἱ ἐν αὐτῇ ἐλευθερίαι καὶ τὰ ληγάτα, ὡς βι. λζ' τί. ζ' διγ. ς'. — ση. τὰ μεταξὺ ἄλλων κρινόμενα ἄλλους οὐ καταβλάπτει.

λς'. Ὁ λαβὼν ληγάτον ἐν διαθήκῃ οὐ δύναται δινοφφικιόσο κατ' αὐτῆς κινεῖν ὅτι ἠσπάσατο τὴν τοῦ πατρὸς βούλησιν. ὁ δὲ ἀγνοήσας δύναται ὡς πλαστῆς αὐτῆς κατηγορῆσαι.[39]

λζ'. Ὁ ἐναγόμενος τῇ δινοφφικιόσο κληρονόμος καὶ ἡττώμενος οὐκ ἐκπίπτει τοῦ εἶναι κληρονόμος.

λη'. Ἐὰν ὑπὸ αἵρεσιν γραφῇ κληρονόμος ὁ κυοφορούμενος, καὶ πρὶν ἢ τεχθῇ ἐξέλθῃ ἡ αἵρεσις, οὐ ῥήγνυται ἡ διαθήκη τῇ ἐπιγεννήσει αὐτοῦ.[40]

---

[30] Lege τί. α'. [31] Nobis dig. 69 § 1. [32] Dig. 32, 69 pr. [33] Dig. 30, 14 § 1. [34] Dig. 28, 5, 3 § 4. [35] Lege Μὴ ἀναιρείσθω τῇ τῆς δεκ. παραδρομῇ ἡ διαθήκη. [36] Cod. 6, 23, 27. [37] Scil. § 23. [38] Lege η'. [39] Dig. 5, 2, 10 § 1. 34, 9, 5 pr. § 1. Cod. 9, 22, 3. [40] Dig. 28, 2, 22.

λθ'. *Καὶ κατὰ διαθήκης θετῶν πατέρων κινεῖται δινοφφικιόσο τουτέστιν μέμψις, εἰ μὴ διελύθη τῇ ἐμαγκιπατίονι τοῦ παιδὸς τουτέστι τῇ αὐτεξουσιότητι. καὶ ὁ διαλυσάμενος περὶ τῆς δινοφφικιόσο δύναται ὡς πλαστῆς κατηγορῆσαι αὐτῆς.*[41]

μ'. *Εἴσω μὲν ε' ἐνιαυτῶν κινουμένης τῆς δινοφφικιόσο καὶ κρατούσης οὐκ ἰσχύουσιν αἱ διδόμεναι ἐν τῇ διαθήκῃ ἐλευθερίαι, μετὰ δὲ ε' ἐνιαυτοὺς κινουμένης αὐτῆς καὶ ἀνατρεπούσης τὴν διαθήκην ἁρμόσει μὲν ἑκάστῳ οἰκέτῃ ἡ ἐλευθερία, ἀπαιτοῦνται δὲ ἀνὰ κ' νομισμάτων παρασχεῖν τῷ νενικηκότι.*[42] *ὡς βι. κα' τί. δ' διγ. νθ'.*[43] — *ση. τῶν ἐν διαθήκῃ ἐλευθερουμένων τὰ πεκούλια τῷ κληρονόμῳ διαφέρουσιν.*[44]

μα'. *Ἐάν ὁ κληρονόμος δοῦλον ἐλεύθερον ἀποκαλέσῃ, ανατραπῇ δὲ μετὰ ταῦτα ἡ διαθήκη ἐκ τῆς δινοφφικιόσο, κ' νομίσματα ἀπαιτεῖται ὁ οἰκέτης ὑπὲρ τοῦ ἰδίου τιμήματος, ὡς βι. μ' τί. δ' διγ. κθ'.*[45]

μβ'. *Ὁ τικτόμενος ὑπεξούσιος κἂν ἀτελὴς ᾖ, ἀναπνέων μέντοι, καὶ ὁ ἐξ ἀνατομίας ῥήσσει τὴν διαθήκην. ὁμοίως καὶ ὁ τῷ ἑτέρῳ καιρῷ τεχθείς.*[46]

μγ'. *Ἐὰν ὁ κυοφορούμενος ἀμνημόνευτος ἐαθῇ ἐν διαθήκῃ, καὶ τεχθῇ μὲν φωνὴν δὲ μὴ ἀφήσῃ, εἰ ὅλως τελείως γεννηθῇ ζῶν, κἂν ἅμα τῷ πεσεῖν ἐν τῷ ἐδάφει ἐτελεύτησεν ἢ ἐν ταῖς χερσὶ τῆς ἰατρίνης, ῥήγνυσι τὴν διαθήκην.*[47]

μδ'. *Ἐάν τις ἀπὸ χριστιανῶν ἢ ἰουδαῖος ἢ ἕλλην γένηται, ἔξεστι περισκοπεῖν καὶ ἀντιψηλαφᾶν τὴν τούτου διαθήκην καὶ μετὰ τὴν τελευτὴν αὐτοῦ εἴσω ε' ἐνιαυτῶν. οὗτος γὰρ ὁ χρόνος δινοφφικιόσῳ ὥρισται, καὶ ἐὰν ἐλεγχθῇ ἡ τούτου αἵρεσις, ἀνατρέπεται ἡ διαθήκη αὐτοῦ, ὡς βι. α' τί. ζ' διατ. β'.*[48]

---

[41] Cod. 3, 28, 14. [42] Dig. 5, 2, 8 § 17 et dig. 9. [43] Forte legendum *βι. μ' τί. δ' διγ. κθ'.* [44] F addit *Ἐὰν γράψω σε κληρονόμον καὶ ἔχθραν κτήσωμαι πρός σε βαρυτάτην, καὶ ἄλλην διαθήκην ἄρξομαι καὶ [μὴ] πληρώσω αὐτὴν, οὐκ ἐκπίπτεις τοῦ κλήρου. βι. λδ' τί. δ' διγ. κβ'. ἔχει δὲ βι. μδ' τί. δ' διγ. δ'* (§ 10), *ὅτι ὁ μὴ ἔχων γνώμην τοῦ τεστάτορος ἐκβάλλεται τοῦ κλήρου.* — *Ἐπὶ τῆς δινοφφικιόσο τὸ τέταρτον μέρος τῆς πάσης οὐσίας τοῦ τελευτῶντος γνωρίζεται μετὰ τὰ χρέα καὶ τὰ δαπανήματα τοῦ θανάτου ἤτοι τῆς ταφῆς ἀλλ' οὐ μὴν ἀλλὰ καὶ μετὰ τὸ ἐλευθερωθῆναι. αἱ γὰρ ἐλευθερίαι μειοῦσι τὸν φαλκίδιον βι. α' τί. α' διγ. η'* (Dig. 5, 2, 8 § 9). — *Ὅτι κινεῖ δινοφφικιόσο ὁ σιδήρῳ τμηθεὶς καὶ ἐκβληθεὶς τῆς μητρᾴας αὐτοῦ.* (Dig. 5, 2, 6 pr.). [45] G *κα'*, F *κδ'*. — Dig. 5, 2, 8 § 17 et dig. 9. [46] Dig. 28, 2, 12. [47] Cod. 6, 29, 3. [48] F addit *Εἴρηται δὲ ἐν τῷ γ' βι. ἰνστ. ζ' ὅτι οἱ ἀπελεύθεροι οὐχ ἧττονα ἔχοντες περιουσίαν τῶν ρ' νομισμάτων, μηδεμία χώρα διδόσθω τῷ πάτρωνι εἰς τὸ κληρονομῆσαι*

ΤΙΤΛΟΣ λα΄.

Περὶ διαθήκης ἀπελευθέρων καὶ περὶ προνομίων πατρώνων καὶ περὶ διακατοχῶν.

α΄. Ἡ συγγένεια ὄνομά ἐστι γενικὸν, διαιρεῖται δὲ εἰς ἀνιόντας καὶ εἰς κατιόντας καὶ εἰς τοὺς ἐκ πλαγίου. ἀλλ' αὗται αἱ τρεῖς συγγένειαι ἐπὶ τῶν εὐγενῶν σκοποῦνται· ἐπὶ δὲ τῶν ἀπελευθέρων ἀνιόντας οὐκ ἴσασιν οἱ παλαιοὶ (πῶς γὰρ ὁπότε ἐν δουλείᾳ ἐτέχθησαν;) οὔτε τοὺς ἐκ πλαγίου· ὁ γὰρ μὴ ἔχων ἀνιόντας οὔτε τοὺς ἐκ πλαγίου κέκτηται· ἐξ ἐκείνων γὰρ οὗτοι καταλαμβάνονται. μόνην γὰρ ἔχουσι τὴν τῶν κατιόντων συγγένειαν τουτέστι τῶν συλληφθέντων καὶ τεχθέντων αὐτοῖς παίδων καὶ ἐγγόνων καὶ ἐφεξῆς. ὅθεν ἐὰν ἀπελεύθερος ἀδιάθετος τελευτήσῃ, εἰ μὲν ὕπεστιν αὐτῷ παῖς συλληφθεὶς ἢ μετὰ τὴν ἐλευθερίαν ἢ πρὸ τῆς ἐλευθερίας ὁ καὶ συνελευθερωθεὶς αὐτῷ ἢ προελευθερωθεὶς ἢ καὶ μετὰ τὸ ἐλευθερωθῆναι αὐτὸν ἐλευθερωθεὶς, οὗτος κληθήσεται ἐπὶ τὸν κλῆρον. τούτου δὲ μὴ ὑπόντος τὸν πάτρωνα ὁ νόμος ὑπενόησεν. εἰ δὲ διαθέμενος μηδὲν καταλιπὼν τῷ πάτρωνι ἄπαις ὢν, ἢ ἔχων παῖδας ἢ ἐγγόνους, ἀποκλήρους δὲ αὐτοὺς ποιήσας ἐτελεύτησε, καὶ μὴ δυνηθῶσιν οὗτοι οἱ παῖδες ἀνατρέψαι τὴν διαθήκην, τότε ὁ πάτρων τὸ γ΄ μέρος λήψεται τῆς ὅλης περιουσίας, ὥστε ληγάτον ἐκ τούτου μὴ ἀναγκάζεσθαι αὐτὸν καταβαλεῖν.[1]

β΄. Οὐ μόνον δὲ ὁ πάτρων καὶ ἡ πατρώνισσα καὶ οἱ τούτων κατὰ νόμους καλοῦνται ἐπὶ τὴν τοῦ ἀπελευθέρου κατὰ τὰ εἰρημένα κληρονομίαν, ἀλλὰ καὶ οἱ ἐκ πλαγίου αὐτῶν μέχρι πέμπτου βαθμοῦ.

γ΄. Εἰ δὲ τοῦ αὐτοῦ πάτρωνος ἢ τῆς πατρωνίσσης ἢ δύο πατρώνων ἢ πατρωνισσῶν ἢ καὶ πλειόνων ὕπεισι παῖδες, ὁ ἐγγύτερος τῷ βαθμῷ εἰς τὰ τοῦ ἀπελευθέρου κληθήσεται πράγματα.

δ΄. Εἰ δὲ ἑνὸς πάτρωνός εἰσι δύο παῖδες, ἄλλου δὲ τρεῖς,

διαθήκης ὑποκειμένης. εἰ γὰρ ἀδιάθετος τελευτήσει παῖδας μὴ καταλιπὼν ὁ ἀπελεύθερος ἢ ἡ ἀπελευθέρα, ἐχέτω τηνικαῦτα ὁ πάτρων τὴν ὁλοκληρίαν. εἰ δὲ παῖδας κατέλειψεν, οὐ λήψονται οἱ πάτρωνες πλέον τοῦ τετραουγκίου ἐκ τῆς οὐσίας αὐτοῦ, καὶ τότε ἐὰν ὑπερβαίνῃ ἡ οὐσία τῶν ρ΄ νομισμάτων. ὡς βι. ϛ΄ τοῦ κώδ. τί. να΄. — Videsis tit. 31 § 5. [1] §§ α΄—δ΄ sumtae sunt ex Proch. 11, 23.

εἰς ε΄ μερισθήσεται ἡ κληρονομία. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἐκ πλαγίου.

ε΄. Εἴρηται δὲ ἐν τῷ γ΄ βι. ἰνστ. ζ΄,[2] ὅτι οἱ ἀπελεύθεροι ἥττονα ἔχοντες περιουσίαν τῶν ρ΄ νομισμάτων μηδεμία χώρα τῷ πάτρωνι διδόσθω εἰς τὸ κληρονομῆσαι διαθήκης ὑποκειμένης. εἰ γὰρ ἀδιάθετος τελευτήσειεν παῖδας μὴ καταλιπὼν ὁ ἀπελεύθερος ἢ ἡ ἀπελευθέρα, ἐχέτω τηνικαῦτα ὁ πάτρων τὴν ὁλοκληρίαν.

ϛ΄. Εἰ δὲ παῖδας ἔχοι καὶ διάθηται τὰ κατ᾽ αὐτῶν, οὐκ ἀναγκάζεταί τι καταλιπεῖν τοῖς ἰδίοις πάτρωσιν ὁ ἀπελεύθερος. εἰ δὲ μὴ διάθηται εἰς τοὺς παῖδας αὐτοῦ, ἀλλ᾽ εἰς τοὺς ἐξωτικούς, τότε ὀφείλει ἐάσαι τοῖς πάτρωσιν αὐτοῦ τὸ νόμιμον αὐτοῖς μέρος, ὡς βι. ϛ΄ τί. ιγ΄ διατ. α΄ τοῦ κώδ.[3]

ζ΄. Ἐὰν ὁ πάτρων γραφῇ κληρονόμος ὑπὸ τοῦ ἀπελευθέρου εἰς τὸ κεχρεωστημένον αὐτῷ τετραούγκιον καὶ βαρηθῇ φιδικομίσσοις καὶ ὁμολογήσῃ τοῖς φιδικομμισσαρίοις διδόναι τὰ καταλειφθέντα, οὐκ ἔῤῥωται ἡ ἐπερώτησις, ἵνα μὴ μειωθῇ τὸ ἀπὸ τοῦ νόμου κεχρεωστημένον τῷ πάτρωνι, διὰ τὸν κανόνα τὸν λέγοντα· τὸ ἀπὸ τοῦ νόμου διδόμενον ἰδιώτης ἀφελέσθαι οὐ δύναται.[4]

η΄. Εἰ δὲ καὶ μείζων εἴη τῶν ρ΄ νομισμάτων ἡ περιουσία τοῦ ἀπελευθέρου ἢ τῆς ἀπελευθέρας καὶ μὴ δυνηθῶσιν οἱ τούτων παῖδες διὰ τῆς δινοφφικιόσο τὴν διαθήκην ἀνατρέψαι, τότε ἐκ τῆς τοῦ θειοτάτου Ἰουστινιανοῦ διατάξεως τοῖς πάτρωσι καὶ ταῖς πατρωνίσσαις διδομένης τῆς κόντρα ταβούλας οὐ τὸ ἥμισυ ὥσπερ τὸ παλαιὸν κατὰ τὸν Παπίου νόμον, ἀλλὰ τὸ γ΄ μέρος ἀποσπασθήσεται ἢ τὸ ἐλλεῖπον τοῦ τρίτου ἀναπληρωθήσεται, ὥστε ληγάτον ἢ φιδικόμισσον ἐκ τούτου μὴ ἀναγκάζεσθαι αὐτοὺς καταβαλεῖν οὐ μόνον ἐξωτικοῖς, ἀλλ᾽ οὐδὲ τοῖς παισὶ τοῦ ἀπελευθέρου ἢ τῆς ἀπελευθέρας. ἀλλ᾽ ὅπερ ἔτυχεν παρ᾽ αὐτῶν καταλειφθέν, ὁ συγκληρονόμος ἐπιγνώσεται τοῦτο.[5] — ση. ἡ τῶν ἀπελευθέρων ἡμῶν κληρονομία ὡς χρέος ἡμῖν ἁρμόζει. — σχολ. ὁ πάτρων οὐκ ἔχει τὴν κόντρα ταβούλας κατὰ τῆς διαθήκης τοῦ ἀπελευθέρου, ἐὰν τὰς δωρεὰς καὶ τὰς

---

[2] Theoph. l. l. § 3. [3] Cf. Theodori Cod. 6, 4, 4 in Bas. III p. 287. — F addit Ὁ πάτρων προσγράφων τὶ ἑαυτῷ ἐν τῇ διαθήκῃ τοῦ ἀπελευθέρου ἐκπίπτει τῆς κόντρα ταβούλας τουτέστι τῆς μέμψεως αὐτῆς, ὡς βι. μη΄ τί. ι΄ διγ. η΄ (dig. 6 § 3). [4] Dig. 39, 5, 20 pr. [5] Theoph. Inst. III, 7, 3.

ὀπέρας προέκρινε τῆς διακατοχῆς.[6] ὡς βι. ς' τί. γ' διατ. α'. ση. ὅτι πᾶς ἀπελεύθερος ἀναγκάζεται τας ἐπιτεθείσας αὐτῷ ὀπέρας διδόναι εἴτε δι' ἑαυτοῦ εἴτε δι' ἑτέρου προσώπου, καὶ οὐ δύναται συμφωνεῖν ὥστε τιμὴν ἀντ' αὐτῶν διδόναι. πλὴν ἡ . . διάτ. τοῦ παρόντος τί. λέγει καὶ διατίθεται εἰς αὐτὰς ὡς βούλεται καὶ καλῶς δίδωσιν ὁ ἀπελεύθερος μισθὸν ὑπὲρ τῶν ἑαυτοῦ ὀπερῶν.

θ'. Ἐὰν ἀπελεύθερος δημευθῇ, μένει ἔχων ὁ πάτρων κατὰ τῆς οὐσίας αὐτοῦ τὸ πατρωνικὸν δίκαιον. ὁμοίως καὶ οἱ παῖδες τῶν πατρωνισσῶν ἔχουσι κατὰ τοῖ δημευθέντος πατρωνικὸν δίκαιον.[7]

ι'. Ὁ ἀπελεύθερος ἔχων οὐσίαν ἧττονα τῶν ρ' νομισμάτων ὡς θέλει διατίθεται εἰς αὐτὴν, κἂν ἔχῃ κἂν μὴ ἔχῃ παῖδας. τὸ αὐτὸ καὶ ἐπὶ τοῖς ἐκ πλαγίου.[8]

ια'. Ὁ τοῦ πάτρωνος υἱὸς μὴ κληρονομῶν τὸν ἴδιον πατέρα ὡς ἀχάριστος οὐδὲ τοῖ ἐκείνου ἀπελευθέρου κληρονομίαν δέχεται.[9]

ιβ'. Πᾶσα διακατοχὴ ἐντὸς ἐνιαυτοῦ σβέννυται. δύναται δὲ καὶ ὁ υἱὸς ἀγνοοῦντος τοῦ πατρὸς αἰτῆσαι διακατοχὴν ἰδίῳ κινδύνῳ αὐτοῦ. ἐὰν δὲ ὁ πατὴρ μὴ ᾔτησεν, ὁ υἱὸς οὐ δύναται αἰτεῖν. καὶ πάλιν ἐὰν ἔδραμεν τὸν πατέρα ὁ χρόνος τῆς διακατοχῆς, αἰτεῖ ὁ υἱὸς καὶ προσπορίζει τῷ πατρὶ τὸν οὐσούφρουκτον τουτέστι τὴν χρῆσιν. εἰ δὲ ἠμέλησεν ὁ πατὴρ καὶ οὐκ ἐξήτησε τὴν διακατοχὴν τοῦ υἱοῦ ἣν εἶχεν ἐκ μητρικῆς κληρονομίας, οὐ προσπορίζει τῷ πατρὶ τὴν χρῆσιν, ἀλλ' ἑαυτῷ μόνῳ προσπορίζει, ἐὰν αὐτὸς ὁ υἱὸς διεξεδίκησε τὴν κληρονομίαν αὐτοῦ.[10]

ιγ'. Ὁ χρόνος τῶν διακατοχῶν τέλειός[11] ἐστι. καὶ ἐὰν ἐστι κατὰ φάκτου ἡ ἄγνοια αὐτοῦ, οὐ τρέχει ὁ χρόνος τῆς διακατοχῆς.[12] τὴν τοῦ νόμου ἄγνοιαν μηδὲ ταῖς γυναιξὶ συμβάλλεσθαι εἰς τὸν τοῦ διηνεκοῦς ἐδίκτου περὶ ἐπιγνώσεως διακατοχῆς [χρόνον], κατὰ τὸν κανόνα τὸν λέγοντα· ἡ τοῦ φάκτου ἄγνοια συγγινώσκεται, ἡ δὲ τοῦ νόμου ἄγνοια οὐ συγγινώσκεται.[13] — σχόλ. Ὁ μείζων τῶν ζ' ἐτῶν αὐτεξούσιος καὶ ἀδιτεύει καὶ διακατοχὴν αἰτεῖ συναινέσει τοῦ ἰδίου πατρὸς, ὡς βι. ς' τί. λ'[14] διατ. ιβ'.[15]

---

[6] Cod. 6, 13, 2. [7] Dig. 48, 20, 7 § 1 et et dig. 8. [8] Theod. Cod. 6, 4, 4 l. l. [9] Theod. Cod. l. l. [10] Cod. 6, 9, 1. [11] Imo οὐτίλιος. [12] Cod. 6, 9, 5. [13] Cod. 6, 9, 6. [14] V δ', F α'. [15] ιη'? F addit ση. πῶς ὁ υἱὸς ἦν αὐτεξούσιος; δηλονότι ἀπὸ τοῦ πάππου.

ιδ'. Καὶ ὁ περὶ φάκτον πεπλανημένος πρὸ ἀποφάσεως βοηθεῖται, μετὰ δὲ τὴν ἀπόφασιν οὐκέτι δύναται τὴν τοῦ φάκτου ἄγνοιαν προβάλλεσθαι.[16]

ιε'. Φανερὸς δέ ἐστιν ὁ τέλειος[17] χρόνος ἀνιοῦσι καὶ κατιοῦσιν. ἐπὶ δὲ τῶν ἐκ πλαγίου ἐντὸς ρ' ἡμερῶν διάστημα ἔχει εἰς τὸ κληρονομῆσαί τις τὸν ἀπελεύθερον αὐτοῦ. τοῦ δὲ φάκτου ἡ ἄγνοιά ἐστιν, ἐὰν ἠγνόει τὴν κληρονομίαν καὶ τὴν τελευτὴν τοῦ ἀπελευθέρου καὶ ἐκ πόσου μέρους ὤφειλε κληρονομεῖν, καὶ ἐν τούτῳ συγγινώσκεται.[18]

ιϛ'. Ἐὰν δὲ αἰτήσῃ ἄνηβος διακατοχὴν χωρὶς αὐθεντίας τοῦ ἐπιτρόπου, καταδέξασθαι οὐ δύναται.[19]

ιζ'. Ἐπὶ τῶν ἐξ ἀδιαθέτου διακατοχὴ οὐ τρέχει, οὔτε ἐπὶ τῶν ἀνηλίκων οὔτε ἐπὶ τῶν ὑπεξουσίων.

ιη'. Οὐδεὶς εὐχερῶς συγγινώσκεται νόμον ἀγνοῶν. ὅθεν ὁ μείζων τῶν κε' ἐνιαυτῶν καὶ ἀποταξάμενος τῇ ἰδίᾳ κληρονομίᾳ οὐδὲ ἀπὸ σάκρας δύναται αὐτὴν ἀναλαμβάνειν, κἂν ὡς μητρῴαν αὐτὴν ἐπιζητῇ.[20] — ση. Διακατοχὴ μὴ αἰτηθεῖσα εἰς κληρονόμους οὐ παραπέμπεται.[21]

ιθ'. Σήμερον οὐ χρεία τῆς αἰτήσεως τῶν διακατοχῶν. καὶ ἐκτὸς γὰρ τοῦ αἰτεῖν διακατοχὴν ἀπαιτεῖ ἕκαστος τὴν αὐτοῦ κληρονομίαν, δηλονότι ἐντὸς ὡρισμένου χρόνου, ὡς βι. ϛ' τί. διατ. η' τοῦ κώδ.[22]

κ'. Περὶ ἀγαθῆς διακατοχῆς ἀπὸ διαθήκης. βι. λε' τί. ιζ'.[23] — Οὐκ ἐκ πάσης διαθήκης δίδοται ἡ διαθήκης βοήθεια, ἀλλ' ἐκ τῆς ὑστέρας μεθ' ἣν ἄλλη οὐ γέγραπται. — Ἐὰν ἀπὸ μυῶν ἢ παλαιότητος μέρος τῆς διαθήκης κοπῇ, δοκεῖ ἐσφραγίσθαι, μάλιστα ἐὰν τρίτον ἢ τέταρτον εἵλητο περὶ τὴν διαθήκην ὁ λίνος καὶ τὸ ἓν μέρος ἐῤῥάγη. — Πρώτη ἐστὶ διακατοχὴ ἡ κατὰ τῆς διαθήκης ἐναντίωσις. καὶ ὅτε πληρωθῇ ὁ χρόνος αὐτῆς ἢ προτελευτήσωσιν οἱ παῖδες ἢ ἀπείπωσιν ἢ ἀπολέσωσιν τὸ δίκαιον τοῦ αἰτῆσαι, δίδοται ἡ ἐκ διαθήκης

---

[16] Cod. 1, 18, 7. [17] Ἀννάλιος — ὁ οὐτίλιος? [18] Cod. 6, 9, 2. 5. — F addit § Μεθ' ὃ μάθῃ τὶς, ὅτι κληρονόμος ἐστὶν, ἔχει ἐνιαυτὸν εἰς διάσκεψιν, καὶ ὁ ὑπολειφθεὶς χρόνος τῆς διασκέψεως καὶ ἐπὶ κληρονόμους τοῦ διασκεψαμένου παραπέμπεται. βι. ϛ' τοῦ κώδ. τί. λ' διατ. κε' (imo c. 19). [19] Cod. 6, 9, 7. [20] Cod. 1, 18, 2. [21] F addit ὡς βι. ζ' τί. α' διατ. β'. — Cod. 6, 9, 4. [22] Scil. Theodori. Cf. Bas. IV p. 58. [23] Scil. Basilicorum, ubi restituenda sunt quae sequuntur capita. — Haec et quae sequitur § additamentum ad Epitomen continere videntur. Argumento est quod Basilica citantur, et quod §§ illae in H et V desunt.

βοήθεια. — Εἴτε ἐν νέῳ χάρτῃ εἴτε ἐν ὀπισθογράφῳ γέγραπται ἡ διαθήκη, ἁρμόζει ἡ διακατοχή. ἀμφότερα γὰρ καλεῖται χάρτης. — Ἡ πλάνη τοῦ διαθεμένου περὶ τὸ ὄνομα ἢ τὸ ἐπώνυμον τοῦ κληρονόμου οὔτε τὴν κληρονομίαν οὔτε τὴν διακατοχὴν βλάπτει. ἐὰν δὲ κατὰ γνώμην αὐτοῦ χαραγῇ τὸ ὄνομα αὐτοῦ, κἂν ἀναγινώσκεσθαι δύναται, εἰς ἑκάτερον βλάπτεται.

κα΄. Περὶ διανεμήσεως καὶ περὶ βουλήσεως τῶν εἰς τοὺς παῖδας γενομένων. — Εἰ γὰρ διανέμοι τὶς τα οἰκεῖα πράγματα καὶ αὐτοὺς τοὺς οἰκείους παῖδας προσκαλεσάμενος ποιήσειεν ὑπογράψαι ταῖς νεμήσεσιν αὐταῖς καὶ κυρίας ταύτας ἡγήσασθαι, καὶ ὁμολογήσει ταῦτα κατὰ τοῦτον ἔχειν τὸν τρόπον, ἔστω καὶ τοῦτο κύριον ἐπὶ τοιαύτης πραγμάτων διαιρέσεως κατὰ τὴν ἡμετέραν διάταξιν ἣν περὶ τούτου τεθείκαμεν, ἣν ἐπὶ πᾶσιν τοῖς αὐτῇ περιεχομένοις κυρίαν εἶναι διὰ τοῦδε τοῦ νόμου θεσπίζομεν.[24]

ΤΙΤΛΟΣ λβ΄.

Περὶ φαλκιδίου καὶ ἀμέτρων δωρεῶν καὶ κωδικέλλων.

α΄.[1] Φαλκίδιός ἐστιν ἄχρι μὲν δ΄ παίδων τὸ γ΄ μέρος τῆς καθαρᾶς ὑποστάσεως, πλειόνων δὲ ὄντων παίδων τὸ ἥμισυ. ἐν τούτῳ οὖν τῷ εἰρημένῳ τρίτῳ ἢ ἡμίσει μέρει ὑπεισέρχονται ὅσοι ἂν ὁρισθῶσι φαλκίδιον μετὰ τῶν τὴν λοιπὴν ὑπόστασιν κατὰ τελευταίαν διάταξιν κληρονομούντων.[2]

β΄. Ἐπὶ τοῦ φαλκιδίου δεῖ ἐξαιρεθῆναι τὰ ἐποφληθέντα ὑπὸ τοῦ τελευτήσαντος καὶ τὴν περὶ τὴν κηδείαν δαπάνην καὶ τὰ τιμήματα τῶν ἐλευθερωθέντων οἰκειῶν, καὶ λοιπὸν τὸ ὑπόλοιπον σκοπεῖται ὁπόσον ἐστί. τοῦτο γὰρ νομίζεται εἶναι καθαρὰ οὐσία καὶ ταύτης τὸ τρίτον παρακατέχεται.[3]

---

[24] Nov. CXXVI c. 3 (in vulgata 168 Novv. collectione Nov. 107).

[1] F praeponit § hanc: *Φαλκιδίου γνῶσις σύντομος. ὅτι ἐάν ἐστιν εἷς παῖς, λαμβάνει τὸ τρίτον τῆς καθαρᾶς ὑποστάσεως ὑπεξαιρουμένον τῶν χρεῶν τῆς ταφῆς τῆς κηδείας καὶ τῶν ἐλευθεριῶν. εἰ δὲ δύο εἰσὶ παῖδες, λαμβάνει ὁ φαλκιδιούμενος τὸ ἕκτον ἤγουν τοῦ τρίτου τὸ ἥμισυ· εἰ δὲ τρεῖς, τὸ ἔννατον· εἰ δὲ τέσσαρες, τὸ δωδέκατον. ἀπὸ δὲ τῶν πέντε ὅσοι ἂν ὦσι παῖδες ἐκ τοῦ ἡμίσεως τῆς ὑποστάσεως μίαν μόνην μοῖραν λαμβάνει ὁ φαλκιδιούμενος.* [2] Proch. 32, 1. V addit Proch. 32, 2. [3] Proch. 32, 3 ex Theoph. Inst. 2, 22, 3.

γ'. Ὁ κυοφορούμενος ἀντὶ τεχθέντος ἐστὶν ἐν οἷς ἑαυτὸν καὶ οὐχ ἕτερον ὠφελεῖ. ἀμέλει τοῦ πατρὸς αὐτοῦ δημευομένου λαμβάνει μέρος τῆς οὐσίας ἤγουν τὸ τρίτον. εἰς δέ τινα ἕτερον οὐ συμβάλλεται καὶ ἀντὶ τεχθέντος οὐ παραλαμβάνεται. οὐδὲ γὰρ συμβάλλεται εἰς ἐξκουσατίονα τῷ φύσαντι ὁ κυοφορούμενος. ὡς βι. α' τί. ε' διγ. ζ'.

δ'. Ὅθεν τὸ ἐξ ἀδιαθέτου νόμιμον μέρος οὐ μειοῦται οὔτε κατα χρῆσιν οὔτε κατὰ δεσποτείαν, ἀλλὰ καὶ κατὰ χρῆσιν καὶ κατὰ δεσποτείαν ὀφείλει δίδοσθαι,[4] *ἐπειδὴ κανών ἐστιν ὁ λέγων· τὸ παρὰ τοῦ νόμου διδόμενον ἰδιώτης ἀφελέσθαι οὐ δύναται. — ση. ὅτι πᾶς ἄνθρωπος πρὸς τὸν νόμον ἰδιώτης ἐστὶ χωρὶς βασιλέως.*

ε'. Τὰ ὑπὲρ φαλκίδιον καταλειφθέντα[5] *οὐ ῥεπετιτεύεται τουτέστιν οὐκ ἀνατρέπεται, ὡς βι. λθ' τί. ε' διγ. ιγ', διὰ τὸν κανόνα τὸν λέγοντα· ὁ ἀγνοίᾳ τοῦ φαλκιδίου πλείονα καταβαλὼν οὐ ῥεπετιτεύει. — ση. καὶ πάλιν ὁ κληρονόμος φάκτον ἀγνοήσας οὐκ ἐχρήσατο τῷ φαλκιδίῳ καὶ διὰ τοῦτο πλέον κατέβαλε, ῥεπετιτεύει τουτέστιν ἀναστρέφει.*[6] *— μὴ δέξῃ ἐναντία τὰ νόμιμα. οὗτος ἀγνοήσας τὸν φαλκίδιον κατέβαλε τὸ πᾶν, ἐκεῖνος δὲ οὐχ οὕτως, ἀλλὰ πλέον τοῦ φαλκιδίου ἐχρήσατο καὶ διὰ τοῦτο οὐκ ἀναστρέφει.*[7]

ς'. Κανών ἐστιν ὁ λέγων· ὅσα ἀπὸ ὑπερθέσεως κερδαίνει ὁ κληρονόμος ψηφίζονται εἰς τὸν φαλκίδιον.[8] *καρποὶ οὓς εὗρε πεπείρους ὁ κληρονόμος αὔξουσι τὸν κλῆρον ἐν τῷ φαλκιδίῳ, οὐ μὴν τὸ ἐν τῇ γαστρὶ τῆς δούλης· τὸ γὰρ μήπω τεχθὲν οὐ νοεῖται ἄνθρωπος.*[9] *— ση. οἱ μέντοι ἐν μέσῳ καρποὶ μειοῦσι τὸ χρέος· τῆς γὰρ ἐν καιρῷ τελευτῆς οὐσίας χρεωστοῦμεν τὸ τρίτον. καὶ ἀπὸ παντὸς προσώπου καὶ πράγματος κρατεῖ ὁ φαλκίδιος χωρὶς δανειστοῦ.*

ζ'. Ὁ κληρονόμος τότε ποιεῖν ὑπέρθεσιν δοκεῖ καὶ τότε καταδικάζεται τόκον ἀπαιτεῖσθαι τοῦ ληγάτου, ὅτε μετὰ τὴν ψῆφον καὶ τὸν τετραμηνιαῖον χρόνον ὑπέρθεσιν ἐποίησεν. εἰ δὲ ἐτρακτάϊσε μήποτε ὁ φαλκίδιος χώραν σχῇ, οὐκ ἔδοξεν ὑπέρθεσιν ποιεῖν.[10]

η'. Ἐὰν ὁ κληρονόμος μὴ καταβάλῃ τὸ προστεταγμένον

---

[4] Theod. Nov. 18 § 3. [5] *καταβληθέντα*? [6] F addit *βι. λε' τί. β' διγ.* [7] Cf. Dig. 22, 6, 9 § 5. 39, 5, 20 § 1. Cod. 6, 50, 1. 9. [8] Cf. Bas. IV p. 143 schol. 2. [9] Dig. 35, 2, 9 ex Cyrilli summa. Bas. IV p. 95 not. i. [10] Dig. 22, 1, 3 pr.

αὐτῷ ὑπὸ τοῦ τεστάτορος ἐντὸς ἐνιαυτοῦ ψηφιζομένου μετὰ τὴν ὑπόμνησιν τὴν δικαστικὴν, ἐκπίπτει τῆς κληρονομίας.[11] ταῦτα μὲν περὶ κληρονομίας νεαρᾷ α', τὰ δὲ ληγάτα τετράμηνον.

θ'. Τὸ ἀννάλιον ληγάτον ὑπόκειται φαλκιδίῳ, κἂν πρώτῳ ἢ δευτέρῳ ἔτει ἀνυπερθέτως καταβληθῇ. ὃ γὰρ χρεωστεῖ ὁ τεστάτωρ παρακρατῶ, κἂν ἠξιώθην τὰ ἐμὰ πράγματα ἀποκαταστῆσαι.[12]

ι'. Ἐὰν μετὰ τοῦ δούλου μου γραφῶ κληρονόμος, ὃ προσπορίζεταί μοι [οὐ] λογίζεταί μοι εἰς φαλκίδιον. καὶ ἐὰν τῷ δούλῳ μου δοῦλος ληγατευθῇ κἀμοὶ ι' νομίσματα, οὐ παρακρατεῖται φαλκίδιος τῷ ληγατευθέντι δούλῳ.[13]

ια'. Ἐὰν ἐγὼ καὶ ὁ υἱός μου γραφῶμεν κληρονόμοι, ὁ προσπορίζει μοι λογίζεταί μοι εἰς φαλκίδιον.[14]

ιβ'. Θάνατος δούλων ἢ ἄλλων ζώων τὸν κληρονόμον ὁρᾷ μὴ παρ' αἰτίαν τοῦ ληγαταρίου συμβὰς, καὶ τὸ κέρδος τὸν κληρονόμον ὁρᾷ, οἷον καρποὶ, τοκετός.[15]

ιγ'. Ὁ φαλκίδιον θέλων παρακρατεῖν ποιείτω καταγραφὴν ἐμπροθέσμως ἐντὸς γ' μηνῶν παρόντων ληγαταρίων ἢ δανειστῶν ἢ καὶ εἰ μὴ εἰσὶν οὗτοι παρόντων γ' μαρτύρων ἀξιοπίστων. ἐὰν γὰρ παρόντες οἱ ληγατάριοι μὴ βουληθῶσι παραγενέσθαι ἐπὶ τῇ ποιήσει τοῦ ἰμβέντου, ἀρκοῦσιν οἱ εἰρημένοι μάρτυρες.[16]

ιδ'. Τὸ δωρηθὲν γυναικὶ παρὰ ἀνδρὸς οὐ λογίζεται τῷ κληρονόμῳ αὐτῆς εἰς τὸ δ'. καὶ γὰρ ἀπαιτεῖται τὸ σωζόμενον ἐξ αὐτοῦ καὶ εἴ τι αὐτὸς ἐμείωσεν. οἱ καρποὶ τῶν ὑπὸ αἵρεσιν ληγατευθέντων λογίζονται εἰς τὸ δ'. ὡς βι. λε' τί. β' διγ. κ'.[17]

ιε'. Ὁ ἀξιωθεὶς ἀποκαταστῆσαί τινι τὴν ἑαυτοῦ κληρονομίαν φυλάττειν ὀφείλει τοῖς ἰδίοις παισὶ τὸ νόμιμον καθὼς

---

[11] Theod. Nov. 1 § 8. — V addit: *Δεῖ σημειώσασθαι τὸν ἀναγινώσκοντα τοῦτο τὸ κεφάλαιον τὸν προσδιορισμὸν τούτου τοῦ χρόνου τοῦ παρασυρμοῦ τοῦ πληροῦντος τὸν κληρονόμον τὴν διατύπωσιν τοῦ τελευτήσαντος, ὡς ἐνιαύσιον αὐτὸν ὁρίζει ὁ νόμος, ἀλλ' οὐχὶ μετὰ τὴν τελευτὴν ἀπαριθμεῖ τοὺς ιβ' μῆνας, ἀλλὰ καὶ μετὰ τὸ ἐγκληθῆναι αὐτὸν ὑπὸ τοῦ νομοθέτου καὶ κριθῆναι πληρῶσαι τὰ διατεταγμένα. ἡμεῖς δὲ κελεύομεν, ἀπὸ τῆς τελευτῆς τοῦ διατιθεμένου τὸν ἐνιαύσιον χρόνον τηρεῖσθαι.* [12] Dig. 35, 2, 15 § 2. 3 (Cyrilli). F addit *βι. λε' τί. β' διγ. δ'.* [13] Dig. 35, 2, 21 § 1 (Cyrilli). [14] Dig. 35, 2, 25 pr. (Cyrilli). [15] Dig. 35, 2, 30 pr. (Cyrilli). [16] Theod. Nov. 1 § 4. [17] dig. 15 § 5. 6 (Cyrilli). — F addit: *Ὀφείλεις δὲ εἰδέναι καὶ τοῦτο, ὅτι μετὰ τὴν προῖκα καὶ τὰ ἕδνα τρακταΐζεται ὁ φαλκίδιος.*

ἀνωτέρω εἴρηται, καὶ ὑπεξαίρειν ἐξ αὐτῆς τὰ γαμικὰ συναλλάγματα καὶ ἃ χρεωστεῖ ἀπὸ προγάμου δωρεᾶς ἢ ἀπὸ προικός.[18] ἀλλὰ καὶ τὰς μόρτις καῦσα δωρεὰς μειοῖ ὁ φαλκίδιος.[19].

ιϛ΄. Ὁ γραφεὶς κληρονόμος καὶ κελευσθεὶς ἀρκεσθῆναι ῥητοῖς πράγμασιν ἀναπληροῦται τὸ λοιπὸν τοῦ φαλκιδίου, ἐὰν οὐκ ἐπαρκῶσιν αὐτῷ τὰ ἐαθέντα πρὸς τετραούγκιον.[20] — σχολ. ὁ ἀποκαθιστῶν κληρονομίαν ὀφείλει ἔχειν τὸν φαλκίδιον. κἂν γὰρ ἐαθῇ αὐτῷ ῥητὸν πρᾶγμα παρὰ τοῦ τεστάτορος καὶ οὐκ ἀναλογεῖ πρὸς φαλκίδιον, λαμβάνει τὸ λεῖπον. ὡς βι. γ΄ τί. λϛ΄ διατ. κδ΄ τοῦ κώδ.[21] — ση. ὁ πατὴρ ἀναγκάζεται εἰς τὴν νόμιμον μοῖραν ἐνιστᾶν τοὺς αὐτοῦ κληρονόμους, εἰ μὴ ἄρα ἀχάριστοι ὀφθῶσι. τοὺς γὰρ ἀχαρίστους καλῶς καταλιμπάνει ἀκληρονομήτους, προστιθέμενος μέντοιγε ἐν τῇ ἰδίᾳ διαθήκῃ τὰς αὐτῶν ἀχαριστίας. ὀφείλει δεῖξαι ὁ κληρονόμος αὐτοῦ ὅτι ἀχάριστοί εἰσιν οἱ παραλειφθέντες.[22]

ιζ΄. Ὁ λαμβάνων ἀργύρια ἐπὶ τὸ παραιτεῖσθαι τὴν κληρονομίαν αὐτὸς ἀπαιτεῖται τὰ ἐν τῇ διαθήκῃ καταλελειμμένα ληγάτα καὶ φιδικόμισσα.[23] δύναται δὲ παρακρατῆσαι φαλκίδιον, εἰ μὴ στρατιώτης ὁ διαθέμενος. ὡς βι. μθ΄ τί. β΄ διγ. ζ΄.[24]

ιη΄. Ὁ φαλκίδιος ἐλευθερίας οὐ κόπτει οὐδὲ χρέη. μετὰ δὲ τὸν φαλκίδιον δίδοται τὰ ληγάτα.[25] ὁ φαλκίδιος τὴν ἐν καιρῷ θανάτου οὐσίαν τοῦ τεστάτορας περιεργάζεται.[26] ὁ φαλκίδιος οὐ περικόπτει τὸ ληγατευθὲν τῷ δούλῳ.

ιθ΄. Ἐὰν ἀνὴρ τῇ γυναικὶ ἐν συνεστῶτι τῷ γάμῳ δωρήσηται καὶ ἐν διαθήκῃ βεβαιώσῃ τὴν δωρεάν, χώρα γίνεται τῷ φαλκιδίῳ.[27]

κ΄. Ἐὰν ληγάτον τινὶ καταλείψας ἀξιώσω αὐτὸν ἄλλῳ τοῦτο καταλεῖψαι ἢ ἀποκαταστῆσαι, οὐ παρακρατεῖ τὸν φαλκίδιον. καὶ ἐὰν ὑπεξουσίου γραφέντος κληρονόμου ὁ πατὴρ ἀξιώσῃ ἑτέρῳ τινὶ ἀποκαταστῆσαι τὴν κληρονομίαν, παρακρατεῖ φαλκίδιον ἐξ αὐτῆς. εἰ δὲ αὐτῷ τῷ υἱῷ ἀξιώσει αὐτὸν ἀποκαταστῆσαι, οὐ παρακρατεῖ τὸν φαλκίδιον, ἐπειδὴ τοῦτον οὐχ ὡς κληρονόμον ἀποκαθίστησιν ὁ πατὴρ ἀλλ᾽ ὡς υἱόν.[28] —

---

[18] Theod. Nov. 39 § 1. 2. [19] Theod. Nov. 108 § 1. [20] Theod. Nov. 115 § 11. [21] G τί. λε΄ διατ. α΄. Theod. Cod. III, 36, 24. Cf. Bas. IV p. 288. [22] Theod. Nov. 115 § 3. 6. [23] Dig. 29, 4, 2 pr. [24] F διγ. γ΄. — Dig. 29, 1, 17 § 4. Cod. 6, 50, 7. [25] Cf. Cod. 6, 37, 15. [26] Cf. Dig. 35, 2, 56 pr. [27] Cf. Dig. 24, 1, 32 § 1. [28] F ὡς ἐξωτικῷ.

σχόλ. τὸ ληγατευόμενον ξένῳ ἐφ' ᾧ μὴ πραθῆναι οὐχ ὑπόκειται φαλκιδίῳ, ὡς νεαρᾷ ριθ'.[29]

κα'. Ὅτε μὲν αὐτῇ τῇ γυναικὶ ληγατεύηται ἡ προὶξ αὐτῆς, οὐ μειοῦται τῷ φαλκιδίῳ τὸ ληγάτον, εἰ δὲ ἕτερόν τι πρὸς τῇ προικὶ ληγατευθῇ ἐπάνω, εἰς τοῦτο ὑπομένει φαλκίδιον ἡ γυνή.[30]

κβ'. Ἐὰν ὁ πενθερὸς ὑποδεξάμενος προῖκα τουτέστι τῷ ἀνδρὶ αὐτῆς οὗτος ὑπομένει φαλκίδιον ἐπὶ τῇ προικὶ, καὶ εἰ μὲν κληρονόμος ἐστὶν ἀπαιτεῖ τοὺς συγκληρονόμους εἴ τι ἐκ τοῦ φαλκιδίου ἐμείωσε τῇ προικὶ, κἂν ἐξνερεδάτος γέγονε τουτέστιν ἄκληρος. ὡς βι. ε' τί. β'. ση. ὅτι τὰς ἀμέτρους δωρεὰς ἢ προῖκας οὐκ ἀνατρέπει ἡ δινοφφικιόσο τοῦ τεστάτορος.[31] — σχόλ. οὐ μειοῖ ὁ φαλκίδιος τὴν προικῶν καὶ προγάμου δωρεῶν ἐπίδοσιν κατὰ τὴν ρη' νεαράν.[32]

κγ'. Ὁ ἐπερωτήσας προῖκα δύναται καὶ περὶ μελλούσης κληρονομίας ζημίας ἐπερωτᾶν διὰ τὸ ὅλως ἔχειν τοὺς ὑπολειπαζομένους παῖδας καθαρὸν τὸν φαλκίδιον.

κδ'. Ἐὰν ὁ ἐπιτυχὼν ἀμέτρου δωρεᾶς καὶ ἀρεσθεὶς φιδικομίσσῳ θέλῃ παρακρατῆσαι ἐκ τοῦ φιδικομίσσου φαλκίδιον, οὐ συγχωροῦμεν αὐτῷ τὴν παρακατάσχεσιν ὡς ἔχοντι τὸ κέρδος τῶν ἀμέτρως δωρηθέντων αὐτῷ.

κε'. Εἴ τις δωρεὰν ἄμετρον εἴς τινα ἤ τινας τῶν παίδων ποιήσηται, ἀνάγκην ἔχει ἐν τῇ διανομῇ τοῦ κλήρου τοσοῦτον ἑκάστῳ τῶν παίδων φυλάττειν τὸ ἐκ τοῦ νόμου μέρος, ὅσον ἦν πρὶν τὴν δωρεὰν ὁ πατὴρ εἰς τοὺς παῖδας τοὺς ταύτῃ τετιμημένους ποιήσαιτο. οὕτω γὰρ οὐδὲν ἔτι ταῖς δωρεαῖς ἐγκαλέσουσιν, ἔχοντες μὲν ἐπὶ πάσῃ τῇ οὐσίᾳ τοῦ πατρὸς τὸ ἀπὸ τῶν νόμων, κατὰ τοσοῦτον δὲ αὐξανομένου τούτου τοῦ μέτρου καθόσον καὶ τὰ πράγματα εἶχον τοῦ πατρὸς πρὶν ταῖς δωρεαῖς ἐξαντληθῇ. οὐ δυναμένων τῶν ἐπὶ ταῖς δωρεαῖς τετιμημένων παίδων φάσκειν ἀρκεῖσθαι μὲν ταῖς ἀμέτροις ταύταις δωρεαῖς, δοκεῖν δὲ ἀφίστασθαι τοῦ πατρῴου κλήρου, ἀλλ' οὐκ ἀναγκαζομένων μὲν εἰ ἀρκοῦνται ταῖς δωρεαῖς καταδέχεσθαι τὸν κλῆρον, ἀνάγκην δὲ ἐχόντων πᾶσι τρόποις ἐπανισοῦν τοῖς ἀδελφοῖς τὸ ἐντεῦθεν διαφέρον καθ' ὅσον εἰρήκαμεν μέτρον, ὥστε μὴ

---

[29] Theod. Nov. 119 § 11. — F addit §: Ἐὰν τῇ γυναικὶ ληγατευθῇ ἡ προὶξ, μὴ μειούσθω φαλκιδίῳ μήτε βαρείσθω φιδικομίσσῳ, εἰ μὴ ἕτερα ληγατευθῇ αὐτῇ. βι. λγ' τί. δ' διγ. α'. [30] Dig. 33, 4, 1 § 13. [31] Cf. Dig. 5, 2, 11. [32] Theod. Cod. 6, 50, 5 in Bas. IV p. 130.

ἔλαττον αὐτοῖς ἔχειν τὸ ἐκ τῶν νόμων ὀφειλόμενον διὰ τὴν γενομένην ἐπὶ ταῖς δωρεαῖς ἀμετρίαν. ὅπουγε ἔξεστι παρ' αὐτοῦ μᾶλλον ἀγαπωμένοις χαρίσασθαί τι πλέον καὶ μὴ τοὺς λοιποὺς παῖδας διὰ τῆς εἰς ἐκείνους γενομένης ἀμετρίας βλάψαι καὶ τὸν ἡμέτερον παραβῆναι σκοπόν.[33] — σχόλ. Ὁ δωρησάμενος πάντα τὰ αὐτοῦ πράγματα τοῖς οὖσιν οἰκείοις παισὶν ἐὰν σχῇ ἄλλον υἱὸν νόμιμον, ἀναγκάζεται περιποιεῖν αὐτῷ τὸ τρίτον ἀφαιρούμενος ἐκ τῶν λαβόντων παίδων ὅσα τὰ αὐτῶν. ἀνάγν. καὶ τὴν ϙβʹ [34] νεαρὰν τὴν λέγουσαν ὅτι ὀφείλει ἕκαστος τῶν γονέων ἐάσαι τὸ νόμιμον μέρος πρὸς ὃ ἔχει κατὰ τὸν καιρὸν τῶν δωρεῶν. σκόπει δὲ μὴ τὸ τρίτον μέρος διδόμενον ἀλλὰ τὸ ἥμισυ κατὰ τὴν ιηʹ νεαράν. ὡς βι. γʹ τί. κθʹ διατ. εʹ.[34]

κϛʹ. Ταῦτα μέντοι περὶ παίδων φαμὲν κεχαρισμένων, οὐ μὴν περὶ τῶν ἀγνωμόνων καὶ οἷς ὁ πατὴρ δικαίαν καὶ νόμιμον ἀχαριστίαν ἐπάγει. εἰ γὰρ τοῦτο οὕτως ἔχον φανείη καὶ ἀποδειχθείησαν αἱ τῆς ἀχαριστίας αἰτίαι, ἔστω τὰ τῶν νόμων τῶν ἐπὶ τοῖς ἀχαρίστοις κειμένων κύρια οὐδὲν ἐκ τῆσδε ἡμῶν τῆς νομοθεσίας ἐλαττούμενα.[36]

κζʹ. Θεσπίζομεν μὴ ἐξεῖναι παντελῶς πατρὶ ἢ μητρὶ ἢ πάππῳ ἢ μάμμῃ τὸν ἴδιον υἱὸν ἢ θυγατέρα ἢ τοὺς λοιποὺς παῖδας ἀμνημονεύτους καταλιμπάνειν ἢ ἀκλήρους ἐν τῇ ἰδίᾳ ποιεῖν διαθήκῃ, ἀλλὰ διὰ οἱασδήποτε δωρεᾶς ἢ ληγάτου ἢ φιδικομίσσου ἢ ἄλλου οἱουδήποτε τρόπου τὸ ἐκ τῶν νόμων αὐτοῖς ὀφειλόμενον παρέχειν, εἰ μὴ τυχὸν ἀχάριστοι ἀποδειχθῶσιν.[37]

κηʹ. Ὁ ἀξιώσας τὸν κληρονόμον ἀγρὸν ἄξιον ρʹ νομισμάτων πωλῆσαι νʹ νομίσμασι, δοκεῖ ληγατεύειν καὶ οὐ χώρα τῷ φαλκιδίῳ.[38]

κθʹ. Τάκητόν ἐστιν ὅπερ ἐπαγγέλλεται ὁ κληρονόμος διδόναι τῷ μὴ δυναμένῳ λαβεῖν. δύναται δὲ καὶ ὁ κληρονόμος

---

[33] Const. CXIV, in vulgata 168 Novv. collectione Nov. 92 c. 1. [34] V ϙαʹ. F ϙδʹ. [35] Theodori. Vide Bas. IV p. 157. [36] Const. CXIV cit. § 1. — F addit §: *Κἂν ἄῤῥην καὶ θήλεια καὶ υἱοὶ καὶ ἔγγονοι ὅσοι ἂν ὦσιν ὀφείλουσιν ὀνομαστὶ ἐξνερεδατεύεσθαι, ἐπεὶ ὑπεξούσιοι ὄντες ῥηγνύουσι ἢ ῥοῦπταν ποιοῦσι τὴν διαθήκην· εἰ γὰρ αὐτεξούσιοί εἰσιν, τὴν κοντραβούλας αἰτοῦσι κατ' αὐτῆς. βι. ϛʹ τί. κηʹ διατ. [δʹ] τοῦ κώδ.* [37] Const CXXXVI (Nov. 115) c. 3. [38] Dig. 35, 2, 87 pr. — F intercalat §: *Βι. λδʹ τί. θʹ διγ. ιʹ. ση. ἐπὶ περιγραφῇ νόμου πίστιν προκιχρᾷ τὸ καταλειφθὲν αὐτῷ σιωπηρῶς παρέχειν τὸ κεκωλυμένον λαβεῖν.* Cf. Cyrilli indicem in Bas. V p. 807.

ἐπαγγειλάμενος τάκητον ἀπο [δοῦναι] φιδικόμισσον, ἐὰν τὰ ἄλλα ληγάτα ὑπὲρ τὸ μέτρον εἰσὶ, καὶ παρακατασχεῖν ἐξ αὐτῶν πρὸς ἀναλογίαν φαλκιδίου. εἰ γὰρ καὶ ἀπὸ τακήτου φιδικομίσσου μὴ παρακρατῆται φαλκίδιος, ὅμως τοῦτο τοῖς ληγαταρίοις οὐ συμβάλλεται.[39] — σχόλ. καὶ τὰ ἐν κωδικέλλῳ ληγατευόμενα ὑπόκειται φαλκιδίῳ. — ση. τάκητόν ἐστι τὸ διδόμενον καὶ τοῦτο φαλκιδίῳ οὐχ ὑπόκειται ὡς νεα. ριβ'.

λ'. Ἐὰν ὁ ἔχων λ' νομισμάτων περιουσίαν ἑνὶ μὲν ληγατεύσῃ λ' νομίσματα, ἄλλῳ κ' καὶ ἄλλῳ ι', λαμβάνει ὁ πρῶτος ιε' καὶ ὁ ἄλλος ι' καὶ ὁ ἕτερος ε'.[40]

λα'. Εἰ στρατιώτης διάθηται καὶ ἀπολυθῇ τῆς στρατείας, εἶτα ποιήσει κωδικέλλους καὶ τελευτήσει εἴσω ἐνιαυτοῦ, τὸ ὑπὲρ τὴν οὐσίαν καταλειφθὲν ἐκ πάντων μειοῦται τῶν ληγάτων, ὁ δὲ φαλκίδιος ἐκ τῶν ἐν τοῖς κωδικέλλοις.[41] ση. ἐπὶ στρατιωτικῆς διαθήκης ἀργεῖ ὁ φαλκίδιος. ὡς βι. γ' τί. κη' διατ. ιδ'[42] ὅτι οὐδὲ τῇ δινοφφικιόσο ὑπόκειται. καὶ ὅτι δύναται ὁ στρατιώτης πᾶσαν τὴν οὐσίαν αὐτοῦ ληγατεύειν· οὐ γὰρ ὑπόκειται φαλκιδίῳ ἡ διαθήκη αὐτοῦ, ὡς βι. ϛ' τί. η' διατ. η'.[43]

Περὶ κωδικέλλου. λβ'. Κωδίκελλός ἐστιν ἐλλιποῦς ἐν διαθήκῃ γνώμης τοῦ διατιθεμένου ἀναπλήρωσις.[44]

λγ'. Διαφορὰ δὲ διαθήκης καὶ κωδικέλλου, ὅτι ἐν μὲν τῇ διαθήκῃ καὶ κληρονόμον καὶ ἀποκληρονόμον ἔξεστι γράφειν καὶ ληγάτα καὶ ἐλευθερίας καὶ ἔνστατον καὶ ὑποκατάστατον, ἐν δὲ κωδικέλλῳ οὔτε κληρονόμον οὔτε ἀποκληρονόμον οὔτε ἔνστατον οὔτε ὑποκατάστατον.[45] ἵνα μή τις σύγχυσις γένηται μεταξὺ διαθήκης καὶ κωδικέλλου.[46]

λδ'. Δύναταί τις ἕκαστος καὶ μετὰ τὴν διατύπωσιν τῆς ἰδίας διαθήκης καὶ μετὰ τὴν ἔνστασιν τῶν ἑαυτοῦ κληρονόμων

---

39 Cod. 6, 50, 3 Thalelaei. Cf. Bas. IV p. 129 sq. 40 F addit *καὶ δίδωσι κατὰ ἀναλογίαν φαλκίδιον.* 41 Dig. 29, 1, 17 § 4. 42 Lege *θ'.* 43 Lege *τί. ν' διατ. ζ'* (F *τί. ζ'*). 44 Theoph. Inst. 2, 25 pr. Proch. 29, 1. 45 Proch. 29, 2. 46 Theoph. Inst. 2, 25 § 2, quae § in V plenior exhibetur. F addit: *Οὐκ ἔχει δύναμιν κωδικέλλου ἡ ἐπιστολὴ ἣν ἔγραψέ τις ἐπαγγειλάμενος ποιεῖν με κληρονόμον ἢ φανερῶν τὴν διάθεσιν αὐτοῦ* (Dig. 29, 7, 17). — *Ἐὰν διαφόρους τὶς κωδικέλλους ποιήσῃ ἐν διαφόροις τόποις καὶ χρόνοις ἐναντίους ἀλλήλοις, ὁ τελευταῖος ἰσχυρότερός ἐστιν* (Cod. 6, 36, 3). — *Οὐ τὸ αὐτὸ κωδίκελλος καὶ διαθήκη, ἐπεὶ καὶ διάφορος ὀνομασία. ὥστε οὖν οὔτε ἔναστασις οὔτε ὑποκατάστασις ἐν κωδικέλλῳ καταλιμπάνεται* (Cod. 6, 36, 7). *συνίσταται δὲ ὁ κωδίκελλος διὰ ε' μαρτύρων ὑπογραφόντων δηλονότι, κἂν μὴ σφραγῖδας αὐτῷ ἐπιθήσωσιν* (Cod. 6, 36, 8 § 3). — Similiter V inserit ex Epanagoges tit. 29 §§ 23—29.

κωδίκελλον ποιῆσαι καὶ ἀφαιρεῖσθαί τινα ἐξ ὧν εἴα[47] τοῖς κληρονόμοις καὶ ληγατεύειν αὐτὰ καὶ ἀποκαθιστᾶν οὐ μόνον ἐξωτικοῖς ἀλλὰ καὶ πᾶσι τῶν ἐαθέντων αὐτῷ κληρονόμων.[48] — ση. καὶ ἐν κωδικέλλῳ δίδοται ὑποκατάστασις. καὶ τὰ ἐν κωδικέλλοις καταλιμπανόμενα ὑπόκειται φαλκιδίῳ. — σχόλ. εἴρηται βι. ϛ' τί. λε' διατ. β',[49] ὅτι οὔτε ἔνστασις οὔτε ὑποκατάστασις ἐν κωδικέλλῳ δίδοται. ἐν τούτῳ γὰρ ἡ διαθήκη διαφέρει αὐτοῦ.[50]

λε'. Ἡ μὲν διαθήκη ζ' μάρτυρας ὀφείλει ἔχειν, ὁ δὲ κωδίκελλος καὶ αἱ τελευταῖαι βουλήσεις οὐ δέονται εἰ μὴ ε' μαρτύρων. ὡς βι. ϛ' τί. λϛ' διατ. ϛ'[51] τοῦ κώδ. — Ἠρώτων. ἆρα χρὴ τοὺς κωδικέλλους σφραγίζεσθαι; Θεοδώρου. οὐδαμῶς ἐν ὅλῳ τῷ κώδικι εἴρηται ναὶ ἢ οὔ. πλὴν κεῖται ὅτι οὐκ ἀνάγκη αὐτοὺς σφραγίζεσθαι. ἐγὼ δὲ οἶμαι ὅτι δεῖ τῇ συνηθείᾳ τῶν τόπων προσέχειν καὶ οὕτω ποιεῖν.

λϛ'. Καὶ διαθήκης μὴ ὑπούσης γίνεται κωδίκελλος καὶ καταλιμπάνεται φιδικόμισσον. ὡς βι. ϛ' τί. λϛ' διατ. α' τοῦ κώδ.

λζ'. Ὁ κληρονόμος ἀναγκάζεται ἐκδικεῖν τὸν φόνον τοῦ ἰδίου τεστάτορος, ἐπεὶ ἀποκαθιστᾶν ἀναγκάζεται τὰ νερεδιτάρια πράγματα μετὰ τῶν καρπῶν.[52] ἡ δὲ γ' διάτ. τοῦ λε' τί. τοῦ ϛ' βι. τοῦ κώδ. λέγει, ὅτι κἂν ἀνοιχθῇ ἡ διαθήκη τοῦ φονευθέντος βιαίως πρὸ τοῦ ζητηθῆναι ὁ φόνος αὐτοῦ, φισκοῦται ἡ κληρονομία αὐτοῦ.

λη'. Ὀφείλει πᾶς κληρονόμος ἐκδικεῖν τὸν φόνον τοῦ αὐτοῦ τεστάτορος, εἰ μὴ ἄρα ἥττων ἐστί. καὶ δοῦλοι ἀκούσαντες τῆς φωνῆς τοῦ φονευθέντος αὐτῶν δεσπότου καὶ μὴ βοηθήσαντες αὐτῷ τιμωροῦνται. ὡς βι. ϛ' τί. κε' διατ. ιζ'[53] τοῦ κώδ.

λθ'. Αἱ τελευταῖαι βουλήσεις τῶν τελευτώντων ἐκδίδοσθαι ὀφείλουσι τῷ θέλοντι αὐτὰς μεταγράφεσθαι ὀμνύοντι τὸν περὶ συκοφαντίας ὅρκον.[54]

---

[47] V ἐξεῖναι. [48] Theod. Nov. 159 § 2. [49] διατ. δ'? [50] F addit βι. ϛ' τί. λϛ', scil. διατ. ζ'. [51] Lege η'. [52] Dig. 34, 9, 17. [53] Lege τί. λε' διατ. ιβ'. [54] Cod. 6, 32, 3.

ΤΙΤΛΟΣ λγ'.

Περὶ ἐνστάσεως κληρονομίας καὶ ὑποκαταστάσεως καὶ περὶ συνεισφορᾶς προικὸς καὶ διασκέψεως αὐτῶν.

α'. Οἱ κληρονόμοι ἢ ἔνστατοί εἰσιν ἢ ὑποκατάστατοι. ἡ δὲ ὑποκατάστασις ἢ ἁπλή ἐστιν, ὡς τὸ εἰπεῖν· ἐὰν μὴ κληρονομήσῃ ὁ δεῖνα ἔστω ὁ δεῖνα κληρονόμος, ἢ διπλὴ, οἷον εἴτε [κληρονομήσας εἴτε μὴ] κληρονομήσας ὁ δεῖνα ἄνηβος ἀποθάνῃ ἔστω ὁ δεῖνα κληρονόμος.[1]

β'. Ἔνστασίς ἐστιν ἡ πρώτη θέσις τῆς κληρονομίας τουτέστιν ὁ πρῶτος φύσει βαθμὸς τῶν κληρονόμων.[2]

γ'. Ὑποκατάστασίς ἐστιν ἡ ἐξ ἀποτυχίας τοῦ πρώτου κληρονόμου ἐπὶ ἕτερον τῆς κληρονομίας μετάθεσις ἐκ διορισμοῦ τοῦ κληροδοτοῦντος, οἷον ὡς εἴ τις εἴποι· ἔστω μοι ὁ δεῖνα κληρονόμος, εἰ δὲ μὴ, ἔστω μοι ὁ δεῖνα.[3]

δ'. Ἐὰν ἀπὸ τοῦ ἐνστάτου ἀπόκληρός τις γένηται, οὐ μὴν ἀπὸ τοῦ ὑποκαταστάτου ἀπόκληρος γενήσεται, κἂν διασκεπτομένου τοῦ ἐνστάτου τελευτήσῃ, οὐ κληρονομήσει ὁ ὑποκατάστατος.[4]

ε'. Ἐπὶ τοῦ χρόνου τῆς διασκέψεως ἐὰν παραιτήσηται ὁ ἔνστατος διασκεπτομένου αὐτοῦ καὶ τῷ ὑποκαταστάτῳ αὐτοῦ ἄλλος τοσοῦτος χρόνος δίδοται εἰς ἐπίσκεψιν αὐτοῦ, ὡς βι. ζ' τί. β' διατ. η' τοῦ κώδ.[5] — Ὁ μείζων τῶν κε' ἐνιαυτῶν ῥεπουδιατεύσας κληρονομίαν ἀβστινατεύει. ὁμοίως βι. ς' τί. μ'[6] διατ. δ'. — Τοῦτο δὲ νόει ἐπὶ ἐξωτικοῦ κληρονόμου· ὁ γὰρ σοῦος ἑαυτὸν ἀβστινατεύων ἐκ πατρῴας οὐσίας καὶ μετὰ[7] γ' ἔτη παραλαμβάνει αὐτήν, εἰ μὴ ἐπράθησαν τὰ πράγματα αὐτῆς. ἡ δὲ ιθ' διάτ. τοῦ αὐτοῦ τί. λέγει, μεθ' ὃ μάθοι τὶς ὅτι κληρονόμος ἐστὶν, ἔχει ἐνιαυτὸν εἰς διάσκεψιν, δηλονότι βασιλέα αἰτήσας· εἰ γὰρ παρὰ τοῖς ἄλλοις δικασταῖς αἰτήσειεν διάσκεψιν, θ' μόνον μῆνες αὐτῷ δίδονται. ἀλλὰ καὶ ὁ ὑπολειφθεὶς χρόνος

---

[1] Dig. 28, 6, 1. Proch. 30, 1. [2] Proch. 29, 3 ex Theoph. Inst. II, 25. [3] Proch. 29, 4 ex Theoph. cit. [4] Dig. 28, 2, 8. [5] Cf. Cod. 6, 30, 19. — V hic intercalat §: Ἐάν τις τῷ ἰδίῳ κληρονόμῳ ἰδικῶς ἐπιτρέψῃ μαρτύρων μὴ παρόντων ἀποκαταστῆσαί τινι ἐκ τῆς ἰδίας περιουσίας ἢ δώσει πράγματα καὶ ἀπαιτούμενος ὁ κληρονόμος ἀρνεῖται, ὀμνύτω ὁ κληρονόμος ὡς οὐκ ἐπετράπη παρὰ τοῦ τελευτήσαντος ἐκ τῆς ὑποστάσεως ἀποκαταστῆσαί τι τῷ ζητοῦντι, πρότερον τοῦ ζητοῦντος καταθεμένου τὸν περὶ ἐπηρείας λόγον (Cod. 6, 42, 32). [6] Lege λα'? [7] μέχρι? cf. Cod. 6, 31, 6.

τῆς διασκέψεως καὶ ἐπὶ κληρονόμοις τοῦ διασκεψαμένου παραπέμπεται, ὡς βι. ϛ' τί. λα' διατ. ιϑ' τοῦ κώδ. ἐὰν δὲ μὴ αἰτήσῃ διάσκεψιν μήτε ἀδιτεύσῃ, οὐ παραπέμπει ἐπὶ κληρονόμους τὴν κληρονομίαν.[8]

ϛ'. Ὁ γραφεὶς κληρονόμος δύναται εἴσω γ' μηνῶν παραιτεῖσθαι, καὶ οὐκ ἐνέχεται δανεισταῖς, κἂν προέγνω ὅτι κληρονόμος ἐστίν.[9]

ζ'. Ὁ ἴμβεντον ποιῶν οὐ δεῖται διασκέψεως· ὁ δὲ διάσκεψιν αἰτῶν οὐκ ὀφείλει ποιῆσαι ἴμβεντον, ὡς βι ϛ' τί. λα'[10] διατ. κβ'.

η'. Ὁ ποιῶν ἴμβεντον εἴσω λ' ἡμερῶν[11] ἀφ' οὗ ἐμφανισθῇ ἡ διαθήκη ἢ ἀφ' οὗ γνῷ ὅτι κληρονόμος ἐστὶν ὀφείλει ἄρξασθαι καὶ πληροῦν αὐτὸ εἴσω γ' μηνῶν, εἰ μὴ ἄρα ἄπεστιν ἢ ἀλλαχοῦ εἰσὶ τὰ κληρονομιαῖα· τότε γὰρ ὀφείλει ἐντὸς ἐνιαυτοῦ πληρῶσαι τὸ ἰμβεντάριον.[12] ὡς διατ. κϛ'[13] τοῦ αὐτοῦ τί. λέγει ὅτι οὐκ ἀναγκάζεταί τις καθ' οἱονδήποτε τρόπον λαβεῖν ἐπιζήμιον κληρονομίαν. ση. ὅτι ὁ ποιῶν ἴμβεντον κληρονόμος ἐὰν χρεωστῆται παρὰ τοῦ τεστάτορος, οὐ πάσχει κομφουσίονα τουτέστι σύγχυσιν, ἀλλὰ μετὰ τῶν ἄλλων δανειστῶν ἀπαιτεῖ τὸ ἴδιον χρέος αὐτοῦ.

ϑ'. Δεύτερόν τις οὐκ αἰτεῖ διάσκεψιν. ὡς βι. ϛ' τί. λ' διατ. κβ'.

ι'. Τῷ ὑποκαταστάτῳ[14] οὐ καταφέρεται ἡ κληρονομία ἐν ὅσῳ ὁ ἰνστιτοῦτος διασκέπτεται. ὥστε ἐὰν ἀποθάνῃ ὁ ὑποκατάστατος, οὐ παραπέμπει τοῖς ἰδίοις κληρονόμοις τὴν τοῦ πατρὸς[15] κληρονομίαν κἂν ὕστερον ὁ ἔνστατος παραιτήσηται.

ια'. Οὐ μόνον τὰ πατρῷα ἀλλὰ καὶ τὰ ἐπικτηθέντα[16] λαμβάνουσιν οἱ ὑποκατάστατοι, εἰ μὴ ἄρα στρατιώτης τοιαύτῃ γνώμῃ ὑποκατέστησεν ὥστε μόνα τὰ ἐξ αὐτοῦ περιελθόντα[17] εἰς αὐτούς. καὶ τῷ ἀποκλήρῳ ὑποκαθιστῶμεν.[18]

ιβ'. Ἐάν τις υἱοθετήσῃ ὀρφανὸν καὶ ὑποκαταστήσῃ αὐτῷ, μόνα τὰ ἐξ αὐτοῦ καὶ τὰ κατὰ πρόφασιν αὐτοῦ τυχὸν ἀπὸ φίλων καὶ συγγενῶν τοῦ υἱοθετήσαντος περιελθόντα εἰς τὸν ἄνηβον λαμβάνει ὁ ὑποκατάστατος,[19] διὰ τὸν κανόνα τὸν λέ-

---

[8] Theod. ad Cod. 6, 31, 6. [9] Αἱ ῥοπαὶ 15, 2. [10] Lege λ'.
[11] V in margine: τουτέστι λ' ἡμερῶν μετὰ τὰ ἔννατα. [12] Αἱ ῥοπαὶ 15, 3. [13] ιϛ'. [14] Libri υἱῷ et mox ὁ υἱός. [15] τεστάτορος?
[16] Supple τῷ ἀνήβῳ. [17] περιελθεῖν? [18] Dig. 28, 6, 10 § 5. [19] Dig. 28, 6, 10 § 6.

γοντα ὅτι ἡ προσαύξησις τῆς κληρονομίας καὶ εἰς ὑποκαταστάτους ἐκφέρεται.

ιγ΄. Ἐὰν νομίσας τὸν δοῦλον ἐλεύθερον εἶναι γράψω αὐτον κληρονόμον δοὺς αὐτῷ ὑποκατάστασιν, καὶ κελεύσει τοῦ δεσπότου αὐτοῦ κληρονομήσῃ, τὸ ἥμισυ τῆς κληρονομίας ὁ δεσπότης αὐτοῦ λαμβάνει καὶ τὸ ἥμισυ ὁ ὑποκατάστατος.[20]

ιδ΄. Ἐν οἱῳδήποτε βαθμῷ ὁ γραφεὶς ἔνστατος ἢ ὑποκατάστατος ἐὰν [μὴ] κληρονομήσῃ, τὸ μέρος αὐτοῦ πᾶσι πρὸς τὰ κληρονομιαῖα μέρη προσαύξει, εἰ μή τινων ἦν συνημμένος.[21]

ιε΄. Οἱ κατιόντες, κἂν ἄρρενες κἂν θήλειαι ὦσιν, προτιμῶνται τῶν ἀνιόντων.[22]

ις΄. Οἱ κληρονόμοι δικαίου εἰσὶ διάδοχοι, καὶ ἐὰν μὴ διέλῃ εἰς αὐτοὺς ὁ διαθέμενος, ἐξ ἴσου καλοῦνται.[23] — ση. ἐπὶ τῶν ἐξ ἀδιαθέτου ἐξ ὁλοκλήρου ἀπαιτοῦνται οἱ κληρονόμοι τὰ ἀδιαίρετα. καὶ ἐν ἀπορίᾳ συγγενῶν ἡ γυνὴ τὸν ἄνδρα ἐξ ἀδιαθέτου διαδέχεται, ὡς βι. λβ΄ τί. ια΄ διγ. θ΄.[24]

ιζ΄. Ἐὰν εἷς τῶν παίδων κληρονομήσῃ τοῦ ἰδίου γονέως, προσπορίζει τῷ ἑαυτοῦ πάππῳ τὸν οὐσούφρουκτον τουτέστι τὴν χρῆσιν.[25]

ιη΄. Ἐὰν πάππος τελευτήσῃ ἐπὶ υἱῷ καὶ ἐγγόνοις ἀπὸ ἄλλου παιδὸς, οἱ ἔγγονοι ὑπεισέρχονται τὸ πρόσωπον τοῦ ἰδίου γονέως καὶ ἅμα τῷ υἱῷ τουτέστι τῷ ἰδίῳ θείῳ κληρονομοῦσιν αὐτὸν, λαμβάνοντες αὐτοὶ εἴ τι ἔμελλεν λαμβάνειν εἰ περιῆν ὁ πατὴρ αὐτῶν, κἂν ἄῤῥενες κἂν θήλειαι ὦσιν, εἴτε αὐτεξούσιοί εἰσιν εἴτε ὑπεξούσιοι.

ιθ΄. Κατιόντων μὴ ὑπόντων προκαλοῦνται οἱ ἀνιόντες τῶν ἐκ πλαγίου πάντων χωρίς τῶν ἐκ τῶν αὐτῶν γονέων φύντων ἀδελφῶν. ἰστέον δὲ ὅτι ἐπὶ τῶν ἀνιόντων προτιμᾶται ὁ ἐγγύτερος τῷ βαθμῷ τοῦ μὴ πλησιάζοντος, κἂν θῆλυ πρόσωπον εἴη. εἰ γάρ εἰσι πάντες τοῦ αὐτοῦ βαθμοῦ, ὁμοῦ καλοῦνται εἰς τὴν κληρονομίαν.

κ΄. Οἱ ἀμφιθαλεῖς ἀδελφοὶ καὶ ἀδελφαὶ καὶ ἀνιόντες ὁμοῦ καλοῦνται ἐξ ἴσης, καὶ οὐδὲ προσπορίζουσι τοῖς γονεῦσιν αὐτῶν οἱ ἀδελφοὶ τὴν χρῆσιν τοῦ ἁρμόσαντος αὐτοῖς μέρους ἐκ τῆς κληρονομίας τοῦ ἰδίου ἀδελφοῦ, κἂν ὑπεξούσιοι κἂν αὐτεξούσιοί εἰσιν.

---

[20] Dig. 28, 5, 40. [21] Dig. 28, 5, 59 § 3. [22] Proch. 30, 2 ex Theod. Nov. 118 § 1. V addit καὶ τῶν ἐκ πλαγίου. [23] Proch. 30, 16 ex Dig. 28, 5, 9 § 12. [24] Imo βι. λη΄ τί. ια΄ διγ. α΄. [25] §§ 17—28 sunt Proch. 30, 3—11 (ex Theod. Nov. 118 et 127).

κα΄. Ἀνιόντων ὑπόντων τῷ τελευτήσαντι καὶ ἀδελφῶν γνησίων καὶ παίδων ἀδελφοῦ ἀμφιθαλοῦς προτελευτήσαντος πάντες καλοῦνται εἰς τὴν αὐτοῦ διαδοχὴν, κἂν θήλειαι κἂν ἄῤῥενες ὦσιν. οἱ γὰρ ἀδελφόπαιδες ὑπεισέρχονται τὸ τοῦ ἰδίου πατρὸς πρόσωπον καὶ λαμβάνουσιν εἴ τι ἔμελλε λαμβάνειν εἰ περιῆν ὁ πατὴρ αὐτῶν.

κβ΄. Οἱ ἐκ τῶν αὐτῶν γονέων φύντες ἀδελφοὶ πρώτην ἔχουσι τάξιν εἰς τὸ κληρονομῆσαι τὸν ἴδιον ἀδελφὸν, ἄλλων ἀδελφῶν προκειμένων μὴ ὄντων ἀμφιθαλῶν· πλὴν εἰ ὕπεισι παῖδες ἑτέρου ἀδελφοῦ αὐτῶν ὁμομητρίου καὶ ὁμοπατρίου, κἀκεῖνοι ὁμοῦ καλοῦνται, τουτέστιν οἱ ἀδελφοὶ καὶ οἱ παῖδες τοῦ ἀμφιθαλοῦς ἀδελφοῦ, εἰς τὰ τοῦ τελευτήσαντος αὐτῶν μὲν ἀδελφοῦ, ἐκείνων δὲ θείου. εἰ δὲ μὴ ὕπεισιν ἀδελφοὶ ἢ παῖδες ἀδελφῶν τοιούτων δηλονότι, τότε οἱ ἐκ διαφόρων φύντες γονέων ἀδελφοὶ κληρονομοῦσι τὸν ἀποθανόντα ἑτεροθαλῆ ἀδελφόν.

κγ΄. Ἐάν τις τελευτήσῃ ἐπὶ ἀδελφῷ ἐκ διαφόρων γονέων ὑπάρχοντι καὶ ἐπὶ υἱοῖς ἀδελφοῦ ὁμοπατρίου καὶ ὁμομητρίου οἱ τεκνάδελφοι προτιμῶνται τοῦ ἀδελφοῦ εἰς τὴν κληρονομίαν αὐτοῦ. καὶ γὰρ οἱ ἀπὸ τῶν αὐτῶν γονέων θεῖοι προτιμῶνται τῶν ἐκ διαφόρων ὄντων γονέων ἀδελφοπαίδων.

κδ΄. Ἰστέον δὲ ὅτι ἀδελφῶν ἀμφιθαλῶν καὶ παίδων τοιούτων ἀδελφῶν μὴ ὑπόντων τότε οἱ ἐκ διαφόρων γονέων ἀδελφοὶ κληρονομοῦσι τὸν ἐξ ἑνὸς γονέως ὄντα ἀδελφὸν αὐτῶν. — ση. καὶ γὰρ οἱ ἀπὸ τῶν αὐτῶν γονέων θεῖοι προκαλοῦνται τῶν ἀπὸ διαφόρων καταγομένων ἀδελφοπαίδων, ὡς νεαρὰ ιη΄.

κε΄. Ἀδελφοῦ μὴ ὑπόντος μηδὲ ἀδελφόπαιδος οἱ λοιποὶ ἐκ πλαγίου συγγενεῖς καλοῦνται, οἱ τῷ βαθμῷ μέντοιγε ὄντες ἐγγύτεροι· καὶ εἰ εὑρεθῶσι πολλοὶ τοῦ αὐτοῦ βαθμοῦ ὑπάρχοντες, ἐξ ἴσης κληρονομοῦσιν. — σχόλ. τὸ δὲ ἰν κάπητα οὕτως ἐστίν· οἷον συνέβη με τελευτῆσαι ἀδιάθετον καταλιπόντα ἀδελφοῦ προτελευτήσαντος καὶ ἀδελφῆς προτελευτησάσης παῖδας. ἀλλὰ τοῦ μὲν ἀδελφοῦ ἦσαν γ΄ ἢ δ΄, τῆς δὲ ἀδελφῆς α΄ ἢ καὶ β΄. οὐ δεῖ οὖν λέγειν ὅτι οἱ ἀπὸ τῆς ἀδελφῆς τὸ ἥμισυ καὶ οἱ ἀπὸ τοῦ ἀδελφοῦ τὸ ἥμισυ, ἀλλ' ἰν κάπητα γίνεται ἡ διαίρεσις, καὶ οἱ μὲν ἀπὸ τοῦ ἀδελφοῦ ὄντες δ΄ τέσσαρας μοίρας λαμβάνουσιν, οἱ δὲ ἀπὸ τῆς ἀδελφῆς ὄντες β΄ δύο ἕξουσι μέρη.[26]

---

[26] Theoph. Inst. III, 2, 4.

κς΄. Πάντες οἱ κατιόντες κἂν ἄῤῥενες κἂν θήλειαι ὦσιν ἐξ ἀῤῥένων ἢ ἐκ θηλειῶν ἐξ ἴσου κληρονομοῦσι τοὺς ἰδίους γονεῖς ἐξ ἀδιαθέτου.[27]

κζ΄. Ἐάν τις τελευτήσῃ καὶ ἔγγονον ἢ ἐγγόνην ἀπὸ τοῦ προτελευτήσαντος υἱοῦ καταλίπῃ, καὶ ἀπὸ ἐγγόνου καὶ αὐτοῦ τελευτήσαντος προέγγονον ἢ προεγγόνην, ὁ ἔγγονος ἀπὸ τοῦ υἱοῦ καὶ ὁ προέγγονος ἀπὸ τοῦ ἐγγόνου ἅμα κληρονομήσουσιν. ὥσπερ οἱ ἔγγονοι τὴν τῶν υἱῶν οὕτως καὶ οἱ προέγγονοι τὴν τῶν οἰκείων προγόνων τάξιν ὑπεισέρχονται. ὥστε ὁ μὲν υἱὸς λήψεται τὸ ἥμισυ τῆς κληρονομίας, οἱ δὲ ἐκ τοῦ προτελευτήσαντος υἱοῦ ἔγγονοι δύο ἢ καὶ πλείονες ὄντες τὸ ἕτερον ἥμισυ, ἐπειδὴ ὁ τούτων πατὴρ περιὼν ἐλάμβανε τὸ ἥμισυ.[28]

κη΄. Ἐτελεύτησέ τις ἀδιάθετος ὑπόντων διαφόρων βαθμῶν. εἰ καὶ ὕπεισιν ἀδελφὸς τῷ τελευτήσαντι καὶ υἱὸς ἀδελφοῦ προτελευτήσαντος καὶ θεῖος πρὸς πατρὸς, ὁ ἀδελφὸς ἔσται κληρονόμος καὶ οἱ παῖδες τοῦ τελευτήσαντος ἀδελφοῦ, κἂν ὁ μὲν δευτέρου βαθμοῦ ἐστιν, ὁ δὲ τρίτου.[29]

κθ΄. Ἐτελεύτησέ τις ἀδελφὴν ὁμοπάτριον καὶ ὁμομήτριον καταλιπὼν καὶ υἱὸν ἀδελφοῦ προτελευτήσαντος. αὐτὴ προετιμᾶτο παρὰ τὸν υἱὸν ὡς ἀδνατικὰ κτησαμένη δίκαια. τὸ δὲ παλαιὸν ὁ υἱὸς τοῦ τελευτήσαντος ἀδελφοῦ προετιμᾶτο ὡς ἀδνάτος, κἂν τρίτου βαθμοῦ ἦν οὗτος καὶ ἡ θεία δευτέρου. ἀπὸ δὲ τῆς διατάξεως ἰουστινιανοῦ ὡς ἐπαναβαίνων τῷ προσώπῳ τοῦ πατρὸς ὁ υἱὸς κληρονομεῖ ἐπίσης μετὰ τῆς θείας τὸν θεῖον ἢ τὴν θείαν αὐτοῦ.[30]

λ΄. Ἐπεὶ καὶ λυσιτελέστερον ἔδοξεν εἶναι ῥωμαίοις τοὺς ἄῤῥενας μᾶλλον ἐπὶ τὰς κληρονομίας καλεῖσθαι ἢ τὰς θηλείας, ὡς τῇ πολιτείᾳ χρειώδεις ὄντας τοὺς ἄῤῥενας πολεμούντων λειτουργούντων ἀρχόντων. ἀλλ᾽ ἐπειδήπερ ἀτοπώτατον ἐνομίσθη ἐξωθεῖσθαι αὐτὰς καθόλου τῆς τῶν τελευτησάντων διαδοχῆς ἐξωτικοὺς μιμουμένας. κατὰ τὸ εἰρημένον ὅτι αἱ θήλειαι ἀδνατικῷ δικαίῳ κληρονομοῦνται μὲν, οὐ κληρονομοῦσι δὲ βαθμὸν ὁμαιμότητος κἂν ὑπερβῶσιν. ὁ γοῦν δυοκαιδεκάδελτος τὴν τοῦ νόμου συνήθη φιλῶν ἁπλότητα ἅπαντας ὁμοῦ ἀδνάτους οἱουδήποτε εἶεν βαθμοῦ καθ᾽ ὁμοιότητα σούων ἤτοι γνησίων ἐπὶ τῶν τοῦ τελευτήσαντος ἐκάλει πραγμάτων. ὁ θειό-

---

[27] Theod. Nov. 18 § 4. — F addit ὡς νεα. η΄, G ὡς νεα. ρη΄.

[28] Theoph. Inst. 3, 1, 6. [29] Theoph. Inst. 3, 2, 5. [30] Theoph. Inst. 3, 2, 4.

τατος Ἰουστινιανὸς τὴν ἐπινοηθεῖσαν ἐπὶ τοῦ δυοκαιδεκαδέλτου. εἴτε ἄῤῥενες εἴτε θήλειαι ἴσῳ τρόπῳ εἰς τὰ λεγίτημα τουτέστιν εἰς τὰ νόμιμα τούτους ἐξ ἀδιαθέτου καλεῖσθαι εἰς τὴν διαδοχὴν, τῆς προτιμήσεως τοῦ βαθμοῦ πανταχοῦ σωζομένης, κἄντε ἀδνάτισσαί εἰσι κἄντε κογνάτισσαι.[31]

λα'. Ἐάν τις τελευτήσῃ ἀδιάθετος καὶ ὕπεισιν αὐτῷ υἱὸς θείου πρὸς πατρὸς τελευτήσαντος καὶ θυγάτηρ θείου, εἰ καὶ δ' εἰσὶ βαθμοῦ, ἐπίσης τὸν οἰκεῖον ἐξάδελφον τὸν τελευτήσαντα διαδέχονται.[32]

λβ'. Ἐὰν κατὰ διαθήκην ἐνστήσωμαι κληρονόμους τὸν δεῖνα εἰς οὐγκίας ς' καὶ τὸν δεῖνα εἰς οὐγκίας δ' καὶ τὸν δεῖνα εἰς οὐγκίας β' καὶ ἀμοιβαδὸν αὐτοὺς ὑποκαταστήσω, καὶ οἱ μὲν καταδέξονται τὴν κληρονομίαν οἱ δὲ οὐ καταδέξονται, ἀνάγκην ἔχουσιν οἱ καταδεξάμενοι καὶ τῶν συγκληρονόμων τὸ μέρος καταδέξασθαι, διὰ τὸν κανόνα τὸν λέγοντα· ὁ μέρος κληρονομίας καταδεξάμενος ἀνάγκην ἔχει καὶ τὸ ἕτερον μέρος καταδέξασθαι.[33] — ση. τοῦτο ἐπὶ στρατιωτικῆς διαθήκης οὐκ ἔῤῥωται, ἀλλὰ ἀνάγν. τί. κθ' κεφ. μβ'.[34]

λγ'. Ὁ εἰπών· ἔστω μοι ὁ δεῖνα κληρονόμος ἐὰν μὴ τεχθῇ τὸ ἐγκυμονούμενον τῆς γυναικός μου, εἰ μὲν τύχοι μὴ γεννηθῆναι ζῶν τὸ παιδίον, ὁ ἐξωτικὸς καλεῖται ὡς ὑποκατάστατος εἰς τὸ μέρος αὐτοῦ. εἰ δὲ τεχθῇ ζῶν καὶ μετὰ ταῦτα ἀποθάνῃ ζώσης τῆς ἰδίας μητρὸς, ἡ μήτηρ αὐτοῦ κληρονομεῖ τὸ μέρος αὐτοῦ. ἐὰν δὲ τελευτήσῃ ἡ μήτηρ πρὸ τοῦ παιδὸς, ὁ ἐξωτικὸς καλεῖται. εἰ δὲ εἴσω τῆς ἥβης ἐτελεύτησε τὸ παιδίον, τουτέστι τοῦ ιδ' χρόνου, ἕξει κληρονόμους οὐχ ὅντινα ὁ πατὴρ αὐτοῖ ὥρισεν, ἀλλ' οὓς αὐτὸς ἐπενόησεν ἐν τῇ ἰδίᾳ διαθήκῃ, φυλαττόμενος καὶ τῆς μητρὸς τὸ νόμιμον μέρος ἐὰν ὅλως καὶ ζῇ.[35]

λδ'. Ὁ ἔγγονος εὑρίσκων ἑαυτὸν ἀμνημόνευτον ῥήγνυσι τὴν διαθήκην τοῦ πάππου, ἐὰν ὅλως ὁ πατὴρ αὐτοῦ οὐδὲν ἐκληρονόμησεν. ὁ γὰρ νόμος τότε βούλεται τοὺς ἐπαναβαίνοντας ἡσυχάζειν, ὅτε κληρονόμοι γραφῶσιν ἢ ἀπόκληροι.[36]

λε'. Τὰ χαραχθέντα κληρονομίαι καὶ ληγάτα κἂν εὑρεθῶσιν οὐκ ἔῤῥωνται, ἐν ἀμφιβόλῳ δὲ ὄντα καὶ ἡ ἔνστασις τῶν λοιπῶν καὶ τὰ ληγάτα ἔῤῥωνται διὰ τὸ φιλάνθρωπον.[37] — ση.

---

[31] Theoph. Inst. 3, 2, 3. [32] Theoph. Inst. 1. 1. [33] Cf. Theoph. Inst. 2, 14, 6. 15, 2. Dig. 29, 2, 53 § 1. Cod. 6, 26, 6. [34] Supra tit. 29 § 40. [35] Cf. Cod. 6, 25, 9. [36] Cf. Dig. 28, 3, 13. [37] Cf. Dig. 28, 4, 3.

τῆς διαθήκης ῥούπτας γενομένης ἤτοι καταχαρασθείσης ἐν κωδικέλλοις δύναται βεβαιῶσαι τὴν ἰδίαν διαθήκην καὶ οἷς ἤδη ἐποίησε καὶ οἷς μέλλει διατυποῦν, εἰ μὴ ἄρα εἶπεν ὁ τεστάτωρ μὴ ἐῤῥῶσθαι τὰ ἐν αὐτοῖς. ἀνάγν. τί. λ' κεφ. κγ'.

λϛ'. Ὁ ἔγγονος οὐ δύναται τὰ μὲν τοῦ πατρὸς πράγματα παραιτεῖσθαι, τὰ δὲ τοῦ πάππου καταδέξασθαι, ἐὰν ὁ πατὴρ αὐτοῦ ζῶν ἐκληρονόμησε τὸν πάππον, ἐπειδὴ μία οὐσία νοεῖται. ὡς βι. ϛ' τί ιδ' διατ. γ' τοῦ κώδ.[38]

λζ'. Εἰ γὰρ συμβῇ με τελευτῆσαι ἀδιάθετον τοῦ αὐτεξουσίου μου υἱοῦ προτελευτήσαντος ὃν ἔλαβεν εἰς θέσιν, οὗτος οὐ διαδέχεται τὰ ἐμὰ δίκαια οὐδὲν εἶδος πρὸς ἐμὲ συγγενείας ἔχων.[39]

λη'. Ἐάν τις ἀδιάθετος τελευτήσῃ δύο παίδων ὑπόντων ὧν ὁ μὲν ἦν αὐτεξούσιος ὁ δὲ ὑπεξούσιος, οἱ δύο παραγενήσονται ἐπὶ τὴν κληρονομίαν. εἰ δὲ ὁ γενόμενος αὐτεξούσιος δῷ ἑαυτὸν εἰς θέσιν καὶ εὑρεθῇ ἐν τῇ τελευτῇ τοῦ φυσικοῦ πατρὸς ὑπεξούσιος τῷ θετῷ πατρὶ, οὐ παραγενήσεται ἐπὶ τὰ πράγματα τοῦ φυσικοῦ πατρὸς διὰ τὸ ἐν τῇ θετῇ φαμηλίᾳ εἶναι αὐτόν. εἰ δὲ ζῶντος τοῦ φυσικοῦ πατρὸς ἐποίησεν αὐτὸν ὁ θετὸς πατὴρ αὐτεξούσιον, ὁμοίως παραγενήσεται εἰς τὰ πράγματα τοῦ φυσικοῦ αὐτοῦ πατρὸς μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ. ὅσον πρὸς τὸν θετὸν πατέρα ἐξωτικὸν αὐτὸν εἶναι. εἰ δὲ μετα τὴν τελευτὴν τοῦ φυσικοῦ πατρὸς καὶ ὁ θετὸς πατὴρ ἐποίησεν αὐτὸν αὐτεξούσιον καὶ πρὸς ἐκεῖνον ἐξωτικὸς φανήσεται.[40]

λθ'. Ὁ δὲ θειότατος ἰουστινιανὸς καὶ τὴν τοῦ φυσικοῦ πατρὸς διὰ τὸ εἶναι ἐν θέσει κληρονομίαν ἀπολλύων καὶ τῆς θέσεως ῥαδίως διὰ τῆς ἐμαγκιπατίονος τουτέστι διὰ τῆς αὐτεξουσιότητος διαλυομένης πρὸς οὐδετέρου πατρὸς ἐκαλεῖτο διαδοχὴν, καὶ τοῦτο μεταφέρων ἐπὶ τὸ κάλλιον ἐποίησεν ὡς εἴρηται διάταξιν δι' ἧς ἐκέλευσεν ἵνα ἐὰν ὁ φυσικὸς πατὴρ τὸν υἱὸν εἰς θέσιν ἑτέρῳ παράσχῃ, ἀκέραια μένειν τὰ δίκαια παρὰ τῷ φυσικῷ πατρὶ καὶ μὴ ἐξιέναι αὐτὸν τῆς αὐτοῦ φαμηλίας.[41]

μ'. Ἐπειδὴ δὲ τὸν θετὸν πατέρα γράφειν αὐτὸν ἀπόκληρον κατὰ τὸ ἀφινιάνιον δόγμα δυνατὸν, ἐν τούτῳ μόνον τῷ θέματι δοκεῖ τι ἔχειν ἡ θέσις εἰς τὸ δύνασθαι τὸν παῖδα ἐξ

---

[38] F addit §: Βι. κθ' τί. ζ' διγ. π'. Ἐὰν ὁ διαθέμενος δῷ ἑαυτὸν εἰς θέσιν, ἀσθενεῖ ἡ διαθήκη· γενόμενος δὲ ἐμαγκίπατος τουτέστιν αὐτεξούσιος ἰσχυροποιεῖ αὐτήν. βι. ϛ' τί. κζ' διατ. α' τοῦ κώδ. [39] Theoph. Inst. 3, 1, 8. [40] Theoph. Inst. 3, 1, 9. 10. [41] Theoph. Inst. 3, 1, 14.

ἀδιαθέτου παραγενέσθαι εἰς τὴν κληρονομίαν τοῦ καλουμένου θετοῦ πατρός. ἐπείτοιγε διαθήκης ὑπ᾽ αὐτοῦ γενομένης οὔτε κατὰ τὸν πολιτικὸν οὔτε κατὰ τὸν πραέτορα δύναταί τι ἐκ τῆς τούτου κληρονομίας ἀποσπάσαι οὔτε κοντραβούλας αἰτῶν οὔτε δινοφφικιόσον τουτέστιν οὔτε περὶ ἐναντιώσεως οὔτε περὶ μέμψεως, διὰ τὸ μὴ ἀνάγκην ἔχειν τὸν θετὸν πατέρα ἢ γράφειν αὐτὸν κληρονόμον ἢ ἐξερεδάτον ποιεῖν εἰς τὸ ὀφειλόμενον αὐτῷ τέταρτον.[42]

μα'. Ἐὰν τὸν θετὸν ἐμαγκιπάτον ποιήσω τουτέστιν αὐτεξούσιον, οὐ μόνον ἀδιάθετόν με τελευτῶντα οὐ διαδέχεται, ἀλλ᾽ οὐδὲ πραετεριτευθεὶς τουτέστιν μνημονευθεὶς[43] ἐν τῇ ἐμῇ διαθήκῃ λήψεται κατ᾽ αὐτῆς τὴν κοντραβούλας. ἐπαύσατο γὰρ τοῖς ἐμοῖς συναριθμεῖσθαι παισίν. — σῃ. τοῖς δὲ μένουσιν ἐν τῇ φαμηλίᾳ καθόσον ὁ φυσικὸς οὕτως καὶ ὁ θετὸς εἰς τὸ τετραούγκιον.[44]

μβ'. Καὶ ὁ αἰχμάλωτος διὰ τὴν ἐλπίδα τῆς ὑποστροφῆς καλῶς γράφεται κληρονόμος, καὶ ὁ δοῦλος αὐτοῦ ἐὰν ὑποστρέψῃ λαμβάνει τὴν κληρονομίαν.[45]

μγ'. Ὁ ὑπεξούσιος στρατιώτης ὑπὸ τοῦ στρατιώτου γραφεὶς κληρονόμος καλῶς ἀδιτεύει καὶ χωρὶς κελεύσεως τοῦ πατρός.[46] ὁ δὲ χωρὶς στρατείας ὢν κατὰ κέλευσιν τοῦ πατρὸς ἀδιτεύει τὴν μητρῴαν κληρονομίαν, καὶ προσπορίζει αὐτῷ τὸν οὐσούφρουκτον, ὡς βι. κβ' τί. γ' διγ. κθ'.[47]

μδ'. Ἐὰν ἐν μέρει γραφῇ τις κληρονόμος καὶ ἐν μέρει ὑπὸ αἵρεσιν, τὸν μὲν κληρονόμον εὐθὺς ἀδιτεύειν διὰ τὸ εἶναι αὐτὴν πούραν τουτέστι καθαρὰν ἔνστασιν, τὴν δὲ αἱρετὴν οὐ κληρονομεῖ εἰ μὴ πληρωθῇ ἡ αἵρεσις τῆς ἐνστάσεως.[48]

με'. Ἐπὶ τῶν συνεζευγμένων αἱρέσεων ἀρκεῖ τὸ καὶ μίαν ἐξελθεῖν. οἷον ἐταξάμην τὸν ἀγρόν μου πέτρῳ καὶ παύλῳ ὑπὸ αἵρεσιν ἐν μιᾷ ἡμέρᾳ ὁ προλαβὼν καὶ ἐγκαλεσάμενος κτᾶται τὴν δεσποτείαν καὶ ὁ ἄλλος ἀσθενεῖ.[49]

μϛ'. Ἐάν τις μείζων ὢν τῶν κε' ἐνιαυτῶν ἀπόρῳ προσέλθῃ κληρονομίᾳ, εἰς τοσοῦτον κατασχεθήσεται, εἰς ὅσον ἡ τῶν πραγμάτων τῆς κληρονομίας συνάγεται ποσότης. ἵνα δὲ μή τις ἐξ ἀπροόπτου ἐπιβλαβῆ καταδέξηται κληρονομίαν, ποιεῖν ἴν-

---

[42] V τετραούγκιον. Theoph. Inst. 3, 1, 14. [43] μὴ μνημ? Libri contra, et ita etiam Proch. auct. 30, 59. [44] Theoph. Inst. 3, 1, 12. — V inserit Proch. 30, 14. [45] Dig. 28, 5, 32 § 1. [46] Dig. 49, 17, 5. [47] Scil. § 1. [48] Cf. Dig. 28, 5, 27 pr. [49] Cf. Dig. 28, 5, 27 § 2.

βεντον πρὸ ἀδιτίονος φανερὰν ἔχουσαν ποσότητα τῆς κληρονομίας. εἰ δέ τις καταφρονήσας τῇ διατάξει αἰτήσειεν διάσκεψιν καὶ μετὰ ταῦτα προσέλθῃ τῇ κληρονομίᾳ, οὐ τεύξεται τῶν ἀπὸ τῆς διατάξεως βοηθειῶν, ἀλλὰ τὸ πᾶν ἀπαιτηθήσεται χρέος.[50]

μζ΄. Οὐκ ἀναγκάζεταί τις καθ᾽ οἱονδήποτε τρόπον λαβεῖν ἐπιζήμιον κληρονομίαν, ὡς βι. ς΄ τί. ν΄ διατ. γ΄ τοῦ κώδ.[51] — ση. ἄτοπον ἦν ἀγνοοῦντας ἡμᾶς ἐπιζήμιον ὑπεισιέναι κληρονομίαν. ἐνδέχεται μείζονα ἔχειν τῶν ἐν ὄψει φαινομένων κερδῶν τὰ λανθάνοντα βάρη, ὡς βι. β΄ ἰνστ. θ΄.[52]

μη΄. Ὁ νεκεσσάριος κληρονόμος τουτέστιν ὁ ἀναγκαῖος ἐὰν μὴ ἅψηται τῶν τοῦ τεστάτορος πραγμάτων, οὐχ ὑπόκειται τοῖς δανεισταῖς, ἀλλὰ καὶ εἴ τι ἐχρεωστεῖτο παρὰ τοῦ τεστάτορος, ἀπαιτεῖ.[53] — ση. ὅτι τὸ ἀσώματον ὄνομα τῆς κληρονομίας ἅπαξ ἐμπαγέν τινι δυσχερῶς ἐφ᾽ ἕτερον μεθίσταται, ὡς βι. β΄ ἰνστ.[54]

μθ΄. Ἡ δέσποινα τὸν ἐπὶ μοιχείᾳ αὐτῆς κατηγορούμενον δοῦλον ἀχρήστως πρὸ ψήφου γράφει ἐλεύθερον ἢ κληρονόμον.[55]

ν΄. Οὐ δεῖ τὸν βασιλέα δίκης χάριν γράφεσθαι κληρονόμον.[56]

να΄. Τὰ ἐν τῷ μέσῳ συμβαίνοντα τὸν κληρονόμον οὐ βλάπτει, οἷον ἐὰν περιορισθῇ ἢ ἐξορισθῇ μετὰ τὴν διαθήκην καὶ πάλιν ἀποκατασταθῇ.[57]

νβ΄. Ἔρρωται ἡ ἔνστασις τοῦ κληρονόμου, εἰ καὶ τὸ ὄνομα μὴ λεχθῇ, ἀλλ᾽ ὁμολογούμενον γνώρισμα.[58]

νγ΄. Ἐὰν τὸν ἀλλότριον δοῦλον ἐλεύθερον καὶ κληρονόμον γράψω, οὐδέτερον ἔρρωται. ἀλλοτρίῳ γὰρ δούλῳ ἀχρήστως ἐλευθερία δίδοται.[59]

νδ΄. Ἐὰν τὸν δοῦλόν μου ὑπὸ αἵρεσιν ἐλεύθερον γράψω καὶ κληρονόμον χωρὶς αἱρέσεως, εἶτα τῆς αἱρέσεως ἠρτημένης ἐκποιήσω αὐτὸν, κελεύσει τοῦ νέου δεσπότου κληρονομεῖ, εἰ μὴ μετὰ τὸ ἀτονῆσαι τὴν αἵρεσιν ἐξεποίησα αὐτόν.[60]

νε΄. Ἐπὶ τοῦ μεμηνότος δεῖ θεματίζειν ὑπὸ τοῦ πατρὸς αὐτοῦ γεγραμμένον κληρονόμον. ὑφ᾽ ἑτέρου γὰρ γραφεὶς μέχρις

---

[50] Theoph. Inst. 2, 19, 6. [51] Cod. 6, 30, 16. [52] Theoph. Inst. 2, 9, 3. [53] Cf. Dig. 29, 2, 57 pr. [54] Theoph. Inst. 2, 19, 5. [55] Dig. 28, 5, 48 § 2. [56] Dig. 28, 5, 91. [57] Dig. 28, 5, 6 § 2. [58] Dig. 28, 5, 9 § 8. — V hic intercalat Proch. 30, 22. 20, et post κεφ. νς΄ Proch. 30, 18. 19. 23. [59] Cf. Dig. 28, 5, 49 pr. [60] Dig. 28, 5, 38 § 2. 3.

οὖ ἀνανήψει οὐδὲ αὐτῷ οὐδὲ ἑτέρῳ δυνήσεται προσπορίζειν κληρονομίαν.[61]

νς'. Ὁ ἄλαλος ἤγουν ὁ κωφὸς τεχθεὶς ἢ μετὰ ταῦτα γεγονὼς ἐκ πάθους ἀκωλύτως δύναται κληρονομεῖν καὶ ἐπ' αὐτὸν περιποιεῖν τὴν κληρονομίαν, μόνον μέντοι εἰ οἶδεν ὅτι ταῦτα προφάσει πράττει κληρονομίας.[62]

νζ'. Ὁ πάππος φύσει καὶ νόμῳ υἱοθετεῖ τὸν ἔγγονον, τοῦτο μὲν τοῦ φυσικοῦ διὰ τὴν συγγένειαν τοῦτο δὲ τοῦ ἐννόμου διὰ τὴν θέσιν. τὰ γὰρ φυσικὰ δίκαια ὁ πολιτικὸς νόμος ἀνατρέπειν οὐ δύναται. νόμῳ μὲν τῇ θέσει, φύσει δὲ τοῦ νόμου.[63]

νη'. Εἴρηται δὲ ἐν τῷ β' βι. τί. ιδ' ἰνστ.[64] περὶ τῆς τῶν κληρονόμων ἐνστάσεως, ὅτι ἡ κληρονομία ὡς ἐπὶ τὸ πλεῖστον εἰς ιβ' διαιρεῖται οὐγκίας ἀπὸ πρώτης μέχρις αὐτῆς τῆς λίτρας. εἰ δὲ καὶ ἕνα τὶς ἐνεστήσατο κληρονόμον λόγου χάριν εἰς ς' οὐγκίας, ἡ πᾶσα λίτρα ἐν ταῖς ς' οὐγκίαις ἐστὶν. οὐδὲ γὰρ λέγομεν, ὅτι ὁ μὲν σκρίπτος τουτέστιν ὁ γεγραμμένος ἓξ οὐγκίας λαμβάνει, ὁ δὲ ἐξ ἀδιαθέτου τὰς ς'. παγανὸς κατὰ ταὐτὸ ἐκ διαθήκης καὶ ἐξ ἀδιαθέτου κληρονομεῖσθαι οὐ δύναται.

νθ'. Στρατιώτης διατιθέμενος ἐὰν εἴπῃ· ὁ δεῖνα ἔστω μοι κληρονόμος εἰς γ' οὐγκίας, τὰς θ' οἱ ἐξ ἀδιαθέτου λαμβάνουσιν.[65]

ξ'. Δύναται δέ τις διατιθέμενος ὥσπερ εἰς ἐλάττονας οὐγκίας συντέμνειν τὴν λίτραν, οὕτως καὶ εἰς πλείονας ἐκτείνειν αὐτὴν. οἷον δύναται λέγειν· ὁ δεῖνα ἔστω μου κληρονόμος εἰς οὐγκίας η' καὶ ὁ δεῖνα εἰς οὐγκίας ζ'.[66]

ξα'. Ἐὰν πολλοὺς γράψω κληρονόμους λέγων· ὁ δεῖνα καὶ ὁ δεῖνα ἔστωσάν μοι κληρονόμοι οὐγκιασμοῦ μὴ ὀνομασθέντος, τὸ ἴσον αὐτοῖς προσγενήσεται. εἰ δὲ θελήσω ἐξ ἀνίσων αὐτοὺς μερῶν κληρονομῆσαι, τότε δεῖ αὐτοὺς γράφειν καὶ λέγειν· ὁ δεῖνα εἰς δ' καὶ ὁ δεῖνα εἰς ς' καὶ ὁ δεῖνα χωρὶς μέρους. καὶ λέγομεν, ὅσον ὑπολιμπάνεται τῆς λίτρας τουτέστι β' οὐγκίας. εἰ δὲ ἔφθασα δαπανῆσαι τὴν λίτραν εἰς τοὺς τρεῖς, τὸν μὲν εἰς ς' τὸν δὲ εἰς δ' τὸν δὲ εἰς β', καὶ ἐπήγαγον ἕνα ἢ καὶ πλείους χωρὶς μέρους, τότε ἐπειδὴ οὐκ ἐστὶν ἐπιλιμπανόμενον τῆς λίτρας εἰς ὅσον δύναται ἐλθεῖν, τὸ ἥμισυ δοθῆναι χωρὶς

---

[61] Theoph. Inst. 2, 19, 4. [62] Theoph. Inst. 2, 19, 7. [63] Theoph. Inst. 1, 11, 2. 2, 13, 4. [64] Scil. § 5. [65] Theoph. l. l. [66] Theoph. l. l.

μέρους γραφέντι, ὡς δοκεῖν τὸν τεστάτορα εἰς κδ' οὐγκίας διατίθεσθαι.[67]

ξβ'. Τρεῖς ἐνεστησάμην κληρονόμους ἀπὸ γ' οὐγκιῶν ὡς ὑπολιμπάνεσθαι ἄλλας γ' οὐγκίας. τὸ ὑπολειφθὲν εἰς τίνα παραγενήσεται; καὶ λέγομεν ὅτι τοῦτο τριούγκιον σιωπηρῶς ἑκάστῳ τῶν κληρονόμων προσαυξηθήσεται.[68]

ξγ'. Ἐὰν εἰς τὸν καλούμενον ἀγρὸν γρηγοριανὸν γράψω τινὰ εἰς τὸ δίμοιρον καὶ ἄλλον εἰς τὸ τέταρτον, περιαιρεῖται ἡ κληρονομία τοῦ ἀγροῦ καὶ ὡς ἂν ἐκ μέρους γραφέντες ὑπεισέρχονται τῇ κληρονομίᾳ τουτέστιν ἐπίσης. — ση. ἀνετράπη ὡς μὴ ἐπιόντος καὶ ἄλλου προσώπου εἰς τὸ ὑπολειφθὲν ποσόν.[69]

ξδ'. Τέσσαρας ἐνεστησάμην κληρονόμους ἀπὸ δ' οὐγκιῶν. ὁμοίως οὖν ἐξ ἑνὸς ἑκάστου σιωπηρῶς ἀφαιρεῖται ἀνὰ οὐγκίαν καὶ ἐξ ἀποτελέσματος εὑρίσκονται πρὸς γ' ἔχοντες οὐγκίας.[70]

ξε'. Ἐνεστησάμην πολλοὺς κληρονόμους καὶ εἶπον οὕτως· πρῖμος εἰς ε' οὐγκίας, σεκοῦνδος εἰς ϛ', τέρτιος εἰς η', ἔστω δὲ καὶ κουάρτος κληρονόμος. λέγομεν δὲ λαβεῖν τὸν κουάρτον τὰς ὑπολοίπους ε' οὐγκίας. ιθ' γὰρ οὐγκίαι κατελείφθησαν.[71] ἀρκεῖ γοῦν ταῦτα ὡς ἐν προθεωρίᾳ.

ξϛ'. Ὁ κατὰ δόλον ἑτέρου παραιτούμενος κληρονομίαν ἀπόλλυσιν αὐτήν.[72]

Περὶ συνεισφορᾶς. — ξζ'. Ὁ πατὴρ προικίζων τὴν ἑαυτοῦ θυγατέρα συνεφώνησεν ἀρκεῖσθαι αὐτὴν τῇ δοθείσῃ ὑπὲρ αὐτῆς προικὶ καὶ μὴ ἐπέχειν μέρος ἐκ τῆς αὐτοῦ κληρονομίας. οὐκ ἔῤῥωται τοῦτο τὸ σύμφωνον, οὐδὲ κωλύεται κληρονομεῖν ἀδιάθετον τὸν πατέρα τελευτῶντα ἡ θυγάτηρ τὴν προῖκα τοῖς ὑπεξουσίοις μείνασιν αὐτῆς ἀδελφοῖς συνεισφέρουσα.[73] ὡς εἴρηται ἐν τῇ γ' καὶ ε' διατ. κθ' τί. τοῦ γ' βι. τοῦ κώδ. καὶ τὸ λεχθὲν ἐν τῇ ϙβ' νεαρᾷ κἂν ἐκ διαθήκης κἂν ἐξ ἀδιαθέτου θελήσωσιν οἱ παῖδες κληρονομεῖν.[74]

ξη'. Οὐ συμφωνεῖ τις νομίμως ἵνα ἀρκεσθῇ ἡ θυγάτηρ αὐτοῦ τῇ ἰδίᾳ προικὶ, ὡς βι. ϛ' τί. κ' διατ. γ' τοῦ κώδ.[75]

ξθ'. Τὰ μὲν ὑπολειφθέντα παρὰ τῶν γονέων ἐξ ἴσου μερί-

---

[67] Theoph. 2, 14, 6. [68] Theoph. 2, 14, 7. [69] Dig. 28, 5, 9 § 13. [70] Theoph. 2, 14, 7. [71] Theoph. 2, 14, 8. [72] Ad Dig. 4, 3, 9 § 1. [73] Cod. 6, 20, 3. [74] Vide Theod. in Bas. IV p. 175. [75] Theod. Cod. 6, 20, 3. Bas. IV p. 175. — F pergit ση. ὅτι ἐὰν δύο εἰσὶν υἱοὶ ἐμαγκίπατοι καὶ θέλωσι τὸν ἴδιον πατέρα κληρονομῆσαι ἐξ ἀδιαθέτου, ἀλλήλοις [οὐ] συνεισφέρουσι, ὅτι ὑπεξουσίῳ μόνῳ συνεισφέρει ὁ ἐμαγκίπατος. V addit Proch. 30, 12.

ζονται ἐὰν οὐ διέθετο. εἰ δὲ διαθήκην ἐποίησεν, λαμβάνει εἷς ἕκαστος αὐτῶν πρὸς ὃ διετύπωσεν ὁ πατήρ. ἃ δὲ ἔχουσιν ἢ ἐν προικὶ ἢ ἐν προγαμιαίᾳ ἢ ἄλλῃ δωρεᾷ, συνεισφέρουσιν ἐὰν οἱ λοιποὶ αὐτῶν ἀδελφοὶ οὐκ ἔχουσιν ὁπωσδήποτε ἐν αὐτοῖς τὸ νόμιμον μέρος παρὰ τοῦ κοινοῦ αὐτῶν γονέως. τότε γὰρ οἱ ἔχοντες ἀναπληροῦσι τοὺς μὴ ἔχοντας τὸ ἴσον μέρος ἐξ ὧν ἔχουσιν ἔξωθεν.[76] — ση. οὐ συνεισφέρει ἡ θυγάτηρ ὅσα εἴασεν αὐτῇ ἐξώπροικα ἐν φιδικομίσσοις οἰκείοις ὁ πατὴρ, ὡς βι. γ′ τί. λς′ διατ. ζ′ εἰπούσῃ γενικῶς τὰ φιδικόμισσα μὴ συνεισφέρεσθαι.

ο′. Τὸ μὲν παγανικὸν πεκούλιον συνεισφέρεται, εἰ μὴ ἄρα κατ᾽ ἐξαίρετον τῷ ἔχοντι αὐτὸ τῶν παίδων ὁ διαθέμενος ἐκώλυσε. τὸ δὲ κανστέρσιον οὐ συνεισφέρεται κἂν μὴ ἐαθῇ, ὡς βι. ς′ τί. κ′ διατ. ιβ′ τοῦ κώδ.[77]

οα′. Ἐὰν ἐκνικηθῇ τι τῶν ἐπιλαχόντων ἑνὶ τῶν κληρονόμων, ἐπιγνώσει τὸ ἀναλογοῦν αὐτῷ ἐκ τῆς γενομένης ζημίας.[78]

οβ′. Τὰ δωρηθέντα τοῖς παισὶ μετὰ τὴν τελευτὴν τοῦ ἰδίου πατρὸς [οὐ] συνεισφέρονται. εἰ γὰρ ζῶν ὁ πατὴρ ἐδωρήσατο αὐτοῖς συνεισφέρονται, εἰ μὴ ἄρα ῥητῶς ἐκέλευσεν αὐτὰ μὴ συνεισφέρεσθαι.[79]

ογ′. Ὁ υἱὸς καὶ ἡ θυγάτηρ κληρονομοῦντες ὁπωσδήποτε τὸν ἴδιον πατέρα ἐξ ἀδιαθέτου συνεισφέρουσι τὴν πρὸ γάμου δωρεὰν καὶ τὴν προῖκα, κἂν ἀπὸ πάππου ἢ μάμμης ἐπεδόθησαν. πλὴν ἔγνως ἐν τῷ γ′ βι. τί. λη′ διατ. ιβ′ ὅτι ἐξωτικῶν ὄντων τῶν κληρονόμων οὐ γίνεται συνεισφορά. ὅτι εἰ τύχοι αὐτὴν μὴ συνεισφέρουσαν κληρονομεῖν, ἀπαιτεῖται ὅσα πλείονα ἔλαβε κἂν παρὰ τῷ δικαστῇ διεμερίσατο, ὡς ἐπάγει ἡ ια′ διάτ. τοῦ αὐτοῦ τί. ὅτι οὐ μόνον τοῖς περιοῦσιν οἰκείοις ἀδελφοῖς ἡ κόρη συνεισφέρει τὴν προῖκα ἀλλὰ καὶ τοῖς ποστούμοις αὐτῆς ἀδελφοῖς, ὅτε οἱ λοιποὶ αὐτῆς ἀδελφοὶ οὐκ ἔχουσι τοσοῦτον κέρδος παρὰ τοῦ κοινοῦ αὐτῶν γονέως, ὡς βι. γ′ τί. λη′ διατ. ιβ′ τοῦ κώδ. σὺ δὲ ἴσθι ὅταν ἀκούσῃς συνεισφέρειν τὴν ἰδίαν προῖκα, μὴ νομίσῃς ὅτι ἀπαιτεῖται αὐτὴν παρα τοῦ ἰδίου ἀνδρὸς καὶ συνεισφέρει αὐτὴν, ἀλλ᾽ ἴσθι ὅτι παρὰ τοσοῦτον λαμβάνει ἀπὸ τῆς πατρῴας περιουσίας παρ᾽ ὅσον ἐδόθη αὐτῇ ἐν προικί.[80]

---

[76] Theodori. Vide Bas. IV p. 175. [77] Theodori. Cf. Bas. IV p. 177. [78] Theod. Cod. 3, 36, 14 (Bas. IV p. 284). [79] Theod. Cod. 6, 20, 13 (Bas. IV p. 177). [80] Theod. Cod. 6, 20, 2 (Bas. IV p. 174 sq.).

οδ'. Ὁ ἐμαγκίπατος ἐπιδοὺς προῖκα ὑπὲρ θυγατρὸς καὶ μετὰ ταῦτα θέλων ἅμα τοῖς γνησίοις αὐτοῦ ἀδελφοῖς συγκληρονομῆσαι τοῦ πατρὸς οὐκ ἀναγκάζεται συνεισφέρειν αὐτοῖς ἣν ἐπιδέδωκε προῖκα ἕως ὅτε συνίσταται τῆς θυγατρὸς ὁ γάμος.

οε'. Οἱ ἐκ διαφόρων ἔγγονοι καὶ ἀλλήλοις καὶ τῷ θείῳ συνεισφέρουσιν.[81]

ος'. Τὴν προῖκα τῆς θυγατρὸς αὐτοῦ οὐ συνεισφέρει ὁ αὐτεξούσιος· οὐδὲ γάρ ἐστι λοιπὸν ἐν τοῖς αὐτοῦ πράγμασιν.[82]

οζ'. Ὁ κυοφορούμενος πρὶν τεχθῇ οὐ συνεισφέρει ὁ ἀδελφὸς οὔτε ὁ ἐπίτροπος αὐτοῦ.[83]

οη'. Ἡ κληρονόμος γραφεῖσα οὐ συνεισφέρει τὴν προῖκα κἂν αἰτοῦντος τοῦ ἀδελφοῦ τὴν κοντραβούλας κἂν αἰτοῦσα μηδὲν ἔχῃ πλέον.[84] — ση. ἡ ἐκ διαθήκης κληρονομοῦσα τοῦ πατρὸς οὐκ ἀναγκάζεται συνεισφέρειν τὴν προῖκα αὐτῆς.[85]

οθ'. Ἡ εἰς θέσιν δοθεῖσα καὶ τὴν ἄλλην οὐσίαν αὐτῆς συνεισφέρει ὡς ἡ αὐτεξουσία· συνεισφέρει δὲ διὰ τοῦ θετοῦ αὐτῆς πατρός.[86]

π'. Ἡ ἐῤῥῶσα ληγάτον κἂν ἐξνερεδάτος τουτέστιν ἀπόκληρος κἂν ἐμαγκίπατός ἐστι τουτέστιν αὐτεξουσία ἀπαιτοῦσα τὸ ληγάτον οὐ συνεισφέρει.[87]

πα'. Τῶν ἀξιωμάτων καὶ ὅσα ὁ πατὴρ χρεωστεῖ ὑπὲρ ἀξιώματος παιδὸς οἱ συγκληρονόμοι ἀποδιδόασιν. — ση. τὸ ἀξίωμα βάρος νομίζεται ἔχειν καὶ διὰ τὴν ἀπέχθειαν ταύτην οὐ συνεισφέρουσι τοῖς ἀδελφοῖς οἱ ἀξιωματικοί.[88]

πβ'. Ἡ κτηθεῖσα τοῖς παισὶν ἀξία ἐκ προσώπου τοῦ πατρὸς οὐκ ἀφαιρεῖται αὐτῶν εἰ καὶ ἀποκινηθῇ τῆς ἀξίας, ὡς βι. α' τί. θ' διγ. θ'.

πγ'. Τοὺς δούλους τῶν δυναμένων γράφεσθαι κληρονόμων δυνάμεθα κληρονόμους γράφειν. ὁ γὰρ δοῦλος ἀπρόσωπος ὢν ἐκ προσώπου τοῦ δεσπότου αὐτοῦ ἔχει διαθήκης προνόμιον.[89]

πδ'. Ὁ ὑπεξούσιος υἱὸς οὐ συνεισφέρει τοῖς ἰδίοις ἀδελφοῖς ὅσα δωρεῖται αὐτῷ ὁ οἰκεῖος πατὴρ μέλλοντι στρατεύεσθαι. ἴσθι γὰρ ὅτι κανστέρσιόν ἐστι πεκούλιον τὸ τοιοῦτον, κἂν μὴ ὁ πατὴρ ἀλλ' οἱοσδήποτε ἄλλος αὐτῷ ἐχαρίσατο,

---

[81] Dig. 37, 7, 1 § 4. [82] Dig. 37, 6, 4. [83] Cyrilli Dig. 37, 6, 12 (Bas. IV p. 171). [84] Dig. 37, 7, 1 pr. [85] Cod. 6, 20, 7. F addit συνεισφέρει ὅσα ἔξωθεν ἐκτήσατο δηλονότι πρὸ τελευτῆς ἐκείνου, οὐ συνεισφέρει δὲ ὅσα ἔσχεν μετὰ τὴν τελευτὴν αὐτοῦ. [86] Cyrilli Dig. 37, 7, 2 (Bas. IV p. 172). [87] Dig. 37, 7, 4. [88] Dig. 37, 6, 1 § 16. [89] Dig. 28, 5, 31 pr.

ὡς βι. ιβ' τί. λς' διατ. α' τοῦ κώδ. τὴν οὕτως γενομένην δωρεὰν ὑπέξελε· τὰς γὰρ λοιπὰς δωρεὰς συνεισφέρει ὁ ἀδελφὸς, εἰ μὴ ἄρα ἐκώλυσε ῥητῶς ὁ διαθέμενος τοῦτο γενέσθαι, ὡς βι. ς' τί. κ' διατ. κ' τοῦ κώδ.[90]

πε'. Τὰ τῶν παραιτησαμένων κληρονόμων μέρη εἰς τοὺς συγκληρονόμους μετὰ τῶν ἰδίων βαρῶν ἔρχονται, οὐ μὴν μετὰ τῶν προνομίων τοῦ παραιτησαμένου. — ση. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ λαβόντος τίμημα ἐπὶ παραιτήσει κληρονομίας.

πς'. Τῷ κυοφορουμένῳ πάντα τὰ δίκαια ἀκέραια ὁ νόμος φυλάσσει. ὅθεν ἐπὶ τῶν κληρονομιῶν ἕως οὗ ἐλπίζεται τίκτεσθαι οἱ μετ' αὐτὸν βαθμοὶ σχολάζουσιν. καὶ ἐπειδὴ ἄδηλόν ἐστιν πόσοι μέλλουσι τίκτεσθαι, ἑπτὰ γὰρ ἅμα ἐτέχθησαν ὧν ὁ εἷς ἐξ ἐπικυήσεως μετὰ μ' ἡμέρας, τέως ὁ ἐν φύσει ὢν τοῦ αὐτοῦ βαθμοῦ εἰς τὸ τρίτον κληρονομεῖ καὶ εἴτε πλείους . . .[91]

ΤΙΤΛΟΣ λδ'.

Περὶ ἀποκαταστάσεως ἐλάττω τῶν κε' ἐνιαυτῶν καὶ περὶ πληθυντικῆς ὑποκαταστάσεως[1] καὶ περὶ πεκουλίων αὐτῶν.

α'. Εἴρηται ἐν τῷ δ' βι. τί. β' διγ. α'· γενικῶς ἐν τῷ προλαβόντι [τί.] περὶ πάσης ἀποκαταστάσεως διαλαβὼν ὁ νομοθέτης, καὶ εἰπὼν ὅτι δίδοται ἀποκατάστασις τοῖς ἀειθεῖσιν[2] ἢ περιγραφεῖσι διὰ τὸν φόβον ἢ διὰ τὸν δόλον ἢ διὰ τὴν ἡλικίαν ἢ διὰ τὴν ἀπουσίαν ἢ διὰ τὴν τῆς καταστάσεως ἐναλλαγὴν ἢ διὰ τὴν ἄγνοιαν, ὥς φησιν ὁ πραέτωρ· τὸ κατὰ φόβον ἢ βίαν ἢ δόλον γινόμενον οὐχ ἡγήσομαι κύριον.

β'. Περὶ δὲ πληθυντικῆς ὑποκαταστάσεως ἔξεστι γὰρ ἡμῖν οὕτως ἀποκαθιστᾶν καὶ ἑνὶ πολλοὺς καὶ πολλοῖς ἕνα καὶ πολλοῖς πολλοὺς καὶ ἑνὶ ἕνα, ὡς ἐπὶ τῆς ὀρφανικῆς ὑποκαταστάσεως. καὶ ἐν τελευταίῳ τόπῳ ἤτοι βαθμῷ εἰς ἐσχάτην βοήθειαν οἰκέτην ἡμέτερον ἐνίστασθαι δυνάμεθα, ἵνα εἰ συμβῇ πάντας παραιτήσασθαι, ὁ οἰκέτης ἐξ ἀνάγκης κληρονομήσῃ. ὑπερτιθέμενος δὲ καταδέξασθαι τὴν κληρονομίαν ἐκστραορδινεύεται τουτέστι φραγγελίζεται.[3]

---

[90] Theod. Cod. 3, 36, 4 (Bas. IV p. 281). [91] Dig. 5, 4, 3.

[1] G ὑποστάσεως. [2] πλανηθεῖσιν? [3] Theoph. Inst. 2, 15 pr. § 1.

γ΄. Οὐ μόνον ἐξωτικοῖς γραφομένοις κληρονόμοις δυνάμεθα ὑποκαθιστᾶν, ἀλλὰ καὶ τοῖς ἡμετέροις παισὶ, λέγοντες οὕτως.[4] *ὅτι πάντες ὅσοι γένωνται νεκεσσάριοι τουτέστιν ἀναγκαῖοι, οἱ αὐτοὶ καὶ τῷ ἀνήβῳ νεκεσσάριοι ἔστωσαν κληρονόμοι. ἔνθα φησὶ καὶ ὁ ἀδελφὸς ἀποκατασταθεὶς τῷ ἀνήβῳ ἀναγκαῖος γίνεται αὐτῷ.*[5] *μερίζονται δὲ τὰ τοῦ πουπήλου πράγματα ὑπὲρ τὸ μέτρον τῆς κληρονομίας καθόσον διεδέξαντο τὸν πατέρα.*[6] *ἀλλὰ τοῖς μὲν ἄῤῥεσι παισὶν ἕως ιδ΄ ἐνιαυτῶν ἔξεστιν ἀποκαθιστᾶν, ταῖς δὲ θηλείαις μέχρι τῶν ιβ΄ ἐνιαυτῶν. ταύτην δὲ τὴν ἡλικίαν αὐτῶν ὑπερβάντων ἡ ὑποκατάστασις ἀποσβέννυται.*[7]

δ΄. Ὁ ἀφῆλιξ ἐπιβὰς τῇ τελευταίᾳ ἡλικίᾳ ἤγουν τὰ κε΄ ἔτη καὶ μὴ παραχρῆμα τὴν ἄνευ δεκρέτου πρᾶσιν μεμψάμενος προλήψει βεβαιοῖ ταύτην.

ε΄. Ἀποκαθίστανται οἱ ἥττονες τῶν κε΄ ἐνιαυτῶν κατὰ τῶν πραθέντων αὐτῶν ἐνεχύρων ὑπὸ τῶν ἰδίων δανειστῶν, εἰ μὴ ἄρα ὁ τούτων πατὴρ τὰ ἐνέχυρα τοῖς δανεισταῖς ἔδωκε καὶ οὐκ αὐτοί.[8] *ὁμοίως δὲ καὶ οἱ κελευσθέντες ἀπὸ τοῦ τεστάτορος πωλῆσαι καλῶς ἐκποιοῦσι τὰ τοῦ πουπήλου καὶ χωρὶς δεκρέτου.*[9]

ς΄. Οὐκ ἐν πᾶσιν οἱ νέοι ἀποκαθίστανται, ἀλλ᾽ ἐν οἷς ἢ ὑφ᾽ ἑαυτῶν ἢ ὑφ᾽ ἑτέρων ἀπολέσαντες ἢ μὴ κτησάμενοι ἐνοχοποίησαν.[10] — *ση. δύο εἰσὶ ζητήσεις ἐν τῷ περὶ ἀποκαταστάσεως ἀγῶνι. καὶ πρώτη ἐστὶν εἰ ἀφῆλιξ ὢν ὁ νέος συνήλλαξε, δευτέρα εἰ ὁ καιρὸς τῆς ἀποκαταστάσεως παρῆλθεν*[11] *καὶ οὐκ ὀφείλει λοιπὸν βοηθείας τυχεῖν. ζήτει ἐν τῷ περὶ ἀποδείξεως τί. ιβ΄ κεφ. κε΄*[12] *ὄπισθεν.*

ζ΄. Τὸ τοῦ ἀφήλικος ἀκίνητον πρᾶγμα καλῶς πωλεῖται διὰ ἰδικὸν αὐτοῦ χρέος ἢ διὰ πατρῷον ἢ διὰ δημόσιον, δηλονότι ἐπὶ φανερᾶς κριτοῦ ἀποφάσεως.[13]

η΄. Καλῶς ἀνατρέπουσιν οἱ ἥττονες ἅπερ κατὰ δόλον κακῶς ἐπώλησαν οἱ αὐτῶν κηδεμόνες.[14]

θ΄. Ἡ ἁρμόζουσά τινι ἀποκατάστασις παραπέμπεται καὶ ἐπὶ τοὺς αὐτοῦ κληρονόμους.[15]

---

[4] Theoph. Inst. 2, 16 pr. [5] Cf. Dig. 28, 5, 3 § 4. 6, 10 § 1. [6] Theoph. cit. § 7 in fine. [7] Theoph. cit. § 8. [8] Cod. 2, 28, 1. 2. Proch. 31, 1. [9] Theod. Cod. 5, 72, 3. [10] Proch. 31, 2 ex Dig. 4, 4, 44. [11] Vide *ἐρωταπόκρισιν* in Bas. 22, 1, 43. [12] Supra tit. 12 § 21. [13] Proch. 31, 3 ex Theod. Cod. 5, 71, 18. [14] Proch. 31, 4 ex Theod. Cod. 2, 27, 2. [15] Proch. 31, 5 ex Theod. Cod. 2, 53, 4?

ι'. Κἂν εἴπῃ ἑαυτὸν μείζονα ὁ ἥττων κατὰ πλάνην, οὐδὲν ἧττον ἀποκαθίσταται.[16] — σῃ. ὁ ἀφῆλιξ συναλλάξας καὶ τὸν σωματικὸν ὑπερτελέσας ὅρκον τοῦ μὴ ἀνατρέπειν τὸ συνάλλαγμα τουτέστι κατὰ τῆς πράσεως οὐδὲ ἀπὸ θείας ἀντιγραφῆς βοηθεῖται.[17] — σῃ. ὁ ἐξομνύμενος ἐν συμβολαίῳ μείζων εἶναι οὐ βοηθεῖται.[18]

ια'. Ὁ ἥττων συγγνώμην ἡλικίας αἰτήσας δύναται ἀνατρέψαι ὃ κακῶς ἐπώλησεν εἴσω ἐνιαυτοῦ μετὰ τὸν κε' χρόνον· ὡσαύτως δὲ καὶ ὃ κακῶς ἠγόρασε καὶ ἐνήλλαξε δύναται αὐτὸ ἀνατρέψαι τὸ καταβληθὲν ἐπαναλαμβάνων τίμημα εἴσω τοῦ εἰρημένου χρόνου. τοῦτο δὲ τὸ προνόμιον καὶ κληρονόμοις αὐτοῦ παραπέμπεται.[19] — σχόλ. κελεύει οὖν ἡ διάτ. πάντας τετραετίαν ἔχειν ἀντὶ τοῦ ποτε οὐτιλίου ἐνιαυτοῦ.

ιβ'. Ἐὰν δὲ χαρίσηταί τινι ἀφῆλιξ πρᾶγμα αὐτοῦ, δύναται μετὰ τὸ παρελθεῖν τὸν κε' χρόνον ἐντὸς τετραετίας ἀγωγὴν ποιήσασθαι καὶ τὸ οἰκεῖον ἐπαναλαμβάνειν πρᾶγμα.[20] — ζήτει εἰς τὸ περὶ συγγνώμης ἡλικίας ὄπισθεν τί. κ' κεφ. λ'.[21] — σῃ. κἂν συγγνώμην ἡλικίας αἰτήσῃ ὁ ἥττων, οὐ πωλεῖ ἀκίνητον πρᾶγμα χωρὶς δεκρέτου.[22]

ιγ'. Τὴν κατὰ συναίνεσιν τῶν μερῶν γινομένην τῶν κοινῶν πραγμάτων διανέμησιν μόνοι οἱ ἐλάττονες τῶν κε' ἐνιαυτῶν ἀνατρέπουσιν.[23]

ιδ'. Ὁ ἀφῆλιξ ἐν τοῖς ἁμαρτήμασιν οὐ συγγινώσκεται.[24]

ιε'. Ἐν οἷς οἱ ἐλάττονες βοηθοῦνται, καὶ οἱ κληρονόμοι αὐτῶν βοηθοῦνται.[25] καὶ οὐκ ἐφ' οἷς ἐζημιώθησαν μόνον οἱ ἐλάττονες βοηθοῦνται ἀποκαθιστῶντες, ἀλλὰ καὶ ἐφ' οἷς οὐκ ἐκέρδησαν.

ιϛ'. Περὶ τῆς ἤδη διαπραθείσης ὑπὸ τῶν δανειστῶν κληρονομίας οὐδὲ ἀνήβοις δίδοται ἀποκατάστασις, ὡς βι. λϛ' τί. α' διγ. ιβ'.[26]

ιζ'. Ὁ ἐλάττων ἀποκαθιστάμενος κατὰ πράσεως οὐκ ἀπαιτεῖται μὲν δοῦναι τῷ ἀγοραστῇ ὅσα ἀνήλωσεν εἰς τὸ πρᾶγμα ἀναγκαῖα δαπανήματα, ἀναγκάζεται δὲ συγχωρῆσαι τὸ πρᾶγμα μὴ βλάπτοντι τὴν δευτέραν ὄψιν διὰ τὴν προτέραν ὅ τι προσέθηκεν αὐτῇ ὡς βι. κε' τί. ζ' διγ. ξ'.[27]

---

[16] Proch. 31, 6 ex Cod. 2, 42, 1. [17] Cod. 2, 27, 1. Vide supra tit. 4 § 32. [18] Cod. 2, 42, 3. Supra tit. 12 § 23. [19] Proch. 31, 7 ex Theod. Cod. 5, 74, 3. [20] Proch. 31, 8 ex Theod. Cod. 1. 1. [21] Supra tit. 20 § 27. [22] Theod. Cod. 2, 44, 3. [23] Cod. 3, 37, 4. [24] Cod. 2, 34, 1. [25] Cf. Dig. 4, 4, 18 § 5. [26] Cf. Cod. 6, 31, 6. [27] Dig. 26, 7, 32 § 5.

ιη'. Ὁ ἐλάττων ἐκπεσὼν διακατοχῆς ἀνακτᾶται αὐτὴν διὰ ἀποκαταστάσεως.[28]

ιθ'. Ὁ ἀφῆλιξ πάτρων καταδεχόμενος τὰ ἀπὸ τοῦ ἀπελευθέρου καταλειφθέντα αὐτῷ ἐλάττονα ὄντα τῇ κοντραβούλας ἀποκαθίσταται.[29]

κ'. Ἐπὶ τῶν πραγμάτων τῶν ἐχόντων δημοσίαν ἀσφάλειαν οὐ δίδοται τῷ πουπήλῳ ἀποκατάστασις, κἂν ἐζημιώθη, ὡς βι. μ' τί. ιε' διγ. β'.[30]

κα'. Τῷ ἀφήλικι ἐὰν καταβάλῃ τὸ χρέος δύναται δαπανήσας αὐτὸ αἰτεῖν ἀποκατάστασιν. χρὴ οὖν προσφέρειν καὶ δανείζειν καὶ ἀποτίθεσθαι δημοσίᾳ,[31] ὡς βι. μς'[32] τί. α' διγ. ξδ'.

κβ'. Ὁ ἐλάττων τῶν κε' ἐνιαυτῶν ὑπὸ τῶν ἐπάρχων τῶν πραιτωρίων καταδικασθεὶς οὐ δύναται παρὰ ἄλλου ἄρχοντος αἰτεῖν ἀποκατάστασιν κατὰ τῆς ἀποφάσεως, ὡς βι. α' τί. ια' διγ. [α'].[33]

κγ'. Κατὰ ἐλευθερίας οὐκ ἐστὶν ἀποκατάστασις, ἐπειδὴ λαμβάνει παρὰ τοῦ ἐλευθερωθέντος ἢ ἐλευθεροῦντος ὁ πούπηλος τὸ τίμημα.[34] ἐκεῖνα γὰρ ἐνοχῇ συνίστασθαι τὰ δυνάμενα χρήμασι διαλύεσθαι· ἐλευθερία δὲ χρήμασιν οὔτε λυτροῦσθαι οὔτε ἀγοράζειν δύναται, ὡς βι. μ' τί. ζ' διγ. θ'.[35]

κδ'. Ἐὰν ὁ ἐλάττων τῶν κε' ἐνιαυτῶν δανείσῃ ἄλλῳ ἐλάττονι καὶ δαπανήσῃ καὶ ποιήσῃ αὐτῷ μετὰ τοῦτο ἀκεπτηλάτιον τουτέστιν ὁμολογίαν, τῷ ζημιωθέντι δίδοται ἀποκατάστασις. εἰ δὲ ἀμφότεροι περιεγράφησαν, βελτίων ἐστὶν ἡ αἵρεσις τοῦ ἐναγομένου.[36] — ση. ἐν δύο γὰρ νέοις ἀπατηθεῖσι βοηθεῖται μᾶλλον ὁ ἐναγόμενος, ὡς βι. β' ἰνστ. η'. — σχόλ. τοῦτο σκοπεῖται τί ὠφελεῖται ἐξ αὐτοῦ καὶ ἀποκαθίσταται τῷ περιγραφέντι ἐλάττονι. ὥσπερ οὐκ ὀφείλει ζημιοῦσθαι ὁ ἀποκαθιστάμενος, οὕτως οὐδὲ κερδᾶναι. ὅθεν ἀναδίδωσιν ἃ ἐκέρδανεν ἐξ ἐκείνου τοῦ πράγματος καθ' ὃ ἀποκαθίστασθαι βούλεται,[37] ὡς βι. γ' τί. κα' τοῦ κώδ.

κε'. Οὐκ ἀποκαθίσταταί τις δεύτερον ταῖς αὐταῖς δικαιολογίαις χρώμενος, ἀλλὰ νέαις καὶ ἄλλαις ὀφείλει χρήσασθαι, ὡς βι. β' τί. μβ' διατ. δ' τοῦ κώδ.[38]

---

[28] Cod. 2, 39, 2. [29] Dig. 38, 2, 8 § 5. [30] Scil. § 1. [31] Dig. 4, 4, 7 § 2. [32] F μα', V μδ', G verba ὡς—ξδ' non habet. — F addit ὁ ἐλάττων ὅτε τῷ κοινῷ νόμῳ κέχρηται οὐ δοκεῖ ἀπατᾶσθαι (Cod. 2, 21, 9). [33] Scil. § 2. [34] Dig. 4, 4, 9 § 6. [35] Scil. § 2. [35] Cf. Dig. 4, 4, 11 § 6. [37] Cod. 2, 47. [38] Imo Cod. 2, 43, 3.

κϛ'. Ἐάν ὁ ἐλάττων πωλήσῃ ἀγρὸν λαβὼν τίμημα καὶ ὡς περιγραφεὶς αἰτήσῃ ἀποκατάστασιν καὶ λάβῃ τὸν ἀγρὸν, οὐκ ἀπαιτεῖται τὸ τίμημα, εἰ μὴ ὠφελήθη ἐξ αὐτοῦ ἢ ὁ ἀποκατάστασιν διδοὺς ἐψηφίσατό τι περὶ αὐτοῦ.[39] — ση. ἀλλὰ καὶ εἴ τι πλουσιώτερος γέγονεν ὁ ἥττων ἀπὸ τῆς πράσεως, ἀναδίδωσι τῷ ἀγοραστῇ.[40] — σχόλ. καὶ πάλιν ἐπὶ τοῦ χρέους ὁ δανειστὴς ἀναγκάζεται δεῖξαι τὸν νέον γενόμενον πλουσιώτερον.[41]

κζ'. Ὁ ἐλάττων τῶν κέ ἐνιαυτῶν τιμηθεὶς ληγάτῳ ἐπὶ τῷ μὴ ἀπαιτηθῆναι τὸν χρεώστην αὐτοῦ, ἔξεστιν αὐτῷ καὶ λαβόντι τὸ ληγάτον ἀπαιτῆσαι τὸ ἴδιον χρέος ἀναδιδοὺς τὸ ληγάτον ὅπερ ἔλαβε. τοῦτο δὲ ὁ μείζων ποιεῖν οὐ δύναται. ὡς βι. λδ' τί. γ' διγ. [κϛ'].[42]

κη'. Διατιμήσει προικὸς περιγραφεῖσα ἡ ἀφῆλιξ βοηθεῖται.[43]

κθ'. Ὁ ἀξιωθεὶς ἀποκαταστῆσαι κληρονομίαν ἔνθα διάγει χρεωστεῖ ἀδιτεῦσαι καὶ ἀποκαταστῆσαι αὐτὴν, εἰ καὶ ἀλλαχοῦ διάκεινται τὰ τῆς κληρονομίας πράγματα. ὡς βι. κϛ' τί. ζ' διγ.[44]

λ'. Καὶ κατὰ ψῆφον δίδοται ἀποκατάστασις. κινεῖται δὲ ἐντὸς τοῦ χρόνου τῆς ἀποκαταστάσεως ἡ ἁρμόζουσα τῷ νέῳ ἀγωγή. ὡς βι. κζ' τί. γ' διγ. ιϛ'.[45]

λα'. Ὁ στρατιώτης ἐντὸς ἐνιαυτοῦ ὑποστρέφων ἔχει ἀποκατάστασιν μὴ ἀντικειμένης αὐτῷ χρονίας παραγραφῆς. ἀλλ' ἴσθι ὅτι οὐκ ἀποκαθίσταται ὁ στρατιώτης, εἰ μὴ εἰς ἃ ἐζημιώθη διάγων ἐν τῷ ἐξπεδίτῳ. ὡς βι. β' τί. ν' διατ. η'.[46]

λβ'. Ὁ δὲ ἥττων στρατιώτης τετραετίαν ἔχει πρὸς ἀποκατάστασιν, καὶ ἐὰν τελευτήσῃ ἐν τῇ στρατείᾳ, παραπέμπει τὸ δίκαιον τῆς ἀποκαταστάσεως ἐπὶ τοὺς ἰδίους κληρονόμους.[47]

λγ'. Καὶ οἱ μείζονες τῶν κέ ἐνιαυτῶν ἀποκαθίστανται καῦσα κογνήτα τουτέστι τῆς αἰτίας διαγινωσκομένης ἐπὶ τῶν ἰν φάκτον[48] ἀγωγῶν εἰ περιγραφῶσιν. σὺ δὲ ὑπέξελε τὴν πρᾶσιν, την μίσθωσιν, ἐφ' ὧν ἔξεστι φυσικῶς περιγράφεσθαι.[49] — ση. καὶ εἰ ὁ χρόνος αὐτοῦ παρέδραμεν.

λδ'. Δύναται ὁ ἥττων κληρονομήσας πατέρα καὶ πάππον τὴν μὲν τοῦ πατρὸς ἔχειν κληρονομίαν, κατὰ δὲ τῆς τοῦ πάππου

---

[39] Dig. 26, 7, 32 § 4. [40] Dig. 4, 4, 27 § 1 in fine. [41] Cf. Cod. 2, 38, 1. [42] Cf. Dig. 4, 4, 33. [43] Dig. 4, 4, 9 § 1? F addit *ἀνάγν. βι. ϛ' τοῦ κώδ. τί. ιαʹ διατ. γ'.* [44] *λθ' θέμ. δ'*? Cf. Dig. 5, 1, 50 § 2. [45] Cf. Dig. 4, 4, 42 et Cod. 2, 27, 1. [46] Cod. 2, 50, 3. 8. [47] Cod. 2, 50, 1 et 52, 4. [48] bonae fidei? [49] Cod. 2, 53, 3.

ἀποκαθίστασθαι. σὺ δὲ ἔξωθεν νόει, ὅτι οὐ ποιεῖ τοῦτο ὁ μείζων. καὶ θεμάτισον ἐνταῦθα, ὅτι ὁ πατὴρ τοῦ ἥττονος αὐτεξούσιος ἦν· εἰ γὰρ ὑπεξούσιος ἦν, μία νοεῖται καὶ αὐτοῦ καὶ τοῦ πάππου οὐσία καὶ οὐκ ἠδύνατο ὁ ἔγγονος τὸ μὲν τῆς μιᾶς κληρονομίας καταδέξασθαι τὸ δὲ ἄλλο μέρος παραιτεῖσθαι. ἢ πάλιν θεμάτισον ὅτι ὁ πατὴρ ζῶν οὐκ ἐκαταδέξατο τὴν τοῦ πάππου κληρονομίαν.[50] *ἀναγν. βι. ϛ' τί. ιδ' διάτ. γ' τοῦ κώδ. — ση. οἱ γὰρ μείζονες ἐντὸς γ' μηνῶν δύνανται παραιτεῖσθαι τὴν κληρονομίαν.*

λε'. Οὔτε κατὰ ἀνιόντων οὔτε κατὰ πατρώνων οἱ ἥττονες ἀποκαθίστανται.[51] *τότε γὰρ ἀποκαθίστανται ὅτε μίξωσιν ἑαυτοὺς τῇ κληρονομίᾳ. εἰ δὲ [οὐκ] ἐκληρονόμησεν, οὐ δεῖται ἀποκαταστάσεως.*[52]

λϛ'. Ἐξωτικῷ καὶ ἐφήβῳ συγκληρονόμοις οὐδεὶς ὑποκαθιστᾶν δύναται πρὸς μίμησιν τῶν ἀνήβων παίδων. τοῦτο δὲ μόνον ποιεῖν ἡμῖν ἐπιτέτραπται· γράφοντες γὰρ κληρονόμον τινὰ δυνάμεθα διὰ φιδικομίσσου ἔνοχον αὐτὸν ποιῆσαι ὥστε ἑτέρῳ τὴν κληρονομίαν ἀποκαταστῆσαι ἢ πᾶσαν ἢ μέρος.[53]

λζ'. Ἡνίκα κατ' οἰκείαν ἁπλότητα περιγραφῇ ὁ νέος. ἐπὶ τοῖς βλαβεῖσι[54] *παρὰ τῶν πατέρων καὶ μάλιστα κηδεμόνων, ἡ ἀποκατάστασις τοῖς παισὶ δίδοται. — ση. ὁ ῥεπουδιατεύων ἐξ ἀδιαθέτου τὴν μητρῴαν κληρονομίαν καὶ ὕστερον μεταμεληθεὶς εἴσω ἐνιαυτοῦ δύναται αὐτὴν καταδέχεσθαι, ἐπειδὴ ἡ ἁρμόζουσα αὐτῷ διακατοχὴ ἀνναλία ἐστίν.*

λη'. Ὁ ἔχων κανστρένσιον πεκούλιον καὶ κληρονομῶν ἀδιάθετον τὸν πατέρα μετὰ τῶν ἀδελφῶν μένει ἔχων αὐτὸ κατ' ἐξαίρετον.[55] *ὁμοίως καὶ τὰ ἀπὸ ταξειδίων ἢ συνεδρίας κτηθέντα.*

λθ'. Ἀπὸ κανστρενσίου πεκουλίου καλῶς ἐνάγει τῷ πατρὶ ὁ ὑπεξούσιος.[56] *ὅτι ἐν τοῖς κανστρενσίοις πεκουλίοις ἀντὶ αὐτεξουσίων εἰσὶν οἱ ὑπεξούσιοι.*[57]

μ'. Ἀγοράζων δοῦλον ὁ ὑπεξούσιος ἐκ τῶν αὐτοῦ πεκουλίων καλῶς ἐλευθεροῖ, καὶ αὐτὸς κτᾶται ἐπ' αὐτῷ τὸ πατρωνικὸν δίκαιον.[58]

μα'. Ὅσα δωρεῖται ἡ μήτηρ ἐκδημοῦντι τῷ υἱῷ ἐπὶ τὰ κάστρα, εἰς κανστρένσιον πεκούλιον αὐτοῦ εἰσιν.[59]

---

[50] Cod. 2, 38, 2. [51] Cod. 2, 41, 2. [52] Cod. 2, 38, 1. [53] Theoph. Inst. 2, 16, 9. [54] *πραχθεῖσι?* [55] Dig. 37, 6, 1 § 15. [56] Cf. Dig. 5, 1, 4. [57] Dig. 14, 6, 2. [58] Cf. Dig. 37, 14, 8 pr. 49, 17, 3. [59] Dig. 24, 1, 3 § 4.

μβʹ. Ὁ ἔχων κανστρέσιον πεκούλιον νομίσματα δύναται καὶ παρὰ τοῦ ἰδίου πατρὸς ἀγοράζειν ἰσχυρῶς πράγματα.[60] ὡς βι. κδʹ τί. αʹ διγ. γʹ.[61]

μγʹ. Εἰ τοῖ ἔχοντος κανστρέσιον πεκούλιον εὑρεθῇ ὁ υἱὸς μὴ ὢν στρατιώτης ὑπεξούσιος ὢν τοῦ ἰδίου πάππου, διαβαίνει εἰς αὐτὸν τὸ τοῦ πατρὸς αὐτοῦ πεκούλιον. παύεται γὰρ εἶναι κανστρέσιον καὶ προσπορίζει τῷ πάππῳ αὐτοῦ χρῆσιν μόνην. ὡς βι. κβʹ τί. βʹ διγ. μαʹ.

μδʹ. Τὸ κανστρέσιον πεκούλιον οἱ αὐτεξούσιοι τοῖς ὑπεξουσίοις οὐ συνεισφέρουσι, κἂν ὑπεξούσιοι ἦσαν οἱ ταῦτα κτησάμενοι. ἐξαίρετα ταῦτα λαμβάνουσι. κοινωνοὶ δὲ καὶ ταῦτα συνεισφέρουσιν ἀλλήλοις.[62]

μεʹ. Πατρὸς δημευθέντος οὐ συνυπάγεται τῇ δημεύσει τὸ κανστρέσιον πεκούλιον τῶν ὑπεξουσίων αὐτοῦ παίδων, οὐδὲ τὸ ἐν προικὶ ἐπερωτηθὲν, ἀλλ' ἐκδικεῖται παρὰ τοῦ γαμβροῦ.[63]

μϛʹ. Βασιλικὴ φιλοτιμία κανστρέσιόν ἐστι, καὶ διὰ τοῦτο αἱ στρατεῖαι οὐ συνεισφέρονται[64] οὐδὲ τὸ ἐπ' αὐταῖς διδόμενον.

μζʹ. Ἐὰν οἱονδήποτε πρᾶγμα εἰς υἱὸν ἢ εἰς θυγατέρα ἢ εἰς ἐγγόνους ἢ προεγγόνους ἑκατέρας φύσεως ὑπεξουσίους ὄντας ἀπὸ αʹ ἢ βʹ ἢ γʹ γάμου ἢ πολυαριθμήτου τουτέστι πολλοστοῦ γάμου περιῆλθεν ἀπὸ πράγματος[65] ἢ οἱασδήποτε δωρεᾶς ἢ κληρονομίας ἢ ληγάτου ἢ φιδικομίσσου, τῶν τοιούτων πραγμάτων [μέχρι] τῆς ἰδίας ζωῆς ὁ πατὴρ ἢ ὁ πάππος τὴν χρῆσιν ἐχέτω.[66]

μηʹ. Ἐὰν ὑπεξούσιόν με ὄντα βούληταί τις γράψαι κληρονόμον, ἐγὼ δὲ παρασκευάσω ἄλλον γραφῆναι κληρονόμον, ἵνα ὅταν γένωμαι αὐτεξούσιος ἀποδοθῇ μοι ὁ κλῆρος, οὐ προσπορίζεται τῷ πατρί μου ἡ ἁρμόζουσα κατὰ τοῦ μέσου μανδάτη τουτέστιν ἀγωγή. ἐν ᾧ γὰρ ἀγωγῇ ἀγαθὴ πίστις διαμάχεται οὐδὲν προσπορίζει τῷ πατρί μου.[67] — ση. ἐλεύθερος ἐλευθέρῳ ἀγωγὴν οὐ προσπορίζει.

μθʹ. Υἱὸς ἐν μέρει κληρονομῶν τοῦ πατρὸς, εἰ μὲν πρὶν ἢ διέληται τὴν κληρονομίαν καταβάλῃ ὅσα ἐν ὑπεξουσιότητι ἐχρεώστησεν, ἀπαιτεῖ τοὺς συγκληρονόμους αὐτοῦ εἴτι αὐτὸς

---

[60] Cf. Dig. 18, 1, 2 pr. [61] Locus laudatus pertinet ad § 41. [62] Cf. Ecloga 16, 2. [63] Dig. 48, 20, 10 pr. [64] Theod. Cod. 6, 20, 20 in Bas. IV p. 179 sq. [65] Lege προικός. [66] Cod. 6, 61, 4. [67] Dig. 28, 5, 46.

ἠλευθέρωσεν ἐκ τῆς κοινῆς ὑποστάσεως. εἰ δὲ οὔπω κατέβαλεν, οὐκ ἄλλως εἰς μέσον φέρει τὸ πεκούλιον αὐτοῦ, εἰ μὴ λάβοι καυτίονα τουτέστιν ἀσφάλειαν ὅτι διφενδεύεται παρ᾽ αὐτῶν.[68]

ν΄. Κατὰ τοῦ κινδυνεύοντος περὶ κατάστασιν ἀποκατάστασις οὐ δίδοται. — ση. οὐδεὶς ἐναγόμενος περὶ τύχης δύναται ἀπαιτεῖν ἃ χρεωστεῖται εἰ μὴ πρῶτον τμηθῇ τὰ περὶ τῆς αὐτοῦ καταστάσεως.[69]

να΄. Μέχρι τῶν ἐννάτων τὸ ἀνενόχλητον ἔχουσιν οἱ τοῦ τελευτήσαντος κληρονόμοι καὶ οἱ παῖδες καὶ οἱ συγγενεῖς καὶ ἡ γαμετὴ αὐτοῦ. καὶ εἴτε ἐγγύας εἴτε ἀσφαλείας τινὰς ἐν τῷ μεταξὺ ἀπητήθησαν, ἀντ᾽ οὐδενὸς λογισθήσονται, κἄντε ἐπερωτηθῇ κἄντε μή.[70]

νβ΄. Μὴ ὑπερβαινέτω τὸν ἐνιαυτὸν ἡ κινουμένη δίκη προφάσει τοῦ μὴ πληρωθῆναι τὰ βεβουλημένα τῷ τεστάτορι.[71]

νγ΄. Οἱ ἐλάττονες καὶ ἐν ταῖς σεσοφισμέναις πράσεσι καὶ ἐν ταῖς τῶν ἐπιτρόπων ἢ τῶν κουρατόρων ἐπιβουλαῖς καλῶς αἰτοῦσιν ἀποκατάστασιν.[72]

νδ΄. Εἰ γὰρ ἐλάττων τῶν κε΄ ἐτῶν ὑπάρχων τῷ ἀγοραστῇ τοῦ κτήματος ἀσφάλειαν ἐξέθου, μηδεμίαν τοῦ λοιποῦ κατ᾽ αὐτοῦ ποιεῖν φιλονεικίαν, τοῦτο δὲ καὶ διὰ ὅρκου φυλάττειν διαβεβαιώσω, οὐδὲ ἀπιστίας οὐδὲ ἐπιορκίας ἐμὲ αὐθέντην ἐσόμενον σὺ ἐλπίσαι ὀφείλεις.[73] ὡς βι. ε΄ τί. ι΄.[74]

ΤΙΤΛΟΣ λε΄.

Περὶ ἀποκλήρων.[1]

α΄. Περὶ τῶν ἀποκλήρων εἴρηται νεαρᾷ ριε΄, ὡς ὅτι εἴ τις τοῖς ἰδίοις γονεῦσι χεῖρας ἐπιβάλοι ἢ βαρεῖαν καὶ ἀπρεπῆ αὐτοῖς ὕβριν ἐπαγάγοι, ἢ ἐπὶ ἐγκληματικῆς αὐτῶν αἰτίας κατηγορήσῃ τῆς μὴ οὔσης κατὰ βασιλείας ἢ πολιτείας, ἢ μετὰ φαρμακῶν ὡς φαρμακὸς συναναστρέφεται, ἢ τῇ ζωῇ τῶν ἰδίων γονέων διὰ φαρμακείας ἢ ἄλλῳ τινὶ τρόπῳ ἐπιβουλεῦσαι πειραθείη, τὸν τοιοῦτον ἀπόκληρον θεσπίζομεν.

---

[68] Dig. 10, 2, 18 § 5. 12, 6, 38 pr. [69] Cod. 7, 19, 1. 4. 5. [70] Athanas. VII, 7. [71] Athanas. IX, 1. [72] Cod. 2, 27, 2. [73] F addit ὡς ἐγὼ ἀπιστίας ἢ ἐπιορκίας αὐθέντης ἢ προξενός σοι γενήσομαι. [74] Cod. 2, 27, 1 (Bas. X 10). [1] Hic titulus cum titulo 33 Prochiri conspirat. Hic illic G, quem sequor, nonnulla transponit, alia omittit; V modo cum G modo cum Prochiro facit. F hunc titulum plane non habet.

β'. Εἰ τῇ ἰδίᾳ μητρυιᾷ ἢ τῇ τοῦ πατρὸς παλλακῇ ὁ υἱὸς μιγῇ.

γ'. Εἰ συκοφάντης κατὰ τῶν γονέων οὗτος γένηται καὶ διὰ τῆς ἰδίας καταμηνύσεως βαρείας αὐτοὺς ζημίας ὑπομεῖναι παρασκευάσοι.

δ'. Εἰ ἐν ἀσθενείᾳ χρονίᾳ κειμένων αὐτῶν ἢ γήρᾳ καὶ ἀδυναμίᾳ καταντησάντων αὐτῶν ἀμελήσαιεν τῆς τούτων φροντίδος οἱ παῖδες καὶ μετακαλούμενοι παρὰ τῶν γονέων μὴ βουληθεῖεν ἐπιμελείας αὐτοὺς ἀξιῶσαι, τοὺς τοιούτους ἀποκλήρους γίνεσθαι.

ε'. Εἰ συμβῇ τινα τῶν εἰρημένων γονέων ἐγκεκλεῖσθαι, οἱ δὲ παῖδες οἱ δυνάμενοι ἐξ ἀδιαθέτου εἰς τὴν τούτου διαδοχὴν ἐλθεῖν αἰτηθέντες ἤγουν ὁ εἷς ἐξ αὐτῶν μὴ βουληθείη εἰς τὴν τούτου ἐγγύην τοῦτον ὑποδέξασθαι ἢ ὑπὲρ προσώπου ἢ τοῦ χρέους εἰς ὅσον ἐπιτήδειος εἶναι ὁ αἰτούμενος ἀποδείκνυται. τοῦτο μέντοιγε, ὅπερ ἐπὶ τῆς ἐγγύης ἐθεσπίσαμεν, εἰς τοὺς ἄῤῥενας μόνον ἀνήκειν παῖδας βουλόμεθα.

ϛ'. Εἰ ἐλεγχθῇ τις τῶν παίδων ὅτι ἐκώλυσε τοὺς ἰδίους γονεῖς ποιῆσαι διαθήκην, ὥστε εἰ μὲν μετὰ ταῦτα διαθήκην ποιῆσαι δυνηθεῖεν, ἄδειαν αὐτοῖς εἶναι ὑπὲρ τῆς τοιαύτης αἰτίας τὸν παῖδα ἀπόκληρον ποιεῖν. εἰ δὲ ἐν αὐτῇ τῇ κωλύσει δίχα διαθήκης τῶν γονέων τὶς τελευτήσοι καὶ ἄλλοι εἴτε ἐξ ἀδιαθέτου εἰς τὴν τοῦ τελευτήσαντος κληρονομίαν ἢ μετὰ τοῦ παιδὸς τοῦ τὴν διαθήκην γενέσθαι κωλύσαντος ἢ οἱ μετ' αὐτὸν καλούμενοι εἴτε οὓς κληρονόμους ἔχειν ἠβούλετο εἴτε οἱ βλάβην τινὰ ἐκ τῆς κωλύσεως τῆς διαθήκης ὑπομείναντες τοῦτο αὐτὸ ἀποδείξαιεν, καὶ οὕτως αὐτὸν ἀπόκληρον γενέσθαι.

ζ'. Ἀλλὰ καὶ ὁ μίμοις ἑαυτὸν ἐγκαταλέξει παρὰ γνώμην τῶν γονέων καὶ ἐν τούτῳ τῷ ἐπιτηδεύματι διαμείνοι, εἰ μὴ τυχὸν καὶ οἱ γονεῖς τῆς τοιαύτης ἐπιτηδεύσεως γεγόνασι.[2]

η'. Εἴ τις ἐκ τῶν εἰρημένων γονέων μανῇ καὶ οἱ παῖδες αὐτοῦ ἤ τινες ἐξ αὐτῶν, ἢ παίδων αὐτῷ μὴ ὑπόντων οἱ ἄλλοι αὐτοῦ συγγενεῖς οἱ ἐξ ἀδιαθέτου εἰς τὸν αὐτοῦ κλῆρον καλούμενοι, ὑπηρεσίαν καὶ φροντίδα προσήκουσαν αὐτῷ μὴ παράσχοιεν, εἰ μὲν τῆς τοιαύτης ἀπαλλαγῇ νόσου, ἔστω αὐτῷ ἄδεια πότερον βούλεται τὸν παῖδα ἢ τοὺς παῖδας ἢ συγγενεῖς τοὺς ἠμεληκότας ἀχάριστον ἢ ἀχαρίστους ἐν τῇ ἰδίᾳ γράψαι διαθήκῃ. εἰ δὲ ἐν τῇ νόσῳ τῆς μανίας κατεχόμενον αὐτὸν ἐξωτικός

---

[2] Prochiri § 8 omittit G, habet V.

τις ἴδοι ὑπὸ τῶν ἰδίων ἀμελούμενον παίδων ἢ συγγενῶν ἢ ἄλλων ὑπ' αὐτοῦ γεγραμμένων κληρονόμων καὶ διὰ συμπάθειαν βουληθῇ αὐτοῦ φροντίσαι, δίδομεν αὐτῷ ἄδειαν διαμαρτυρίαν τοῖς ἐξ ἀδιαθέτου ἢ ἀπὸ διαθήκης ἤδη γενομένης εἰς τὸν τοῦ μεμηνότος κλῆρον καλουμένοις ἔγγραφον στέλλειν, ὥστε σπουδάζειν αὐτοὺς τούτου φροντίζειν· εἰ δέ γε μετὰ ταύτην τὴν διαμαρτυρίαν ἀμελήσαιεν, καὶ ἐξωτικὸς ἐν τῷ αὐτοῦ οἴκῳ τὸν μεμηνότα δεξάμενος δαπανήμασιν οἰκείοις ἄχρι τῆς τελευτῆς αὐτοῦ φροντίζων αὐτοῦ δειχθείη, τὸν τὴν ὑπηρεσίαν καὶ τὴν ἐπιμέλειαν τῷ μεμηνότι παρασχόμενον κἂν τὰ μάλιστα ἐξωτικὸς εἴη εἰς τὴν τούτου διαδοχὴν ἔρχεσθαι θεσπίζομεν, ἀνατρεπομένης τῆς αὐτῶν ἐνστάσεως ἅτε δὴ ἀναξίων ὄντων τῷ μεμηνότι καθάπερ εἰρήκαμεν φροντίδα παρασχεῖν ἀμελησάντων· οὕτω μέντοι ὥστε τὰ λοιπὰ τῆς διαθήκης κεφάλαια ἐν τῇ ἰδίᾳ μένειν ἰσχύι.

θ'. Ἐὰν δὲ ἕνα τῶν προλεχθέντων γονέων ἐν αἰχμαλωσίᾳ κρατεῖσθαι συμβαίη, καὶ οἱ τούτου παῖδες εἴτε πάντες εἴτε εἷς μὴ σπουδάσαιεν τοῦτον ἀναῤῥύσασθαι, εἰ μὲν δυνηθῇ οὗτος τὴν τῆς αἰχμαλωσίας συμφορὰν ἐκφυγεῖν, ἐν τῇ αὐτοῦ εἶναι ἐξουσίᾳ, πότερον ταύτην εἰς ἀχαριστίας αἰτίαν τῇ ἰδίᾳ βούλοιτο ἐγγράψαι διαθήκῃ εἴτε καὶ μή. εἰ δὲ διὰ τῆς τῶν παίδων ἀμελείας καὶ καταφρονήσεως μὴ ἐλευθερωθῇ ἀλλ' ἐν αἰχμαλωσίᾳ τελευτήσοι, ἐκείνους εἰς τὴν αὐτοῦ διαδοχὴν ἐλθεῖν οὐκ ἀνεχόμεθα οἵτινες οὐκ ἐσπούδασαν τῆς ἀναῤῥύσεως αὐτοῦ φροντίσαι, ἀλλὰ πάντων τῶν παίδων ἐπὶ τούτῳ ἀμελησάντων πάντα τὰ πράγματα τὰ παρ' αὐτοῦ καταλιμπανόμενα τῇ ἐκκλησίᾳ τῆς πόλεως ἐξ ἧς ὁρμᾶται προσκυρούσθω, καταγραφῆς δηλονότι ἐπὶ δημοσίου ἐκμαρτυρίου γινομένης, ὥστε μηδὲν ἐκ τῆς τοιαύτης αὐτοῦ περιουσίας παραπολέσθαι, ἐφ' ᾧ πᾶν ὅπερ ἐντεῦθεν εἰς τὴν ἐκκλησίαν περιέλθοι εἰς αἰχμαλώτων ἀνάῤῥυσιν προχωρεῖν.[3]

ι'. Εἰ δὲ ἐκεῖνος ὁ ἐν αἰχμαλωσίᾳ ληφθεὶς παῖδας μὴ ἔχοι καὶ τῶν ἄλλων τῶν εἰς τὴν τούτου κληρονομίαν ἐξ ἀδιαθέτου καλουμένων ἀναῤῥύσασθαι αὐτὸν μὴ σπουδαζόντων ἐν τῇ αἰχμαλωσίᾳ τελευτήσοι, μηδένα ἐκ τῶν ἀμελησάντων εἰς τὴν τούτου κληρονομίαν ἔρχεσθαι, εἰ καὶ πρὸ τῆς αἰχμαλωσίας διαθήκη τυχὸν παρ' αὐτοῦ ἐγεγόνει, ἐν ᾗ τὰ μνημονευθέντα πρόσωπα ἔγραψε κληρονόμους. ἀλλὰ καὶ ἐνταῦθα τῆς ἐνστά-

---

[3] Hanc periodum G mutilatam exhibet: emendavi ex V.

σεως τῶν κληρονόμων ἀκυρουμένης καὶ τῶν λοιπῶν τῆς διαθήκης κεφαλαίων ἐν τῇ ἰδίᾳ μενόντων ἰσχύι αἱ περιουσίαι τῶν τοιούτων προσώπων κατὰ τὸν ὅμοιον τρόπον ταῖς ἐκκλησίαις τῶν πόλεων ἐξ ὧν ὥρμηνται προσκυρούσθωσαν, καὶ μὴ ἐν ἄλλαις οἱαισοῦν αἰτίαις ἀλλ᾽ ἐν ταῖς τῶν αἰχμαλώτων ἀναῤῥύσεσι δαπανᾶσθαι, ὥστε ὅθεν ἐκεῖνοι ὑπὸ τῶν ἰδίων οὐκ ἀνεῤῥύσθησαν τὰς τῶν ἄλλων ἀναῤῥύσεις φροντίζεσθαι καὶ τὰς ἐκείνων ὁμοίως ψυχὰς ἐκ ταύτης τῆς εὐσεβοῦς πράξεως ἐπικουφίζεσθαι. τούτου αὐτοῦ παραφυλαττομένου κἂν εἰ ἄλλο ἐξωτικὸν πρόσωπον πρὸ τῆς αἰχμαλωσίας γράψοι κληρονόμον, κἀκεῖνος εἰδὼς ἑαυτὸν ὑπ᾽ ἐκείνου γεγράφθαι κληρονόμον ἀναῤῥύσασθαι τοῦτον ἐκ τῆς αἰχμαλωσίας ἀμελήσοι. ταύτην δὲ τὴν ποινὴν κατ᾽ ἐκείνων κρατεῖν θεσπίζομεν, οἵτινες τὸν ιη΄ τῆς ἑαυτῶν ἡλικίας ἐπλήρωσαν ἐνιαυτόν.

ια΄. Ἐν δὲ ταῖς τοιαύταις αἰτίαις ἡνίκα ὑπὲρ ἀναῤῥύσεως αἰχμαλώτων ἀναγκαῖόν ἐστι χρήματα δοθῆναι, εἴ τις ἴδια μὴ ἔχοι χρήματα, ἄδειαν ἐχέτω εἴπερ τῆς εἰρημένης ἡλικίας ὑπάρχοι δανείζεσθαι χρήματα καὶ πράγματα κινητὰ ἢ ἀκίνητα ὑποτίθεσθαι, εἴτε ἴδια ἔχοι εἴτε τὰ τοῦ ἐν αἰχμαλωσίᾳ κρατουμένου. ἐπειδὴ ἐν τοῖς εἰρημένοις ἅπασι τοῖς ὑπὲρ ἀναῤῥύσεως αἰχμαλώτων δίδοσθαι ἢ ἀναλίσκεσθαι δεικνυμένοις τὰ τοιαῦτα συναλλάγματα ὡς παρὰ προσώπου αὐτεξουσίου καὶ τελείας ἡλικίας ὄντος γινόμενα βέβαια εἶναι παρακελευόμεθα, μηδενὸς τοῖς μετὰ τοιούτων προσώπων ἐπὶ ταῖς μνημονευθείσαις αἰτίαις καθάπερ εἴρηται συναλλάττουσι προκρίματος γινομένου, ἀνάγκην ἔχοντος τοῦ ἐκ τῆς αἰχμαλωσίας ἐπανερχομένου τὰ τοιαῦτα συναλλάγματα βέβαια ἡγεῖσθαι καὶ τούτοις ὡς ἰδίοις ὀφλήμασιν ἐνέχεσθαι.[4]

ιβ΄. Εἴ τις ἐκ τῶν μνημονευθέντων γονέων ὀρθόδοξος ὑπάρχων αἴσθηται τὸν ἴδιον παῖδα ἢ παῖδας μὴ εἶναι τῆς καθολικῆς πίστεως μηδὲ ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ κοινωνεῖν ἐν ᾗ πάντες οἱ μακαριώτατοι πατριάρχαι μιᾷ συμπνοίᾳ καὶ ὁμονοίᾳ τὴν ὀρθοδοξοτάτην πίστιν κηρύττειν καὶ τὰς ἁγίας ζ΄ συνόδους, τὴν ἐν νικαίᾳ πρώτην τὴν ἐν ἐφέσῳ πρώτην τὴν ἐν χαλκηδόνι τὴν ἐν κωνσταντινουπόλει... ὡσαύτως καὶ τὴν ἐν κωνσταντινουπόλει τρίτην καὶ τὴν ἐν νικαίᾳ τὸ δεύτερον, περιπτύσσεσθαι ἤγουν ἀναφέρειν γινώσκονται, καὶ διαμένουσιν οἱ τοιοῦτοι παῖδες ἐν τῇ αὐτῶν ἀπιστίᾳ, δίδομεν τοῖς αὐτῶν

[4] G addit: καὶ ἀποδίδει.

γονεῦσιν ἄδειαν ὑπὲρ ταύτης μάλιστα τῆς αἰτίας ἀχαρίστους αὐτοὺς καὶ ἀποκληρονόμους ἐν τῇ ἰδίᾳ γράφειν διαθήκῃ. καὶ ταῦτα μὲν ἐπὶ ἀχαριστίας διετυπώσαμεν.

ιγ'. Γενικὴν δὲ πρόνοιαν τοῖς παισὶ τοῖς ὀρθοδόξοις παρέχοντες κελεύομεν, σῴων φυλαττομένων τῶν νόμων τῶν ἤδη περὶ τῶν αἱρετικῶν προενεχθέντων καὶ περὶ τοὺς νεστοριανοὺς καὶ ἀκεφάλους, ὡσαύτως δὲ καὶ περὶ τοὺς ἰακωβίτας καὶ μονοθελήτας καὶ εἰκονομάχους καὶ ὅσαι ἄλλαι αἱρέσεις εἰσὶ παρὰ τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίαις ἀποκηρυσσόμεναι, καὶ ταύταις φωραθεῖέν τινες ἐνεχόμενοι, τὰ αὐτὰ περὶ τούτους ἅπαντας ἀπαραβάτως φυλάττεσθαι, ὥστε εἴ ποτε γονεῖς εὑρεθεῖεν μιᾷ τῶν ἀπηριθμημένων αἱρέσεων ἢ καὶ ἑτέρᾳ τινὶ τούτων παραπλησίᾳ κατεχόμενοι καὶ διὰ τοῦτο ἐκ τῆς κοινωνίας τῆς καθολικῆς ἐκκλησίας κεχωρισμένοι, μὴ ἐξεῖναι αὐτοὺς ἄλλους κληρονόμους ἑαυτοῖς ἐνιστᾶν ἢ παῖδας ὀρθοδόξους καὶ τῇ καθολικῇ ἐκκλησίᾳ κοινωνοῦντας ἢ παίδων μὴ ὑπόντων τοὺς ἐξ ἀῤῥενογονίας συγγενεῖς ὀρθοδόξους δηλαδὴ τυγχάνοντας. εἰ δὲ ὡς εἰκὸς ἐκ τῶν παίδων τινὲς μέν εἰσιν ὀρθόδοξοι καὶ τῇ καθολικῇ ἐκκλησίᾳ κοινωνοῦντες, ἄλλοι δὲ ἐκ ταύτης κεχωρισμένοι, πᾶσαν τὴν τῶν γονέων περιουσίαν εἰς τοὺς παῖδας καὶ μόνον τοὺς ὀρθοδόξους περιέρχεσθαι θεσπίζομεν, εἰ καὶ τελευταίας βουλήσεις τὰ τοιαῦτα πρόσωπα ποιήσει παρὰ τὴν δύναμιν ταύτης ἡμῶν τῆς διατάξεως διατυπούσας. εἰ δὲ μετὰ ταῦτα οἱ ἀδελφοὶ οἱ ἐκ τῆς ἐκκλησίας κεχωρισμένοι ἐπὶ ταύτην ἀναστρέψουσι, τὸ ἁρμόττον αὐτοῖς μέρος ἐν τῷ σχήματι ἐν ᾧ εὑρέθη κατὰ τὸν χρόνον ὃν ἀποδίδοται τούτοις παρέχεσθαι, ὡς μηδεμίαν περὶ τῶν καρπῶν ἢ τῆς διοικήσεως τοῦ μέσου χρόνου ὄχλησιν ἢ ἐπάχθειαν τοὺς ὀρθοδόξους ὑπομένειν τοὺς πρῴην τὰ μνημονευθέντα πράγματα διακρατήσαντας, ἐπειδὴ τῶν τοιούτων πραγμάτων, ἅτινα ἐκ τῆς μοίρας τῶν ἀδελφῶν τῶν μὴ κοινωνούντων οἱ ὀρθόδοξοι ἐκτήσαντο, ὥσπερ τὴν ἐκποίησιν κωλύομεν, οὕτω καὶ τῶν παρελθόντων χρόνων τοὺς καρποὺς ἢ τὴν διοίκησιν οὐδαμῶς παρὰ τούτων ὑφ' ὧν διεκρατήθη εἰσπράττεσθαι ἢ ἀναψηλαφᾶσθαι κελεύομεν. εἰ δὲ οἱ παῖδες μὲν πάντες διεστραμμένοι καὶ τῆς κοινωνίας καὶ τῆς καθολικῆς ἐκκλησίας ἀλλότριοι εὑρεθεῖεν, ἄλλοι δὲ ἐγγύτατοι συγγενεῖς ἐξ ἀῤῥενογονίας ἢ ἐκ θηλυγονίας τὴν ὀρθόδοξον πίστιν τιμῶντες καὶ κοινωνικοὶ εἶεν καὶ ἀποδειχθεῖεν, τούτους τῶν παίδων τῶν αἱρετικῶν προτιμᾶσθαι καὶ τὴν αὐτῶν διαδέχεσθαι κληρονομίαν. εἰ δὲ καὶ οἱ παῖδες καὶ οἱ ἐγγύτατοι

BAYERISCHE STAATS-BIBLIOTHEK MUENCHEN

συγγενεῖς ἐκ τῆς κοινωνίας τῆς ὀρθοδόξου πίστεως ξένοι τυγχάνοιεν, τηνικαῦτα εἰ μὲν σχῆμα κληρικὸν οἱ γονεῖς αὐτοῦ ἔχοιεν, τῇ ἐκκλησίᾳ τῆς πόλεως ὅπου τὴν διοίκησιν εἶχον τὰ αὐτὰ πράγματα βουλόμεθα διαφέρειν· οὕτω μέντοι ὥστε εἰ οἱ ἐκκλησιαστικοὶ ἐντὸς ἐνιαυτοῦ προθεσμίας τὰ τῶν τοιούτων προσώπων πράγματα διεκδικῆσαι ἀμελήσειαν, τὴν αὐτῶν δεσποτείαν τῷ ἡμετέρῳ ταμείῳ ἐκδικεῖσθαι. εἰ δὲ λαϊκοὶ ὦσι, δίχα τινὸς διακρίσεως τὰς αὐτῶν περιουσίας εἰς τὸ θεῖον ἡμῶν ἰδικὸν ὁμοίως περιέρχεσθαι. εἰ γὰρ ὑπὲρ κοσμικῶν αἰτιῶν μεριμνῶμεν, πόσῳ μᾶλλον ὑπὲρ τῆς τῶν ψυχῶν σωτηρίας προνοητικωτάτην φροντίδα δεῖ συνεισφέρειν;

ιδ'. Εἰ τοίνυν πάσας τὰς εἰρημένας τῆς ἀχαριστίας αἰτίας εἴτε τινὰς ἐξ αὐτῶν εἴτε μίαν οἱανδήποτε οἱ γονεῖς τῇ ἰδίᾳ ἐγγράψαιεν διαθήκῃ καὶ οἱ γραφόμενοι κληρονόμοι τὰς ὀνομασθείσας αἰτίας ἢ μίαν ἐξ αὐτῶν ἀληθῆ εἶναι δείξαιεν, τὴν διαθήκην τὴν ἰδίαν ἔχειν ἰσχὺν παρακελευόμεθα. εἰ δὲ ταῦτα μὴ φυλαχθῇ, μηδὲν γίνεσθαι πρόκριμα τοῖς ἀπὸ κληρονόμων γραφεῖσιν, ἀλλ' ὅσον εἰς τὴν ἔνστασιν τῶν κληρονόμων πάλιν ἥκειν τῆς διαθήκης ἀκυρουμένης εἰς τὴν τῶν γονέων κληρονομίαν τοὺς παῖδας τοὺς ἐξ ἀδιαθέτου ἐξ ἴσης μοίρας ἔρχεσθαι, ὥστε μὴ τοὺς παῖδας πεπλασμέναις κατηγορίαις κατακρίνεσθαι μήτε τινὰ περιγραφὴν ἐν ταῖς γονέων περιουσίαις ὑπομένειν. εἰ μέντοιγε συμβαίνοι ἔν τισι τοιαύταις διαθήκαις ἢ λεγάτα τινὰ ἢ καὶ τὰ πίστει τινὶ καταλιμπανόμενα ἢ ἐλευθερίας ἢ ἐπιτρόπων δόσεις καταλειφθῆναι ἢ ἄλλα οἱαδήποτε κεφάλαια τοῖς νόμοις ἐγνωσμένα ὀνομασθῆναι, ταῦτα πάντα κελεύομεν πληροῦσθαι καὶ δίδοσθαι ἐκείνοις οἷς κατελείφθη, ὡς εἰ κατὰ τοῦτο τὸ μέρος μὴ ἀνατραπεῖσα ἡ διαθήκη ἐκράτει.

ιε'. Καὶ ταῦτα μὲν περὶ τῶν διαθηκῶν τῶν γονέων διετυπώσαμεν. δίκαιον δὲ εἶναι συνείδομεν καὶ ἐκ τοῦ ἐναντίου περὶ τῶν διαθηκῶν τῶν παίδων τὰ αὐτὰ μετά τινος διαστίξεως διατυπῶσαι. θεσπίζομεν τοίνυν μὴ ἐξεῖναι τοῖς παισὶ τοὺς ἰδίους γονεῖς ἀποκλήρους καταλιμπάνειν ἢ καθ' οἱονδήποτε τρόπον τῶν ἰδίων πραγμάτων ἐφ' οἷς διατίθεσθαι ἐξουσίαν ἔχουσι τούτους παντελῶς ἀλλοτρίους ποιῆσαι, εἰ μὴ τὰς αἰτίας ἃς ἀριθμοῦμεν ἐν ταῖς ἰδίαις ἰδικῶς ἐγγράψαιεν διαθήκαις.

ις'. Ταύτας δὲ εἶναι κελεύομεν· εἰ οἱ γονεῖς εἰς ἀναίρεσιν ζωῆς τοὺς ἰδίους παῖδας παραδοῖεν, δίχα μέντοιγε αἰτίας εἰς καθοσίωσιν ἀναφερομένης.

BAYERISCHE STAATS-BIBLIOTHEK MÜNCHEN

ιζ'. Εἰ φαρμακείαις ἢ γοητείαις ἢ ἄλλῳ τρόπῳ οἱ γονεῖς τῇ τῶν παίδων ζωῇ ἐπιβουλεύσαντες ἀποδειχθεῖεν.

ιη'. Εἰ ὁ πατὴρ τῇ ἰδίᾳ νύμφῃ ἢ τῇ παλλακῇ τοῦ ἰδίου παιδὸς συμμιγείη.

ιθ'. Εἰ οἱ γονεῖς τοὺς ἰδίους παῖδας διαθήκας ποιήσασθαι κωλύσαιεν ἐν τοῖς πράγμασιν ἐν οἷς ἔχουσιν ἄδειαν τοῦ διατίθεσθαι, πάντων δηλαδὴ ἐπὶ τῇ κωλύσει τῶν τοιούτων διαθηκῶν φυλαττομένων ἅπερ ἐπὶ τῷ τῶν γονέων προσώπῳ διεστίξαμεν.

κ'. Εἰ συμβαίη τὸν ἄνδρα τῇ ἑαυτοῦ γαμετῇ εἰς ἀναίρεσιν ἢ εἰς ἔκστασιν τῆς διανοίας δοῦναι φάρμακον ἢ τὴν γαμετὴν τῷ ἀνδρὶ, ἢ ἄλλῳ τρόπῳ τὸν ἕτερον τῇ τοῦ ἑτέρου ζωῇ ἐπιβουλεῦσαι, τὸ μὲν τοιοῦτον ἔγκλημα οἷα πούβλικον ὑπάρχον κατὰ τοὺς νόμους ἐξετάζεσθαι καὶ νομίμης ἐκδικήσεως ἀξιοῦσθαι θεσπίζομεν, τοῖς δὲ παισὶν ἄδειαν εἶναι ταῖς ἰδίαις διαθήκαις μηδὲν ἐκ τῶν ἰδίων περιουσιῶν ἐκείνῳ τῷ προσώπῳ καταλιμπάνειν τῷ τὸ τοιοῦτον μῦσος πεπραχέναι γινωσκομένῳ.

κα'. Εἰ τῶν παίδων ἢ ἑνὸς ἐξ αὐτῶν ἐν μανίᾳ τυγχάνοντος οἱ γονεῖς φροντίσαι αὐτοῦ ἀμελήσαιεν, πάντα καὶ ἐνταῦθα παραφυλάττεσθαι προστάττομεν, ἅτινα περὶ τῶν μαινομένων γονέων ἀνωτέρω ἐθεσπίσαμεν.

κβ'. Τούτοις τοῖς θέμασι καὶ τὴν τῆς αἰχμαλωσίας συμφορὰν προστίθεμεν, ἐν ᾗ εἰ τοὺς παῖδας παρακρατεῖσθαι καὶ διὰ τῆς τῶν γονέων καταφρονήσεως ἢ ἀμελείας μὴ ἀναῤῥυσθέντας τελευτῆσαι συμβαίνοι, μηδαμῶς τοὺς τούτων γονεῖς εἰς τὰς περιουσίας ἔρχεσθαι τῶν παίδων ἐν αἷς διατίθεσθαι οἱ παῖδες ἠδύναντο, ἀλλὰ πάντα καὶ ἐν τούτῳ τῷ κεφαλαίῳ φυλάττεσθαι ἅπερ καὶ περὶ γονέων καὶ συγγενῶν τῶν ἐξ ἀδιαθέτου εἰς τὰ τῶν τοιούτων προσώπων δίκαια καλουμένων ἢ περὶ τῶν ἐξωτικῶν γραφομένων κληρονόμων ἀνωτέρω διετυπώσαμεν.

κγ'. Εἴ τις ἐκ τῶν μνημονευθέντων παίδων ὀρθόδοξος τυγχάνων αἴσθηται τὸν ἴδιον γονέα ἢ γονεῖς μὴ εἶναι ὀρθοδόξους, ταῦτα καὶ ἐπὶ ἐκείνων τῶν προσώπων κρατεῖν ἅπερ ἀνωτέρω περὶ τῶν γονέων διετυπώσαμεν.[5]

κδ'. Εἰ δὲ ταῦτα μὴ παραφυλαχθείη μηδεμίαν δύναμιν ἐν τῇ τοιαύτῃ διαθήκῃ τό γε εἰς τὴν ἔνστασιν τῶν κληρονόμων ἔχειν θεσπίζομεν, ἀλλὰ ἀνατρεπομένης τῆς διαθήκης τοῖς ἐξ ἀδιαθέτου εἰς τὴν τοῦ τελευτήσαντος κληρονομίαν καλουμένοις

---

[5] Prochiri § 27, quam omittit G, habet V.

τὰ ἐκείνου πράγματα δίδοσθαι διατυποῦμεν, τῶν λεγάτων δηλονότι καὶ τῶν πίστει παρ᾽ αὐτοῦ καταλιμπανομένων καὶ τῶν ἐλευθεριῶν καὶ τῶν δόσεων τῶν ἐπιτρόπων καὶ τῶν ἄλλων κεφαλαίων καθάπερ ἀνωτέρω εἴρηται τὴν ἰδίαν ἐχόντων ἰσχύν. εἰ δὲ περὶ λεγάτου ἢ πίστει τινὶ παρ᾽ αὐτοῦ δοθέντος ἢ ἐλευθεριῶν ἢ ἄλλων οἱωνδήποτε κεφαλαίων ἐν ἄλλοις νόμοις εὑρεθῇ ταύτῃ τῇ διατάξει ἐναντίον, τοῦτο κρατεῖν κατ᾽ οὐδένα τρόπον βουλόμεθα. καὶ αὗται μὲν τῶν ἀποκλήρων ἢ παρασεσιωπημένων ἤτοι ἀμνημονεύτων αἱ ποιναὶ τό γε εἰς τὰς τῆς ἀχαριστίας αἰτίας τῶν εἰρημένων προσώπων διετυπώθησαν· εἴ τινες δὲ ἐξ αὐτῶν εἰς ἐγκλήματα ἀναφέρεται τοὺς τούτων πράκτορας καὶ τὰς ἄλλας ὑπομένειν ποινὰς τὰς τοῖς νόμοις διωρισμένας. ταῦτα δὲ διετυπώσαμεν ἵνα καὶ τοὺς παῖδας ἀπὸ τῆς τῶν διαθηκῶν ὕβρεως ἐλευθερώσωμεν.

κε΄. Εἰ δέ τινες κληρονόμοι ὀνομασθεῖεν καὶ εἰ ῥητοῖς πράγμασιν ἀρκεσθῆναι προσταχθεῖεν, ἐν τούτῳ τὴν μὲν διαθήκην μὴ ἀνατρέπεσθαι προστάττομεν, ὅπερ δ᾽ ἂν ἔλαττον αὐτοῖς τῆς ἐκ τῶν γονέων μοίρας καταλειφθείη, τοῦτο κατὰ τοὺς ἄλλους ἡμῶν νόμους παρὰ τῶν κληρονόμων ἀποπληροῦσθαι τοῖς ἧττον ἔχουσι κατὰ τὸ νόμιμον μέρος.

κϛ΄. Καὶ τοῦτο ἡμῖν ἔδοξεν εὐσεβές τε ἅμα καὶ χαρίεν, ἵνα ὁ τελείαν ἄγων ἡλικίαν μὴ δύνηται τὸν συγγενῆ αὐτοῦ ἐξ ἀδιαθέτου κληρονομεῖν, παρ᾽ οὗ προσκληθεὶς ἐπὶ ἐκδικήσει οἰκείου πράγματος κατημέλησε χωρὶς εὐλόγου προφάσεως.

κζ΄. Ὁ ἐνήλικος ἀνηλίκῳ συζῶν οὐ δύναται τοῦτον ἐξ ἀδιαθέτου κληρονομεῖν μὴ ἐκδικῶν τὰ αὐτοῦ πράγματα.

κη΄. Ὁ συγγενῆ κεκτημένος ἢ κωφὸν ἢ ἄλαλον ἢ ἄφρονα ἢ μαινόμενον εἰ μὴ προμηθούμενος διεκδικῇ αὐτῶν τὰ πράγματα, οὐ δύναται αὐτοὺς κληρονομεῖν. τὰ αὐτὰ καὶ περὶ αἰχμαλώτων.

ΤΙΤΛΟΣ λϛ΄.

Περὶ ἐπιτρόπων καὶ κουρατόρων.

α΄. Τίτλος περὶ ἐπιτροπῆς. τῶν μὲν αὐτεξουσίων οἱ μὲν ἐπιτροπεύονται οἱ δὲ κουρατορεύονται, οἱ δὲ οὐκ ἐπιτροπεύονται οὐδὲ κουρατορεύονται. ἀλλ᾽ ἐπειδὴ πολλοί εἰσιν οἱ μηδετέρου μετέχοντες, εἴπωμεν τοὺς ἐπιτροπευομένους καὶ κουρατορευομένους· οἱ γὰρ μὴ ὄντες ἐν τούτοις δηλονότι ἐν ἐκείνοις εἰσίν.

καὶ πρότερον σκοπήσωμεν περὶ τῶν ὑπὸ ἐπιτρόπων τελούντων. τέως δὲ ὀφείλεις εἰδέναι ὅτι ἀλλότριον ὑπεξουσίων ἐστὶ τὸ ἐπιτροπεύεσθαι, ἴδιον δὲ τῶν αὐτεξουσίων. καὶ τέως ὁρισόμεθα τί ἐστιν ἐπιτροπή.[1]

β'. Ἐπιτροπή ἐστιν, ὡς ὁ ῥέσδιος ὁρίζεται, δίκαιόν τι καὶ ἐξουσία κατὰ ἐλευθέρας κεφαλῆς δεδομένη καὶ πρὸς ἀσφάλειαν αὐτῆς ἐπινενοημένη ἢ διὰ τὸ τῆς ἡλικίας ἀτελὲς ἢ διὰ τὸ τῆς εὐπραγίας ἀληθὲς ἐπιτετραμμένη.[2] ὡς εἴρηται β' ἰνστ. καὶ κδ' διὰ πάσης περιλαβὼν γενικῶς ὅτι οὐ δεῖ ἐκ τῶν προσώπων τὸ πλῆθος κρίνεσθαι τῶν ἐπιτρόπων, ἀλλ' ἐκ τῶν οὐσιῶν.[3]

γ'. Οἶδεν καὶ πενία παραίτησιν κηδεμονίας ποιεῖν.[4]

δ'. Μάθωμεν τίνας οἷόν τε καταλιμπάνειν. καταλιμπάνομεν οὐ μόνον αὐτεξουσίους, ἀλλὰ καὶ ὑπεξουσίους. καὶ τὸν ἡμέτερον οἰκέτην ἐν τῇ διαθήκῃ cum libertate τουτέστι μετὰ ἐλευθερίας ὀρθῶς ἐπίτροπον δίδομεν. εἰ δὲ κατέλιπον μὲν τὸν οἰκέτην ἐπίτροπον τῷ ἐμῷ παιδὶ, ἐλευθερίαν δὲ αὐτῷ οὐ προέγραψα, ἀλλὰ τὸ λεγόμενον σίνε λιβερτάτε αὐτὸν κατέλιπον ἐπίτροπον, διὰ τὴν περὶ τοὺς ἀνήβους σπουδὴν ἤρεσε σιωπηρὰν ἐλευθερίαν δίρεκταν ἐλευθερίαν, ἵνα ἅμα τῇ τελευτῇ τοῦ διατιθεμένου ἀνεμποδίστως ὁ οἰκέτης τῆς δουλείας ἀπαλλαγεὶς ἀντιλάβηται τῆς ἐπιτροπῆς.[5]

ε'. Ἀλλότριος οἰκέτης ἐν διαθήκῃ ἀχρήστως ἐπίτροπος δίδοται. οὕτω μέντοι δυνατόν· ἔστω. ἐπειδὴ τὸν ἐν ἡμετέρᾳ ὄντα ὑπεξουσίᾳ τοῦτον εἰς τύχην ἐνάγειν οὐκ ὀφείλομεν.[6]

ς'. Οὐ δύναμαι ἐπὶ τῷ ῥητῷ πράγματι ἢ ῥητῇ αἰτίᾳ ἐπίτροπον καταλιμπάνειν· οἷον ἔστω ὁ δεῖνα ἐπίτροπος ἐπὶ τῷδε τῷ ἀγρῷ ἢ ἐπὶ τῇδε τῇ δίκῃ. προσώπῳ γὰρ εἴωθεν ὁ ἐπίτροπος δίδοσθαι, οὐ μὴν αἰτίᾳ ἢ πράγματι.[7]

ζ'. Ὁ μὲν γὰρ ἐπίτροπος ἀνήβων μόνον ἐστὶν ἐπίτροπος, οἱ δὲ κουράτορες ἐφήβων, ἐστὶ δὲ καὶ ὅτε καὶ ἀνήβων. ἐπίτροπος ἐν διαθήκῃ καλῶς δίδοται, ἀνισχύρως δὲ ὁ κουράτωρ. ἄκων οὐδεὶς κουρατορεύεται, ἐπιτροπεύεται δέ τις καὶ μὴ θέλων.[8]

η'. Ἐπίτροπος ἐπὶ φανερᾷ δίκῃ δοθῆναι οὐ δύναται, κουράτωρ δὲ καὶ πάνυ. κουρατορεύονται δὲ πρὸς τοῖς ἀφήλιξι

---

[1] Theoph. 1, 13 pr. [2] Theoph. 1, 13 § 1. [3] Theoph. 1, 25, 5. [4] Theoph. 1, 25, 6. [5] Theoph. 1, 14 pr. § 1. [6] Theoph. cit. § 1 in fine. [7] Theoph. cit. § 4. [8] Theoph. 1, 23 pr. — § 2.

μαινόμενοι, ἔτι δὲ καὶ ἄσωτοι, κἂν μείζονες εἶεν τῶν κε' ἐνιαυτῶν.[9]

θ'. Ἐκστραορδίνως τιμωροῦνται οἱ ἐπὶ δόσει γινόμενοι ἐπίτροποι ἢ ἐπὶ χρήμασι σπουδάζοντες ἐπιτηδείους μὴ προβληθῆναι, καὶ οἱ ἐπίτηδες τὴν οὐσίαν ἐν τῷ ἀπογράφεσθαι μειοῦντες, καὶ οἱ προφανῶς ἐπὶ περιγραφὴν ἐκποιοῦντες τὸ πρᾶγμα τοῦ ὀρφανοῦ.[10]

ι'. Ἐὰν ἡ κληρονομία μὴ ἀπαιτηθῇ, οὐδὲν τῶν ἐν τῇ διαθήκῃ ἔῤῥωται. εἰ δὲ ἀπὸ πολλῶν κἂν εἷς ἀδιτεύσει, παραχρῆμα ἡ ἐπιτροπὴ ἰσχύει.[11]

ια'. Ἐὰν ἐν διαθήκῃ ἐδόθη τὶς ἐπίτροπος καὶ ἄλλος ἐν κωδικέλλῳ ἐαθῇ, οἱ δύο καλῶς ἐπιτροπεύουσιν, εἰ μὴ ἄρα οὐκ ἠθέλησεν ὁ διαθέμενος.[12]

ιβ'. Ἐγγύας μὴ ἀπαιτείσθω ὁ καταλειφθεὶς παρὰ τοῦ πατρὸς κουράτωρ, κἂν τάχα μαινόμενοί εἰσιν οἱ παῖδες, ὅρκον δὲ διδότω ἐφαπτόμενος τῶν ἁγίων εὐαγγελίων, παρουσίᾳ τοῦ ἄρχοντος καὶ τοῦ ἐπισκόπου καὶ ἄλλων τριῶν μαρτύρων, ὅτι πάντα ἐπ' ὄφελος πρὸς τὸ συμφέρον τοῦ μαινομένου διοικεῖ. μετὰ δὲ τὸν ὅρκον καὶ καταγραφὴν ποιεῖν εἰς τὰ τοῦ κουρατορευομένου πράγματα, ὑποκειμένης τῆς περιουσίας αὐτοῦ τοῖς λόγοις τῆς διοικήσεως.[13] ὡς βι. ε' τί. ο' διατ. ζ' τοῦ κώδ. — σχόλ. ἔχει δὲ σιωπηρὰν ὑποθήκην ὁ νέος εἰς τὰ πράγματα τοῦ κουράτορος. — ση. εἰ δὲ πολλοὶ προτείνουσι δοῦναι τὰς ἐγγύας, ὁ ἐπιτήδειος προτιμᾶται. — σχόλ. ἐπὶ τῶν μαινομένων ἐπίτροπος οὐ δίδοται, ἀλλὰ κουράτωρ. καὶ ἐὰν μὴ ἔχῃ ἀκίνητον οὐσίαν, ἐγγυητὴν δίδωσι δοκιμασίᾳ τοῦ ἐπισκόπου καὶ τοῦ πατρὸς[14] τῆς πόλεως. ὡς βι. ιβ' τί. κα' διατ. η' τοῦ κώδ.

ιγ'. Ὁ διδόμενος κουράτωρ ἐν διαθήκῃ τῷ μαινομένῳ ἐξομοσίᾳ καταπιστεύεται.[15]

ιδ'. Ἄδηλος ἐπίτροπος ἐν διαθήκῃ οὐ δίδοται. [δίδοται] οἱοσδήποτε, κἂν πραίτωρ ἐστὶ κἂν ὕπατος. δίδονται δὲ οἱ ἔχοντες τεσταμέντι φακτίονα.[16]

ιε'. Ὁ τεσταμεντάριος ἐπίτροπος τουτέστιν ὁ ἐν διαθήκῃ δοθεὶς ἐξκουσατεύων ἑαυτὸν ἐκπίπτει καὶ τῶν ληγατευθέντων τῷ υἱῷ αὐτοῦ, ἐὰν πρὸς τιμὴν αὐτοῦ καὶ οὐχ ὡς ἐπὶ τῷ υἱῷ κατελείφθησαν.[17]

---

[9] Theoph. cit. § 2 in fine et § 3. [10] Dig. 26, 1, 9. [11] Dig. 26, 2, 9. [12] Cod. 5, 28, 2. [13] Scil. § 5. [14] V ἄρχοντος. In Codice l. l. ad defensoris locorum arbitrium provocatur. [15] Cod. l. l. [16] Dig. 26, 2, 20. 21. [17] Dig. 26, 2, 28 pr.

ις'. Εἴσω ν' ἡμερῶν δύναται ὁ ἐπίτροπος ἐξκουσατεῦσαι ἑαυτὸν τῆς ἐπιτροπῆς.[18]

ιζ'. Ἐάν τις ἑαυτὸν ἐπίτροπον ἐν διαθήκῃ προσγράψῃ οἰκείᾳ χειρὶ, κἂν ἑτέρους ἐπιτρόπους ὁ παῖς ἔχῃ, οὐ δύναται χρήσασθαι ἐξκουσατίονι, οὔτε μὴν ὁ[19] ὕποπτος ἀποκινεῖται.[20]

ιη'. Ὁ ἀξιωματικὸς ἐπίτροπος ὢν καὶ μήτε ἀποθέμενος τὰ πουπιλλάρια χρήματα, μήτε εἰς ἀγορασίαν κτημάτων λαμβάνων αὐτὰ, οὐκ ἐμβάλλεται εἰς δεσμωτήριον.[21]

ιθ'. Ἀφ' οὗ μάθῃ ὅτι ἐδόθη ἐπίτροπος ἢ κουράτωρ δύναται εἴσω τῶν ν' ἡμερῶν ἐξκουσατεύειν αὑτὸν, κἂν ἐν διαθήκῃ ἐδόθη. ἡ δὲ ις' διάτ. τοῦ αὐτοῦ τί. λέγει εἴσω ἐνιαυτοῦ ἔχει ἐξκουσατίονα τῶν δικαζομένων αὐτῷ.[22]

Περὶ κληρονομίας. — κ'. Ἐκεῖ ἐνάγεται ὁ ἐπίτροπος ἔνθα διῴκησε τὴν ἐπιτροπήν.[23]

κα'. Ὁ νήπιος χωρὶς αὐθεντίας ἐπιτρόπου δικαστηρίῳ οὐχ ὑπόκειται.[24] οὐδὲ διὰ κουράτορος κληρονομία προσπορίζεται.

κβ'. Ὁ ἔχων ἐπίτροπον οὐ δέεται ἄλλου ἐπιτρόπου. ὁ δὲ ἔχων κουράτορα δίδοται ἄλλος κουράτωρ.[25]

κγ'. Ὁ κληρονόμος τοῦ ἐπιτρόπου ἀπὸ ῥαθυμίας τοῦ ἐπιτρόπου οὐκ ἐνάγεται.[26]

κδ'. Ἐὰν τελευτήσῃ ὁ ἐπίτροπος ἐπὶ νηπίῳ κληρονόμῳ καὶ ὁ τοῦ νηπίου ἐπίτροπος διοικήσει τὰ πράγματα τοῦ ἐπιτροπευθέντος, ὁ κληρονόμος τοῦ πρώτου ἐπιτρόπου ὑπὲρ ταύτης τῆς διοικήσεως οὐκ ἐνάγεται, ἀλλ' ὁ ἐπίτροπος αὐτοῦ.[27]

κε'. Ἐὰν ἐπιτροπεύων ἀπελεύθερος κακῶς διοικήσει τὰ τοῦ πάτρωνος πράγματα, τιμωρεῖται· ἀλλὰ καὶ ἀζήμιον τὸν ὀρφανὸν περιποιεῖται.[28]

κς'. Ὁ ἐπίτροπος κλέπτων τὰ τοῦ πουπίλλου πράγματα καὶ πωλῶν αὐτὰ οὐ ποιεῖ δεσπότην τὸν ἀγοράζοντα. τότε γὰρ δεσπότου τόπον ἐπέχει ὅτε ἐπ' ὄφελος τοῦ ἀνήβου, οὐχ ὅτε γυμνοῖ αὐτόν.[29]

---

[18] Cf. Dig. 27, 1, 13 § 1. F ὡς βι. β' τί. ζ' καὶ δ' διατ. ς'. Deinde V addit σχόλ. ἀσφαλεστέρα γὰρ τῶν ἐγγυῶν ἡ δόσις τῆς τοῦ τελευτήσαντος μαρτυρίας. εἰκὸς ἦν πλανηθῆναι, ὡς καὶ τὸν ἄρχοντα ἐν τῇ ζητήσει εἰς τὸ δοῦναι ἐπίτροπον. ὡς βι. α' ἰνστ. καὶ κγ'. [19] Lege ὡς. [20] Dig. 26, 2, 29. [21] Dig. 26, 10, 3 § 16. — V addit ὡς βι. λζ' τί. ς' διγ. α'. [22] Theod. Cod. 5, 62, 6. [23] Cod. 3, 21, 1. [24] Cod. 3, 6, 1. Verba οὐδὲ — προσπ. F non habet. [25] Dig. 26, 5, 20 § 1. [26] Cod. 6, 54, 1 (cf. etiam Dig. 26, 7, 4 § 1). [27] Dig. 3, 5, 31 § 5. [28] Theod. Cod. 5, 37, 4. [29] F addit βι. κς' τί. ζ' διγ. ϙμβ'. Cf. Dig. 26, 7, 27.

κζ'. Μετὰ τὴν ἥβην ὁ πούπιλλος οὐκ ἐπιτροπεύεται, κουρατορεύεται δὲ, δηλονότι ὑπερβαίνων τὰ ιδ' ἔτη.[30]

κη'. Ὁ διὰ κέρδος ἴδιον ἀνεπιτήδειον ἐπίτροπον προσλαμβανόμενος αὐστηρῶς τιμωρεῖται.

κθ'. Σούσπεκτός ἐστιν τουτέστιν μεμπτέος ἐπίτροπος ὁ ἐπιτηδεύων ἐπιτροπεῦσαι.[31]

λ'. Ἄνηβοι τοὺς οἰκείους ἐπιτρόπους οὐκ ἐξωθοῦσι, ἔφηβοι δὲ τῶν κουρατόρων κατηγορήσουσι, γνώμῃ μέντοι τῶν ἀναγκαίων προσώπων, οἷον συγγενῶν καὶ τῶν κατὰ ἀγχιστείαν αὐτοῖς συναπτομένων.[32]

λα'. Οἱ παρὰ μητρὸς διδόμενοι ἐπίτροποι μετ' ἐγγράφου βεβαιοῦνται, οἱ δὲ παρὰ πατρὸς ἀνυποστάτως διδόμενοι χωρὶς ἰνδεβητος[33] τουτέστιν ἐγγράφου, εἰ μὴ ἄρα ἀπὸ φίλων ἐχθροὶ ἢ πένητες ἐξ εὐπόρων γεγόνασιν.[34]

λβ'. Ὁ μὲν ὑπὸ ἄρχοντος[35] ἐπίτροπος, ἐὰν ἕτερος φανῇ λεγήτιμος, εὐθέως ἀποτίθεται τὴν ἐπιτροπὴν,[36] ὁ δὲ τεσταμεντάριος τουτέστιν ὁ γραφεὶς εἰς τὴν διαθήκην καὶ λεγητίμου φανέντος. ὡσανεὶ γὰρ εἴπαται[37] τῷ τεσταμενταρίῳ λεγήτιμος ἐπίτροπος.

λγ'. Δημευθέντος τοῦ ἐπιτρόπου κουράτωρ εἰς τὸν τόπον αὐτοῦ δίδοται.[38]

λδ'. Χρεωστεῖ ὁ ἐπίτροπος τὸν συνεπίτροπον ἱκανὰ ἀπαιτεῖν εἰ μὴ δέδωκεν ἢ ὡς σούσπεκτον ἀποκινεῖν.[39]

λε'. Οἱ λόγοι τῆς ἐπιτροπῆς καὶ χωρὶς δικαστηρίου δύνανται δίδοσθαι. καὶ δοῦλοι τοῦ πουπήλου πρὸς κατάληψιν τῆς ἀληθείας ἐρωτῶνται.[40]

λς'. Ὁ πούπηλος ἕως ὅτε περίεστιν ἔχει τὸ τῆς τουτέλαε προνόμιον, οὐ μὴν καὶ ὁ κληρονόμος αὐτοῦ.[41] — ση. ὁ ἐν δύο ἐπιτρόποις διοικήσας πρὸ τοῦ μὴ διοικήσαντος ἐνάγεται.

λζ'. Ὁ ἐπίτροπος κατὰ ἄγνοιαν μείζονα τῆς προικὸς ἐπαγγειλάμενος προῖκα καὶ ἀπαιτούμενος ἔχει κατ' αὐτῆς ἀγωγὴν καὶ ἢ ἵνα λάβῃ ἃ ἐπηγγείλατο καὶ δῴη, ἢ ἵνα λάβῃ παρὰ τοῦ ἀνδρὸς ἀκερτηλάτιον τουτέστιν ἀποχήν.[42]

---

[30] F intercalat §: Ὁ ἐπίτροπος μὴ ποιῶν ἰμβεντάριον τῶν ὀρφανικῶν πραγμάτων ὡς σούσπεκτος ἀποκινεῖται καὶ ἀτιμοῦται καὶ οὐδὲ διὰ θείας ἀντιγραφῆς ἀπαλλάττεται τῆς ἀτιμίας (Cod. 5, 51, 13). [31] Cf. Dig. 26, 5, 21 § 6. [32] Theoph. Inst. 1, 26, 4. [33] ἰνκουισιτιόνος lege. [34] Dig. 26, 3, 2. 8. [35] Supple δοθείς. [36] Cod. 5, 34, 9. [37] Verba γὰρ εἴπαται, quae G praestat, desunt in V. [38] Dig. 27, 3, 9 § 6. [39] Cf. Dig. 26, 7, 3 § 2 et 10, 5. 6. [40] Dig. 26, 7, 34. [41] Dig. 26, 7, 42. 42, 5, 19 § 1. [42] Dig. 26, 7, 43 § 1.

λη'. Ὅτε μήτηρ κατὰ κέλευσιν τοῦ ἀνδρὸς αὐτῆς διὰ τὸν τῆς εὐσεβείας θεσμὸν διοικεῖ τὰ τῶν τέκνων αὐτῆς, οὔτε κινεῖν δύναται τὰς ἁρμοζούσας αὐτοῖς ἀγωγάς, οὐδὲ ἄκτορα προβάλλεσθαι ἐν δίκῃ αὐτῶν, οὐδὲ πράγματα αὐτῶν ἐκποιῆσαι. οὐδὲ χρεώστης αὐτῶν καταβαλὼν ἐλευθεροῦται.[43]

λθ'. Οἱ στρατηγοὶ μὴ λαβόντες ἀξιοπίστους ἐγγυητὰς τοῦ ἐπιτρόπου ἐνάγονται ἐξ ἀπορίας αὐτῶν ἐφ' οἷς μὴ λαμβάνῃ παρὰ τοῦ ἐπιτρόπου ὁ νήπιος.[44]

μ'. Οὐκ ἐπιτροπεύει οὐδὲ κουρατορεύει ὁ μείζων τῶν ο' ἐτῶν.[45] — ση. ἐξ ἀναζητήσεως τῶν ἀρχόντων οἱ δοθέντες ἐπίτροποι ἢ κουράτορες εἴωθεν ταῦτα ἐπιζητεῖν· εἰ εὔπορός ἐστιν, εἰ σώφρων τὸν βίον, εἰ ἔχει ἐνέχυρα βίου τουτέστι παῖδας (ὁ γὰρ παῖδας ἔχων οἶδεν ὅπως δεῖ προσφέρεσθαι τοῖς ὀρφανοῖς οἷς εἰς τάξιν δίδοται πατρὸς), καὶ εἰ στοργὴν ἔχει περὶ ἐνεγκαμένην.[46]

μα'. Ὁ προκουράτωρ ἐπὶ τῷ προδοῦναι τὴν δίκην ἣν ἐπιστεύθη λαμβάνων χρήματα κερδαίνει αὐτὰ ὡς ἐπὶ αἰσχρᾷ αἰτίᾳ ἑκατέρων διδόμενα.

μβ'. Οὐ ποιεῖ τὸν ἐπίτροπον ὕποπτον ἡ πενία αὐτοῦ ἀλλ' ἡ πονηρὰ προαίρεσις.[47]

μγ'. Ἐὰν οἱ κηδεμόνες ἀρνήσονται ὑπὲρ τῶν νέων, αὐτοὶ καὶ οὐχ οἱ νέοι τὰς ποινὰς ὑφέξουσιν.[48]

μδ'. Ὁ ἐλάττων τῶν κε' ἐνιαυτῶν οὐκ ἐπιτροπεύει. πῶς γὰρ τὸν δεόμενον ἑτέρου κηδεμονίας τὴν ἑτέρου διοικεῖν περιουσίαν;[49]

με'. Οἱ ἄῤῥενες ἔτι δὲ καὶ αἱ θήλειαι ἔφηβοι γεγονότες κουρατορεύονται μέχρις οὗ τὸν κε' ἐνιαυτὸν ὑπερβῶσιν. εἰ καὶ τὰ μάλιστα γάρ εἰσιν ἔφηβοι. ἐπίτροπος δὲ ἐπὶ φανερᾷ δίκῃ οὐ δίδοται, κουράτωρ δὲ δίδοται.[50]

μϛ'. Ἄσωτοι καὶ μαινόμενοι κἂν μείζονες ὦσι τῇ ἡλικίᾳ κουρατορεύονται ὑπὸ τῶν ἰδίων συγγενῶν.[51]

μζ'. Ἐν τῇ ῥώμῃ ὁ τῆς πόλεως ἔπαρχος ἢ πραίτωρ δίδωσιν ἐπιτρόπους ἢ κουράτορας, ἐν δὲ ταῖς ἐπαρχίαις οἱ ἄρχοντες διδόασιν τοῖς μαινομένοις καὶ ἀσώτοις.[52]

μη'. Κανών ἐστιν ὁ λέγων· τῷ ἐπίτροπον ἔχοντι ἐπίτρο-

---

[43] F addit ὡς βι. γ' τί. ε' διγ. λϛ' (imo dig. 31 § 6). [44] Dig. 26, 7, 53. [45] Cod. 5, 68, 1. [46] Theoph. Inst. 1, 24 pr. [47] Cf. Dig. 42, 5, 31 § 1. [48] Cf. Dig. 26, 7, 7 § 10. [49] Theoph. Inst. 1, 19 in fine. [50] Theoph. 1, 23 pr. § 2. [51] Theoph. eod. § 3. [52] Theoph. l. l.

πος δοθῆναι οὐ δύναται, ἀλλὰ κουράτωρ, ἐὰν ὁ ἐπίτροπος νοσῇ ἢ ὑπὸ ἑτέρας ἀνάγκης ἐμποδίζεται.[53]

μθ΄. Ἡ ἐπιτροπευθεῖσα ὑπὸ τοῦ ἰδίου θείου καὶ κληρονομήσασα αὐτὸν ἐκ μέρους, εἰς μόνον ἐκεῖνο τὸ μέρος ὑπομένει σύγχυσιν, τὸ δὲ λοιπὸν δύναται ἀπαιτεῖν παρὰ τῶν ἰδίων συγκληρονόμων. τυχὸν λ΄ νομισμάτων ἦν τὸ χρέος· αὐτὴ μὲν κατὰ τὸ κληρονομιαῖον μέρος εἰς τὸ τρίτον ὑπομένει σύγχυσιν, ὅτε οὐκ ἔλαττον τῶν λ΄ νομισμάτων ἐστὶν ἡ κληρονομία αὐτῆς.

ν΄. Ἡ ἐπιτροπεύουσα τῶν ἑαυτῆς παίδων εἰ γαμήσει, ἐνέχεται ταῖς κατὰ [τῆς πρὸ] τοῦ πενθίμου χρόνου δευτερογαμησάσης ποιναῖς. ὑποκείμενα τὰ αὐτῆς πράγματα, οὐ μὴν ἀλλὰ καὶ τὰ τοῦ δευτέρου ἀνδρὸς αὐτῆς τοῖς ἐκ τοῦ πρώτου γάμου τεχθεῖσιν αὐτῆς παισίν. καὶ οὐδὲ τὸν ἄνηβον αὐτῆς παῖδα διαδέχεται. ταῦτα κρατεῖ κἂν τοὺς φυσικοὺς αὐτῆς παῖδας ἡ μήτηρ ἐπιτροπεύουσα δευτερογαμήσῃ.[54]

να΄. Φροντιζέτω τὰς ἱκανοδοσίας τῶν ἐπιτρόπων καὶ τῆς ἀπογραφῆς τῆς οὐσίας τῶν ὀρφανῶν ὁ πραίτωρ παρόντος τοῦ σκρίβα. φησὶ ϙδ΄ νεαρὰ διαγορεύει ὅτι ὁ σκρίβας καταδέχεται τοῦ ὀρφανοῦ τὴν οὐσίαν, καὶ μὴ ὑπογραψάμενος ἢ ἱκανὴν ἐγγύην λαβὼν ἐνέχεται.[55]

νβ΄. Οὐ μόνον εἰς τὸ ἐπιδοῦναι προῖκα γίνεται κουράτωρ ἀλλὰ καὶ τῇ γεγαμημένῃ εἰς τὸ αὐξῆσαι τὴν προῖκα καὶ εἰς τὸ ἐναλλάξαι.[56] καὶ ἀπολιμπανομένου τοῦ ἐπιτρόπου κουράτωρ δίδοται.[57]

νγ΄. Ὁ πάτρων[58] ἐκείνων τῶν παίδων μόνων ἀναγκάζεται ἐπιτροπεύειν τῶν ἐλπιζόντων ἔχειν ἐπ᾽ αὐτῷ τὰ πατρωνικὰ δίκαια.[59]

νδ΄. Τὴν γαστέρα οὐκ ἐπίτροπον ἀλλὰ κουράτορα διδόασιν οἱ ἄρχοντες. γυνὴ δὲ οὐκ ἐπιτροπεύει.[60]

νε΄. Οἱ ἀγαθοὶ τρόποι ἀξιοπιστότεροί εἰσι πρὸς ἐπιτροπὴν καὶ οὐσίας καὶ ἀξιωμάτων. καὶ ἐν ἐπιστολῇ δίδοται ἐπίτροπος.[61]

νϛ΄. Ὑποπίπτει τοῖς προειρημένοις ἡ μήτηρ ἐὰν μὴ αἰτήσῃ κομφιρματευθῆναι τοὺς ἀνισχύρως παρὰ τοῦ πατρὸς δοθέντας ἐπιτρόπους. οὐχ ὑποπίπτει ἡ μήτηρ μὴ αἰτοῦσα ἕτερον. ἐὰν δὲ κατηγορουμένου τοῦ ἐπιτρόπου ψηφισθῇ προσζευχθῆναι αὐτῷ

---

53 Theoph. eod. § 5. 6. 54 Theod. Nov. 22 § 42. 55 Theod. Nov. 94.
56 Dig. 26, 5, 7. 57 Dig. eod. 15. 58 Imo ὁ ἀπελεύθερος.
59 Dig. eod. 14. 60 Dig. eod. 20 pr. 21 pr. 61 Dig. eod. 21 § 5.

ἄλλους καὶ μὴ αἰτήσῃ τούτους ἡ μήτηρ ὑποπίπτουσα τῆς ἐξ ἀδιαθέτου τοῦ παιδὸς στερεῖται διαδοχῆς.[62]

νζʹ. Ὅπου ἡ κληρονομία ἐκεῖ καὶ ἡ ἐπιτροπὴ, πλὴν γυναικὸς, κατὰ τὸν κανόνα τὸν λέγοντα· ἔνθα τῆς διαδοχῆς ἐστι τὸ κέρδος, ἐκεῖ καὶ τῆς ἐπιτροπῆς τὸ βάρος εἶναι χρή. ὡς βι. αʹ ἰνστ. ιςʹ.[63]

νηʹ. Οἱ ἀπὸ ἡλίου ὄντες τελείαν ἀλειτουργησίαν ἔχουσιν εἰς τὸ ἐπιτροπεύειν τῶν μὴ ἀπὸ ἡλίου ὄντων.[64]

νθʹ. Τῶν κληρονόμων διασκεπτομένων κουράτωρ δίδοται τῇ κληρονομίᾳ.[65]

ξʹ. Ἐὰν ἄπεισιν οἱ δοθέντες ἐπίτροποι ἢ κουράτορες εἴσω λʹ ἡμερῶν διὰ τῶν στρατηγῶν αὐτοῖς γινώσκεται.[66] — ση. εἴτε ἐντὸς ἑκατοστοῦ μιλίου εἴτε περαιτέρω τοῦ ἑκατοστοῦ διατρίβουσι μιλίου. ψήφου γενομένης κʹ μίλια καθ᾽ ἑκάστην ἡμέραν παρέχομεν, ἅπερ ὀφείλει ποιεῖν ὁ κληθεὶς ἐπίτροπος ἐπὶ τῷ παραγενέσθαι· οἷον ἀφέστηκε σʹ μίλια, μεθ᾽ ὃ ἔγνω ἔχει εἰς μὲν τὴν ὁδὸν κʹ[67] ἡμέρας, μετὰ δὲ τὴν ἄφιξιν μʹ.[68]

ξαʹ. Τότε γὰρ ἡ ἔκκλητος ἀναγκαία, ὅτε τὶς χρησάμενος τῇ ἐξκουσατίονι μὴ κρατήσῃ τοὺς ἀγῶνας, ὥς φησιν ὁ μάρκος. τὴν δὲ ἀρχθεῖσαν ἐπιτροπὴν μὴ διαλύειν, εἰ δὲ μέλλουσαν, παραιτεῖσθαι. εἴσω νʹ ἡμερῶν ἐφεξῆς τρεχουσῶν, οὐ μὴν οὐτιλίων ταύτῃ χρήσηται. ἐξ οὗ γὰρ ἔγνω ἑαυτὸν ἐπίτροπον δίδοσθαι ἄρχονται τρέχειν. κεχρήσθωσαν τῇ ἐξκουσατίονι εἴτε τεσταμεντάριος ἀπὸ διαθήκης εἴτε λεγίτιμοι τουτέστι νόμιμοι εἴτε πάτρωνές εἰσιν.[69]

ξβʹ. Οὐδεὶς ἐγχειρίζει πλέον τῶν γʹ ἐπιτροπῶν, ὅτι ὁ ἔχων γʹ ἐπιτροπὰς ἔχει ἐξκουσατίονα.[70]

ξγʹ. Ἐὰν χωρὶς εὐλόγου αἰτίας μὴ ποιήσῃ ἴνβεντον τουτέστι καταγραφὴν ὁ ἐπίτροπος, δόλον ἁμαρτάνει καὶ ὑπόκειται τῷ ἰνλίτεμ ὅρκῳ εἰς τὸ διαφέρον καὶ ἀτιμοῦται, καὶ οὐδὲ διὰ θείας ἀντιγραφῆς ἀπαλλάττεται τῆς ἀτιμίας.[71]

ξδʹ. Ἐὰν ἐπίτροπος ὑπέρθηται πωλῆσαι τὰ εὔφθαρτα, ἐνέχεται, καὶ οὐκ εὐχερῶς συγγινώσκεται λέγων, ὅτι συνεπιτρόπους ἐξεδεχόμην.[72]

ξεʹ. Οὐ παραχρῆμα δὲ τοὺς τόκους ἀπαιτεῖται, ἀλλ᾽ ἔχει

---

[62] Dig. 26, 6, 4. [63] Theoph. 1, 17 pr. [64] Dig. 27, 1, 17 § 1. [65] Dig. 27, 10, 3. [66] Dig. 26, 5, 29. [67] Lege ιʹ. [68] Theoph. Inst. 1, 25, 17. [69] Theoph. l. l. [70] Theod. Cod. 5, 69, 1. [71] Dig. 26, 7, 7 pr. et Cod. 5, 51, 13. [72] Dig. 26, 7, 7 § 1.

ὁ ἐπίτροπος δύο μῆνας λαξάμεντον ὅπερ [οὐκ] ἔχουσιν οἱ τοῖς χρήμασι συγχρησάμενοι. εἰ δὲ καὶ τοῖς ἀπαιτηθεῖσι τόκοις οἱ κηδεμόνες συγχρήσωνται καὶ αὐτῶν διδόασι τοὺς τόκους.[73]

ξϛʹ. Ἐὰν ἐπίτροπος μὴ ποιήσῃ σούσπεκτον τὸν συνεπίτροπον αὐτοῦ, οὐ[74] καταδικάζεται ὑπὲρ αὐτοῦ, καὶ δίδωσι τόκους οὓς ἀναγκάζεται παρασχεῖν ὑπὲρ τῆς ἰδίας διοικήσεως.[75]

ξζʹ. Ὁ ἐπίτροπος οὐ δύναται ὀνόματι τοῦ ἀνήβου ἐνάγειν τὸν συνεπίτροπον αὐτοῦ.[76] σκοπεῖν δὲ ὀφείλει μὴ δοῦναι ληγάτον ἢ φιδικόμισσον μήτε διδόναι γαμικὸν δῶρον τῇ μητρὶ ἢ τῇ ἀδελφῇ τοῦ ὀρφανοῦ, χορηγεῖν δὲ αὐταῖς ἀπόροις οὔσαις τὰς ἀναγκαίας τροφάς.[77] καὶ τὸ φάκτον τοῦ συνεπιτρόπου ἐπιγινώσκειν, ἐὰν ἠδύνατο καὶ ὤφειλεν αὐτὸν ποιῆσαι σούσπεκτον ἢ ἀπαιτῆσαι τὴν ἱκανοδοσίαν, εἰ μὴ ἄρα εὔπορος ὢν ἄφνω ἄπορος γέγονεν.[78]

ξηʹ. Ὁ ἐπίτροπος μὴ ἐνάγων τοὺς χρεώστας καὶ ἐν τοσούτῳ ἀπορήσωσιν, ἐνάγεται εἰς τὸ μὴ ἀπαιτηθὲν χρέος.[79] — ση. ἐὰν ἐνάγῃ τῷ ἑνὶ ἐπιτρόπῳ ὁ ὀρφανός, ὁ ἕτερος οὐκ ἐλευθεροῦται.[80]

ξθʹ. Τοιαύτην ἐπιμέλειαν οἱ ἐπίτροποι καὶ οἱ κουράτορες χρεωστοῦσιν, οἵαν ἐπιμέλειαν ὁ οἰκοδεσπότης ἐν τοῖς ἰδίοις καλῇ πίστει ποιεῖται.[81]

οʹ. Ἐπὶ μὲν τοῖς χειρισθεῖσι πρῶτοι ἐνάγονται οἱ διοικηθέντες καὶ μετ᾽ αὐτοὺς οἱ [μὴ] διοικήσαντες. ἐπὶ μέν[τοι] τοῖς μὴ διοικηθεῖσι πάντες ὁμοίως.[82]

οαʹ. Ὁ ἐπίτροπος μὴ ἐνάγων τῷ εὐπόρῳ κληρονόμῳ τοῦ γενομένου ἐπιτρόπου ἐνέχεται, ὥσπερ καὶ ὁ μὴ ποιῶν σούσπεκτον.[83]

οβʹ. Τὰς ἐκποιήσεις τῶν ἀνηλίκων πραγμάτων ἡ ἀγαθὴ πίστις βεβαιοῖ, ἐὰν μὴ πρὸς περιγραφὴν τοῦ ἀνήβου γένωνται. οἷον τὸ ἐλευθερῶσαι οἰκέτην εἶδος ἐκποιήσεως. — ση. ὁ ἐπίτροπος μὴ δεδωκὼς ἀσφάλειαν εἴ τι πράξει ἄκυρόν ἐστιν. ὡς βι. βʹ τί. μʹ διατ. [δʹ] τοῦ κώδ.

ογʹ. Ὁ ἐπίτροπος τότε ὡς δεσπότης διοικεῖ καὶ δεσποτείαν ἐκποιεῖ ὅτε καλῶς, οὐ μὴν ὅτε γυμνοῖ τὸν πούπηλον.[84]

οδʹ. Ὁ μήποτε ἀποθέμενος τὰ τοῦ πουπήλου χρήματα

---

[73] Dig. eod. § 11. 12. [74] Negatio delenda est. [75] Dig. eod. § 14. [76] Dig. tit. cit. 12 pr. [77] Dig. eod. 13 § 2. [78] Dig. eod. 14. [79] Dig. eod. 15. [80] Dig. eod. 18 § 1. [81] Dig. eod. 33 pr. [82] Dig. eod. 39 § 11. [83] Dig. eod. § 16. [84] Cf. Dig. 26, 7, 27.

μήτε κτησάμενος ἐξ αὐτῶν ἀγοράζων δεσμοῖς ἐμβάλλεται, εἰ μὴ ἐστὶν ἀξιωματικός.[85] ἀξίωμα δίδωσιν ἐξκουσατίονα ἐπιτρόπου. — ση. κατὰ τῶν ἐγγυητῶν οὐ δύναται κινεῖν ὁ πούπηλος ἔτι τῆς ἐπιτροπῆς ἐῤῥωμένης οὔσης.

οε΄. Οἱ ἐγγυώμενοι τὸν ἐπίτροπον μὴ διοικοῦντος αὐτοῦ οὐκ ἐνάγονται ὑπὲρ αὐτοῦ. καὶ μετὰ τὸ ἡβῆσαι τὸν πούπηλον ὑπόκειται τῆς ὑπερθέσεως καρποὺς καὶ τόκους ὁ ἐπίτροπος. καὶ οἱ ἐγγυηταὶ τοῦ ἐπιτρόπου οὐ βοηθοῦνται ἐκ τῆς ἀδριανοῦ ἐπιστολῆς εἰς τὸ διαιρεθῆναι κατὰ τῶν εὐπόρων τὴν ἀγωγὴν, ἀλλὰ καὶ εἷς ἐξ αὐτῶν τὸ πᾶν ἀπαιτεῖται. ἐκχωρεῖται δὲ αὐτὸς κατὰ τῶν ἄλλων ἀγωγάς.[86]

ος΄. Οἰκείᾳ χειρὶ γράφων ἑαυτὸν ἐπίτροπον ἐν διαθήκῃ τοῦ πατρὸς τοῦ νηπίου οὐκ ἔχει ἐξκουσατίονα ὡς ἅπαξ συναινέσας τῇ περὶ αὐτοῦ γνώμῃ τοῦ διατιθεμένου.[87]

οζ΄. Ἔχουσι δὲ ἐξκουσατίονα οἱ ἐπίτροποι· ὁ φισκάλιον τέλος μισθωσάμενος, καὶ ὁ ἐγγυμνάζων τοὺς ἑαυτοῦ μαθητάς. καὶ οὐχ ὁ ἐπιβὰς τὸ ο΄ ἔτος, ἀλλ᾽ ὁ πληρώσας αὐτὸ ἐξκουσατίονα ἔχει ἐπιτροπῆς.[88]

οη΄. Οὔτε ἐπίσκοπος οὔτε κληρικὸς οὔτε μοναχὸς οὔτε στρατιώτης ὑποβάλλεται ἐπιτροπῇ ἢ κουρατίονι, ἐὰν δηλονότι ἐξωτικοὶ ὦσιν. οἱ μὲν κληρικοὶ καλῶς αὐτῶν κήδονται, οὐκ ἐξ ἀνάγκης μέντοι, ἀλλὰ βουλήσει· οἱ δὲ ἐπίσκοποι καὶ μοναχοὶ οὐδὲ θέλοντες δύνανται τοῦτο ποιῆσαι κατὰ τὴν ρκγ΄ νεαράν· ὡς βι. α΄ τί. γ΄ διατ. να΄ τοῦ κώδ.

οθ΄. Καὶ ζῶντος τοῦ ἀνδρὸς καλῶς καταλιμπάνει ἡ γυνὴ ἐπίτροπον τῷ κοινῷ τέκνῳ.[89] ση. νεα. ιζ΄, ὅτι μήτηρ καὶ μάμμη καλῶς τοῖς κατιοῦσι κηδεμόνας καταλιμπάνουσι.

π΄. Οὔτε ἐπιτροπεύει οὔτε κουρατορεύει ναύκληρός τινος μὴ ὄντος τοῦ σωματείου αὐτοῦ.[90]

πα΄. Ἐπιτροπῆς καὶ κουρατορίας ἐξκουσατίονα ἔχει ὁ σιλεντιάριος.[91]

πβ΄. Ὁ ὀμόσας τινὶ ἐπιτροπεύειν οὐδὲ βουλόμενος δύναται καταδέξασθαι τὴν ἐπιτροπὴν τῶν αὐτοῦ παίδων. ὡς βι. β΄ τί. λς΄ τοῦ κώδ.[92]

---

[85] Dig. 26, 10, 3 § 16. [86] Dig. 46, 6, 4 § 3 et dig. 10. 12. [87] Dig. 26, 2, 29. [88] Dig. 27, 1, 2 pr. [89] Dig. 26, 5, 21 § 1. [90] Cod. 5, 62, 24. [91] Theod. Cod. 5, 62, 25. [92] Cod. 6, 37, 8?

ΤΙΤΛΟΣ λζʹ.

Περὶ λεγάτων προσκαίρων καὶ διηνεκῶν.

αʹ. Ἐπὶ τῶν λεγάτων οὐ μόνον τὰ ὄντα ἐν φύσει ἀλλὰ καὶ τὰ μὴ ὄντα, ἐλπιζόμενα δὲ γενέσθαι, ὀρθῶς ληγατεύομεν· οἷον τοὺς καρποὺς τοὺς ἐσομένους ἀπὸ τοῦδε τοῦ ἀγροῦ, ἢ τὸ μέλλον τίκτεσθαι ἐκ τῆσδε τῆς θεραπαίνης.[1]

βʹ. Ἐληγάτευσέ μέ τις τὸν ἐμὸν ἀγρόν· ἄχρηστον τὸ ληγάτον· τὸ γὰρ ἐμὸν πλεῖον ἐμὸν γενέσθαι οὐ δύναται. εἰ καὶ μάλιστα ἐκποιήσω τὸν ἀγρὸν, οὐκ ἐποφληθήσεταί μοι οὐδὲ αὐτὸς οὐδὲ ἡ τούτου διατίμησις.[2]

γʹ. Τίτιος ἐδέσποζεν οἰκέτην. ἐληγάτευσέ μοι τοῦτον νομίζων εἶναι πρίμου. ἔῤῥωται τὸ ληγάτον· πλέον γὰρ ἰσχύει ἡ ἀλήθεια τῆς ὑπονοίας. ἀποτέλεσμα γὰρ χρηστὸν ἔχει τὸ ληγάτον, κἂν ἐμοῦ τοῦ ληγαταρίου τοῦτον ὑποπτεύσει εἶναι τὸν οἰκέτην.[3]

δʹ. Ὁ ληγατάριος οὐ δύναται μέρος καταδέχεσθαι καὶ μέρος παραιτεῖσθαι.[4]

εʹ. Ἀγέλης ληγατευθείσης καὶ τὰ προστεθέντα λαμβάνει ὁ ληγατάριος. εἰ δὲ καὶ μειωθῇ, κἂν εἰς ἕνα οὖν περιστῇ, λαμβάνει αὐτὸ ὁ ληγατάριος, εἰ καὶ ἐπαύσατο εἶναι ἀγέλη.[5]

ϛʹ. Καὶ οἴκου ληγατευομένου καὶ καιομένου λαμβάνει τὸ ἔδαφος.[6]

ζʹ. Ἐάν τις κτῆμα κατ᾽ ἐξαίρετον τοῖς ἀδελφοῖς αὐτοῦ ὡς λεγάτον καταλιπὼν μετὰ ταῦτα καὶ ἄλλῳ τινὶ τὸ κτῆμα ληγατεύσῃ, πάντες ἅμα συνιόντες οἱ ληγατάριοι τὸ κτῆμα λαμβάνουσιν.[7]

ηʹ. Ἐληγάτευσά σοι τὸν ἐμὸν οἰκέτην μετὰ τοῦ πεκουλίου αὐτοῦ. ἐπιζήσας τῇ ποιήσει τῆς διαθήκης ἐλευθέρωσα τὸν οἰ-

---

[1] Theoph. Inst. 2, 20, 7. [2] Theoph. cit. § 10. [3] Theoph. cit. § 11. — F addit: Ἐὰν τῇ γαμετῇ μου ληγατεύσω τὴν διατίμησιν τῆς προικὸς ἐὰν παραδᾷ τοῖς κληρονόμοις πάντα τὰ προικιμαῖα, μόνα τὰ σωζόμενα χρεωστεῖ παραδοῦναι (Dig. 33, 4, 12). — σχόλ. Καταβαλὼν τὰ ληγάτα ὁ κληρονόμος ἀσφαλιζέσθω παρὰ τῶν ληγαταρίων, ὡς ἐκδικουμένης τῆς κληρονομίας ἀναδιδῶσιν αὐτῷ ἃ ἔλαβον μετὰ τῆς ρʹ (μετὰ τόκων ἀπὸ δʹ ἑκατοστῆς?) βʹ (lege ιβʹ) διάτ. τί. λαʹ βι. γʹ. — Ἐὰν ἀσφράγιστον ἐπιστολὴν ποιήσω καὶ ὁμολογήσω αὐτὴ (ὁμολογήσηται?) ἐμὴ εἶναι, ἔῤῥωται τὰ ἐν αὐτῇ (Dig. 31, 89 pr.).

[4] Proch. 35, 1 ex Dig. 30, 38 pr. [5] Proch. 35, 2 ex Dig. 30, 21. 22.

[6] Proch. 35, 3 ex Dig. ibid. [7] Proch. 35, 4 ex Cod. 6, 37, 7.

κέτην ἢ ἐξεποίησα αὐτόν, ἢ συνέβη αὐτὸν τελευτῆσαι. οὐ μόνον ἐπ᾿ αὐτῷ ἀλλὰ καὶ ἐπὶ τῷ πεκουλίῳ τὸ ληγάτον ἐξασθενεῖ. τῶν γὰρ πρωτοτύπων μὴ σωζομένων ὑφεστᾶναι οὐ δύναται τὰ παρακολουθήματα.[8]

θ΄. Εἰ καὶ ἐναχθῇ περὶ τῆς κληρονομίας ὁ σκρίπτος, καὶ διαλύηται πρὸς τὸν ἐνάγοντα δεδωκὼς αὐτῷ ὑπὲρ τῆς διαλύσεως χρυσίον, οὐ παρὰ τοῦτο περικόπτει τὸ ληγάτον.[9]

ι΄. Τῆς δὲ ἰνοφφικιόσο ἐπικρατούσης οὐκ ἀπαιτοῦνται τὰ ἰν τῇ διαθήκῃ καταλειφθέντα ληγάτα, ἀλλὰ καταβληθέντα ῥεπετιτεύεται. ἐὰν δὲ ὡς μὴ ὑπακούσας τῇ κλήσει τοῦ δικάζοντος ἡττηθῇ ὁ σκρίπτος, ἔῤῥωται τὰ ληγάτα. ὡς βι. ε΄ τί. β΄ διγ. ζ΄.[10]

ια΄. Ὅτι πλαστῆς λεγομένης διαθήκης χρὴ δίδοσθαι τὰ ἐν αὐτῇ καταλελειμμένα, μετὰ ἀσφαλείας μέντοι. αὐτῷ δὲ τῷ κατηγόρῳ οὐ δίδοται τὸ καταλειφθὲν ἐν τῇ διαθήκῃ λεγάτον.[11]

ιβ΄. Ἀπαιτούμενος ληγάτα ὁ σκρίπτος καλῶς ἀπαιτεῖ ἀσφάλειαν τοὺς ληγαταρίους, ὅτι ἐὰν ἐκδικηθῇ ἡ κληρονομία ἀναδίδονται τὰ ληγάτα.[12]

ιγ΄. Ὁ κληρονόμος τὸν κωδίκελλον ὡς πλαστὸν κατηγορήσας μόνα τὰ ἐν αὐτῷ καταλειφθέντα ζημιοῦται.[13] ὡς βι. β΄ τί. β΄ διατ. ιδ΄.[14]

ιδ΄. Ἐὰν τὸ αὐτὸ πρᾶγμα ἐκ δευτέρου ληγατεύσω, οὐ διπλασιάζεται τὸ ληγάτον. ἐὰν δὲ τὸ πρᾶγμα καὶ τὴν τιμὴν αὐτοῦ ληγατεύσω, εἰς δεύτερον ἀπαιτεῖται.[15]

ιε΄. Ἐὰν ποιήσω δύο διαθήκας ἐν ἡμέρᾳ μιᾷ ἰσοδυναμούσας, καὶ τῇ μιᾷ ληγατεύσω ρ΄ νομίσματα καὶ ἐν τῇ ἄλλῃ ν΄, τὰ ν΄ ἀπαιτοῦνται.[16]

ιϛ΄. Ἐὰν δύο τισὶ ληγατευθῇ ὁ δοῦλος καὶ ὁ εἷς ἐξ αὐτῶν παραιτήσηται, οὕτως ἁρμόζει τῷ ἑτέρῳ ὡσανεὶ ἐξ ἀρχῆς μόνῳ αὐτῷ ἐληγατεύθη.[17]

ιζ΄. Τῶν πούρων ἤτοι τῶν καθαρῶς ληγατευομένων πραγμάτων ἐν οὐδεμιᾷ ῥοπῇ δεσπόζει ὁ κληρονόμος, τῶν δὲ ὑπὸ

---

[8] Proch. 35, 5 ex Dig. 33, 8, 1. 2. [9] Dig. 2, 15, 3 pr. [10] dig. 8 § 16. [11] Dig. 5, 3, 6. [12] Cod. 6, 37, 9. [13] Dig. 34, 9, 15. [14] Non intellego quo pertineat haec allegatio. In F deest: ibi additur *σχόλ. τὸ ἐν δευτέρᾳ διαθήκῃ ἀχρήστῳ ληγατευθέν τινι οὐκ ἀπαιτεῖται οὐδὲ ἀκυροῦται τὸ ἐν τῇ πρώτῃ ληγατευθὲν αὐτῷ, κἂν ὁ αὐτὸς γέγραπται κληρονόμος ἐν ἑκατέρᾳ. βι. λβ΄ τί. α΄ διγ. ιη΄.* [15] Dig. 30, 34 § 1. 2. Cf. Cod. 6, 51, 1 § 11. [16] Dig. 31, 47. [17] Cf. Cod. 6, 51, 1 § 11. F addit *ση. τὰ συνημμένα ληγάτα τῇ τελευτῇ τοῦ ἑνὸς ληγαταρίου προσαύξεται τῷ ἑτέρῳ.*

αἵρεσιν ληγατευθέντων δεσπόζει ἕως ὅτε ἡ αἵρεσις κρατεῖται.[18] — ση. εὐθέως ἀπὸ τὸν ληγατεύσαντα τοῦ ληγαταρίου γίνεται.[19]

ιη΄. Τὰ παρ᾽ ἑνὸς τῶν δεσποτῶν τῷ ἐπικοίνῳ οἰκέτῃ σίνε λιβερτάτε τουτέστιν ἄνευ ἐλευθερίας ληγατευόμενα μόνῳ τῷ ἄλλῳ δεσπότῃ ἐξ ὁλοκλήρου προσπορίζεται.[20]

ιθ΄. Ἐπὶ τῆς ἐξ τεσταμέντο (ἐπὶ τῇ διαθήκῃ) τὰ μετὰ τὴν προκάταρξιν τυχηρὰ τῷ ἐναγομένῳ κινδυνεύεται.[21]

κ΄. Ἐὰν τὸ ὑπὸ αἵρεσιν ληγατευθὲν πρᾶγμα ἠρτημένης τῆς αἱρέσεως φθαρῇ, ἀσθενεῖ τὸ ληγάτον.

κα΄. Ἐὰν ὁ ἀνὴρ ληγατεύσῃ τὴν γυναῖκα ὅσα ἐδωρήσατο αὐτῇ, οὐ περιαιρεῖται τὸ ληγάτον ἐὰν εἰς χρῆσιν δέδωκεν αὐτὰ ὁ ἀνήρ.[22]

κβ΄. Καλῶς ληγατεύεται ἡ γυνὴ τὴν ἰδίαν προῖκα.[23]

κγ΄. Δύναται ἡ γυνὴ ἀπὸ τῆς προικὸς αὐτῆς ληγατεῦσαι καὶ ἐλευθερίας καταλιμπάνειν, καὶ ὁ κληρονόμος αὐτῆς χρεωστεῖ αὐτά. καὶ ὁ ἀνὴρ δύναται κληρονόμον γράψας τὴν γυναῖκα καὶ τὴν προῖκα αὐτῆς ληγατεῦσαι, ἐάν ἐστιν εὔπορος. ὡς βι. κγ΄.

κδ΄. Ἐὰν ἡ γυνὴ ψευσαμένη εἴπῃ ἐγκυμονεῖν, καὶ διὰ τοῦτο ὁ σκρίπτος μὴ ἀδιτεύσας ἀποθάνῃ, κινοῦσιν οἱ ληγατάριοι κατὰ τῆς γυναικός.[24]

κε΄. Ὁ ἐξκουσατεύσας ἑαυτὸν οὐδὲ τὰ τοῖς τέκνοις αὐτοῦ ληγατευθέντα δύναται λαβεῖν, εἰ τῇ πρὸς αὐτὸν εὐνοίᾳ κατελείφθη.[25]

κϛ΄. Τὸ καταλειφθέν τινι ληγάτον τῇ τελευτῇ τοῦ ληγαταρίου σβέννυται τὸ ληγάτον. ὡς βι. μθ΄ τί. ν΄ διγ. κ΄.[26] — ση. ὁ παραιτούμενος ληγάτον διάστημα ἔχειν ὀφείλει πρὸς διάσκεψιν οὔτε ἐλάχιστον οὔτε μέγιστον.

κζ΄. Ἐάν τις ἀχρήστως ἐν διαθήκῃ καταλειφθῇ ἐπίτροπος καὶ διὰ τοῦτο καὶ ληγάτον αὐτῷ καταλειφθῇ, ἐὰν μὴ διοικήσῃ οὐ λαμβάνει τὸ ληγάτον· ἐὰν δὲ λάβῃ τὸ ληγάτον, ἱκανοδοσίαν δίδωσιν ὑπὲρ τῆς διοικήσεως.[27]

κη΄. Ἐὰν τῇ μητρὶ μὴ αἰτησάσῃ ἐπίτροπον τῷ παιδὶ ὁ πατὴρ τοῦ πουπήλου καταλείπῃ, οὐκ ἀπόλλυσι τὸ ληγάτον, κἂν τῆς κληρονομίας τοῦ παιδὸς ἐκπίπτει.[28]

---

[18] Dig. 31, 80. — Cf. tamen tit. 39 § 29. [19] Dig. 47, 2, 64 in fine. [20] Dig. 33, 5, 11 in fine. [21] Dig. 16, 3, 12 § 3. [22] Cf. Dig. 30, 109 pr. [23] Dig. 33, 4, 1 § 2. F addit: ση. ὅτι ὁ νόμος μετὰ ἐνιαυτὸν αὐτὴν δίδωσιν. σχολ. εἴ τι ὑποκείμενα ἡ προῖκα ληγατευθῇ ἡ προὶξ. ἡ αὐτὴ ἀναῤῥυέσθω αὐτά. [24] Dig. 25, 6, 1 § 10. [25] Dig. 26, 2, 28 pr. [26] Non invenio. [27] Dig. 26, 3, 11. [28] Dig. 26, 6, 4 § 3.

κθ'. Κἂν τὰ μάλιστα ἀλογοθέτητον καταλιμπάνῃ τὸν ἐπίτροπον, οὐδὲν αὐτῷ ὠφελεῖ. δύναμαι καλῶς ληγατεύειν αὐτὸν, εἴ τι ἐζημίωσεν ἐκ τῆς ἐπιτροπῆς.[29]

λ'. Δεσπότης ἐστὶν ὁ ληγατάριος τοῦ λεγάτου καὶ πρὶν λάβῃ αὐτό. — σχόλ. τὸ ληγάτον οὐ σβέννυται ι' ἢ κ' ἔτεσιν, ἀλλὰ μόνον τριακονταετίᾳ.[30]

λα'. Ἐὰν πραετέριτος τουτέστιν ἀπόκληρος παῖς κινήσει κατὰ σκρίπτων τουτέστι γεγραμμένων ἀδελφῶν καὶ τὸ μέρος λάβῃ, οὐδὲ λεγάτα οὐδὲ ἐλευθερίαι ἰσχύουσιν ἐκ τῆς διαθήκης ἐκείνης. εἰ δὲ ἀβστινατεύσει τουτέστιν ὑποκατάστατος γένηται τοῦ πατρῴου κλήρου, ἔῤῥωνται τὰ λεγάτα.[31]

λβ'. Τὰ αἱρετικῶς ληγατευόμενα ὑπεξουσίῳ ἐὰν ἠρτημένης τῆς αἱρέσεως γένηται αὐτεξούσιος καὶ ἐξέλθῃ ἡ αἵρεσις, αὐτῷ διαφέρει καὶ οὐχὶ τῷ πατρὶ αὐτοῦ.[32]

λγ'. Ὅσα ὁ πενθερὸς ὀνόματι θυγατρὸς ληγατεύσῃ τῷ γαμβρῷ, ταῦτα καὶ ὁ γαμβρὸς καὶ ἡ γυνὴ αὐτοῦ[33] ἀπαιτεῖν δύνανται.[34]

λδ'. Ἐὰν τὸ ὄνομα τοῦ ληγατευθέντος ἀγροῦ μὴ ἐκφωνήσας ὁ διαθέμενος ἀγρὸν ἀορίστως ληγατεύσῃ, ἀσθενεῖ τὸ ληγάτον.[35]

λε'. Ὁ καταλιπὼν ληγάτα ἢ φιδικόμισσα ἐὰν μεταμεληθῇ πρῶτον, μετὰ δὲ ταῦτα θελήσει καταλειφθὲν, ἔῤῥωται· τῇ τετελευταίᾳ γνώμῃ αὐτοῦ προσέχοντες.[36]

λς'. Ὁ ληγατεύων τινὶ [ἐπὶ] τῷ μὴ λογοθετηθῆναι οὔτε ὅσα ἔλαβεν ἐκ τῆς διοικήσεως συγχωρεῖ αὐτῷ οὔτε τὸν δόλον ὃν ἥμαρτεν.[37]

λζ'. Ὅτε αὐτὸς ὁ οἰκέτης καὶ ληγατεύεται καὶ ἐλευθερίᾳ τιμᾶται, ἀσθενεῖ τὸ ληγάτον.[38]

λη'. Εἰ καὶ ἐπερωτηθεὶς ὁ κληρονόμος ὁμολογήσει πάντα παρέχειν τὰ ληγάτα, ὅμως μόνα τὰ κατὰ τὸν νόμον ἐῤῥωμένα ἀπαιτοῦνται, οὐχὶ καὶ τὰ ἀνυπόστατα.

λθ'. Τὰ ὑπὸ αἵρεσιν ὅρκου ληγατευθέντα ἀπαιτεῖται ὡς χωρὶς αἱρέσεως καταλελειμμένα.[39]

μ'. Ἐὰν δωρήσωμαι τῇ γυναικί μου οἰκέτην, τῆς ἐμῆς μέ-

---

[29] Dig. 26, 7, 5 § 7. [30] Cod. 7, 35, 5. F addit: ση. ὁ ἐπιγνοὺς ληγάτον ἐξ ἀρχῆς δοκεῖ δεσπότης εἶναι. βι. μς' (λς'?) τί. δ' διγ. ια' ἑρμογένης.
[31] Dig. 37, 5, 16. [32] Dig. 36, 3, 1 § 20. [33] Alii ἡ θυγάτηρ.
[34] Dig. 35, 1, 71 § 3. [35] Cf. Dig. 23, 3, 69 § 4. [36] Cf. Dig. 34, 4, 3 § 11 et dig. 4. [37] Dig. 34, 3, 9. cf. Dig. 30, 119. [38] Dig. 31, 14 pr.
[39] Dig. 28, 7, 8. 30, 112 § 4.

νει δεσποτείας. διὸ ληγατεύειν αὐτὸν δίχα ἐλευθερίας οὐ δύναμαι.[40]

μα΄. Ἐὰν νουμμῶν ληγατευθέντων καὶ τὸ εἶδος αὐτῶν μὴ ἐκπεφώνηται, ἐκ τῶν ἄλλων λεγάτων τὸ εἶδος καὶ ἐκ τῆς συνηθείας τοῦ κλίματος τοῦ κρατοῦντος ὀνομάζομεν.[41]

μβ΄. Ὁ φιδικομίσσῳ τιμηθεὶς ἐν πουπιλαρίᾳ ὑποκαταστάσει δύναται ἀναγκάσαι τὸν ἰνστιτοῦτον τῆς πριγκιπαλίας διαθήκης, ἐὰν ἀπέθανεν ὁ πούπιλος, καὶ ἄκοντα ἀδιτεῦσαι καὶ βεβαιῶσαι τὴν διαθήκην, ἵνα χώραν λάβῃ ἡ ὑποκατάστασις, καὶ δοῦναι τὸ φιδικόμισσον. ὡς βι. κη΄ τί. ϛ΄ διγ. β΄.[42] — *ση. πριγκιπαλία διαθήκη ἐστὶν ὅτε ὑποκατασταθῇ ἐξωτικὸν πρόσωπον μετὰ ἀνηλίκου κληρονόμου.*

μγ΄. Κἂν ἐτέθη ἡ κοντραβούλας κατὰ τῆς διαθήκης, ὅμως ἡ ἐν αὐτῇ πουπιλαρία ὑποκατάστασις ἔρρωται καὶ τὰ ἀπὸ τοῦ σουβστιτούτου τουτέστι τοῦ ὑποκαταστάτου ληγάτου ἅπαντα[43] *ἀπαιτεῖται.*[44]

μδ΄. Ἐὰν ποιήσας ἰνστιτοῦτον ἄλλον αὖθις αὐτῷ ὑποκαταστήσω κληρονόμον, δύναται ἀναγκάσαι τὸν ἰνστιτοῦτον ὁ φιδικομισσάριος ἀδιτεῦσαι. ὁμοίως δίδονται καὶ τὰ ληγάτα καὶ αἱ ἐλευθερίαι.[45]

με΄. Ἐάν τις νομίσας τὸν παρ᾿ αὐτοῦ γραφέντα κληρονόμον τετελευτηκέναι ἄλλον γράψῃ κληρονόμον, κληρονομεῖ μὲν ὁ πρῶτος κληρονόμος, τὰ δὲ ληγάτα τῆς δευτέρας διαθήκης ἀπαιτεῖται.[46]

μϛ΄. Ἐάν τις καὶ ἀπὸ τοῦ ἐνστάτου καὶ ἀπὸ τοῦ ὑποκαταστάτου αὐτὸ τὸ πρᾶγμα ληγατευθῇ μοι, ἑκάτερος εἰς ὁλόκληρον χρεωστεῖ μοι τὸ ληγάτον.

μζ΄. Ἐὰν τὸ αὐτὸ πρᾶγμα διαφόροις τρόποις καταλειφθὲν τοῖς μὲν ἀπὸ τοῦ ἰνστιτούτου τοῦτο ληγατευθέντες λαμβάνουσι τὸ λεγάτον.

μη΄. Ἐὰν ληγατάριος βαρηθῇ φιδικόμισσα καὶ ποιήσει κατὰ δόλον παραιτήσασθαι, ὁ κληρονόμος ὑπόκειται τῷ φιδικομισσαρίῳ.

μθ΄. Ἐὰν ὁ ληγατευθεὶς οἰκέτης προνόμιον λάβῃ τὴν ἐλευθερίαν ὡς ἐλέγξας τὴν τοῦ τεστάτορος σφαγὴν, σβέννυται τὸ ληγάτον.[47]

---

[40] Cf. Dig. 24, 1, 7 § 8. [41] Dig. 30, 50 § 3. [42] Scil. § 2. [43] *ληγατευθέντα*? [44] Dig. 37, 5, 5 pr. [45] Dig. 29, 4, 17. [46] Dig. 28, 5, 92. [47] Dig. 29, 5, 12.

ν'. Τῆς κληρονομίας δημευθείσης διὰ τὸ μὴ διεκδικηθῆναι τὸν φόνον τοῦ τεστάτορος τὰ ληγάτα ὁ φίσκος δίδωσιν.[48]

να'. Ταῖς γυναιξὶν ὧν ὁ γάμος ἡμῖν ἀπηγορευμένος εὑρεθῇ οὐ δυνάμεθα ληγάτα καταλιπεῖν.[49]

νβ'. Ἐὰν οἰκέτῃ μου δίχα ἐλευθερίας ληγατεύσω καὶ σοὶ optίονα οἰκέτου, καὶ ἐπιλέξῃς τὸν οἰκέτην ὃν ἐληγάτευσα, τὸ λεγάτον οὐ λαμβάνεται.[50]

νγ'. Οὐ καταλιμπάνει τὶς φιδικόμισσον σίνε λιβερτάτε τουτέστι δίχα ἐλευθερίας τῷ ἰδίῳ δούλῳ, ἐπειδὴ ἐλεύθερος οὐ νοεῖται ὁ δοῦλος κἂν τιμηθῇ φιδικόμισσα παρὰ τοῦ ἰδίου δεσπότου.[51] τοῦτο νόει εἰ μὴ ἄρα στρατιώτης ἐστίν.[52]

νδ'. Ἐάν τις ληγατεύσῃ πάντας τοὺς δούλους αὐτοῦ μετὰ τῶν πεκουλίων αὐτῶν, καὶ οἱ μὴ ἔχοντες πεκούλιον περιέχονται τῷ ληγάτῳ.[53]

νε'. Ὁ λέγων· ληγατεύω τοῦτον τὸν ἀγρὸν οὕτως ὅσοσιστρουμέντο[54] τουτέστι εὐτρεπισμένον δοκεῖ ληγατεύειν αὐτόν.[55]

νϛ'. Ἐὰν ληγατεύσω τινὶ πρᾶγμα γενικῶς καὶ ἐκ περιουσίας ἤδη τινὰ ἀπαριθμήσωμαι, οὐκ ἐλαττοῦται τὸ γενικὸν λεγάτον. εἰ μέντοι εἶδος ληγατεύσω, ἀπαριθμήσομαί τινα πράγματα τοῦ εἴδους, στενοχωρεῖται τὸ ληγάτον. ἐκεῖ ζήτει καὶ τὰ ὑποδείγματα.

νζ'. Ἐὰν παρὰ τὴν φύσιν τοῦ ληγάτου προσθήσῃ τὶ ὁ τεστάτωρ ἐν τῷ ληγατεύειν, οὐ βλάπτεται τὸ ληγάτον.

νη'. Ὅτε περὶ τόκου ἀπὸ φιδικομίσσου σκοποῦμεν, ὑπέρθεσιν ζητοῦμεν· ὅτε δὲ περὶ αὐτοῦ τοῦ φιδικομίσσου, ζητοῦμεν καρποὺς καὶ πᾶσαν ζημίαν.[56]

νθ'. Ἐὰν ληγατεύσω σοι γενικῶς πάντα τὰ μάρμαρα καὶ ἕτερα[57] δύο ζώδια μαρμάρινα, δίχα τῶν δύο ζωδίων πάντα τὰ μάρμαρα λαμβάνεις.[58]

ξ'. Ἐάν τις πολλὰ εἴδη ληγατεύσας, ὅσα μὲν εὑρίσκεται εἴδη ἐν τῇ κληρονομίᾳ, εὐθέως δίδοσθαι χρὴ, καὶ περὶ τῶν ἄλλων ἀσφάλειαν δίδοσθαι ὅτι ἡνίκα εὑρεθῇ δίδοται τοῦτο. ὅτε μὴ γενικῶς ἀλλ' ἰδικῶς ἕκαστον εἶδος ληγατευθῇ.[59] — ση. τῶν κινητῶν ληγατευθεὶς ὁ χρυσὸς καὶ ὁ ἄργυρος οὐ περιέχεται, ἀλλ' ἰδικῶς ταῦτα μνημονεύονται ὡς μὴ ἐλάχιστα ἀλλὰ μεγάλα.

---

[48] Dig. 29, 5, 9. [49] Cod. 5, 5, 6. [50] Dig. 33, 5, 15. [51] Cod. 6, 27, 5. 37, 4. [52] Cod. 6, 21, 7. [53] Dig. 30, 52 pr. [54] Sic! [55] Dig. 33, 7, 12 § 27? [56] Cf. Cod. 6, 47, 1. [57] ἑτέρῳ? [58] Cf. Dig. 32, 100 § 1. 34, 2, 1 pr. [59] Dig. 34, 2, 38 pr.

πρόληψις γάρ ἐστιν ἐκ νόμων, ὡς ὁ διαθέμενος οὐ μετὰ τῶν οἱωνδήποτε κινητῶν τὰ τιμιώτερα ἀλλ' ἰδικῶς αὐτῶν μέμνηται.[60]

ξα'. Τὰ ῥήματα τὰ συγκείμενα εἰς παρεληλυθότα χρόνον ἐπὶ τῶν λεγάτων οὐ δύνανται καὶ εἰς τὸν μέλλοντα χρόνον ἐκτείνεσθαι.[61]

ξβ'. Ἐὰν ἄλλῳ μὲν ληγατευθῇ πᾶσα ἡ φαμηλία ἡ πολιτικὴ γενικῶς, ἄλλῳ δὲ ἰδικῶς δισπενσάτωρ, προσυφεξαιρεῖται τῷ ἑνὶ ληγαταρίῳ ὁ δισπενσάτωρ, καὶ τότε τοὺς λοιποὺς ὁ ἄλλος λαμβάνει ληγατάριος.[62]

ξγ'. Ὅτε τὶς ληγατεύει τῇ γαμετῇ αὐτοῦ ὅσα ὀνόματι αὐτῆς ἠγόρακεν ἢ παρεσκεύασε, παρεκτείνεται ἕως τῆς τελευτῆς αὐτοῦ ταῦτα τὰ ῥήματα, ἵνα καὶ εἴ τι μετὰ τὴν διαθήκην αὐτοῦ ἀγοράσῃ παρέχεται.[63] — ση. τί ἐστι προχώρησις; προχώρησίς ἐστι τῶν μήπω ληφθέντων ληγάτων εἰς κληρονόμους. τοῦτο καὶ τῷ οἰκέτῃ ἐστὶ δεσπότης. προσπορίζουν γὰρ ἀγωγὴν οὐ μέντοι μειοῦσιν. ὡς βι. β' τί. κ'.[64]

ξδ'. Ὅτε τὸ ληγατευθὲν οὐκ ἐπὶ τοῦ οἰκείου εἴδους διαμένει, ἀλλὰ μεταποιεῖται ὑπὸ τοῦ διαθεμένου, οὐ δύναται τὸ ληγάτον ἐῤῥῶσθαι.[65]

ξε'. Ἐὰν ὁ τεστάτωρ μετὰ τὸ πληρῶσαι τὴν διαθήκην χαράξῃ ἑνὸς κληρονόμου ὄνομα, τὴν μὲν κληρονομίαν αὐτοῦ ὁ fiskος λαμβάνει, τὰ δὲ ἐπ' αὐτοῦ ληγάτα ἔῤῥωται.[66] κἂν αὐτὸς ἔχῃ ἐξερεδατίονα ἔῤῥωται.

ξϛ'. Ὁ μὴ δεχόμενος τὴν γνώμην τοῦ τεστάτορος οὐκ ἀναγκάζεται πληρῶσαι τὰ κελευσθέντα. ὡς βι. λε' τί. α' διγ. ο'. ἔνθα γὰρ μὴ ἔχῃ διάφορον, οὐ κινεῖται ἀγωγή.

ξζ'. Οὐδὲ τῇ κατὰ στοῦπρον συνούσῃ μοι οὐδὲ τῷ τεχθέντι μοι ἐξ αὐτῆς δύναμαι καταλιπεῖν ἐν διαθήκῃ.[67]

ξη'. Ὁ πάτρων γραφόμενος εἰς τὸ κεχρεωστημένον αὐτῷ μέρος οὐ βαρεῖται φιδικομίσσῳ, ἀλλὰ καὶ τὸ λεῖπον ἀναπληροῦται.[68]

---

60 Dig. 33, 10, 1. 61 Dig. 32, 33 § 1. 62 Dig. 34, 2, 1 pr. — F hujus §i loco haec habet: *σχόλ. τῷ φαμιλίας ὀνόματι περιέχονται ἀνιόντες καὶ κατιόντες οἱ ἐκ πλαγίου καὶ οἱ γαμβροὶ καὶ οἱ πάτρωνες καὶ οἱ ἀπελεύθεροι καὶ οἱ δοῦλοι καὶ πᾶσα ὑπόστασις* (Cod. 6, 38, 5). — *διγ. νβ' βι. τί. α' διγ. με'. Ἐὰν δούλων ἐπιλογὴ ληγατευθῇ μοι τρία ληγατευόμενα* (Dig. 33, 5, 1). — *Εἰ βοὺς ληγατευθεὶς ἀποθάνῃ, οὐκ ἀπαιτεῖται κρέας ἢ δέρμα αὐτοῦ* (Dig. 32, 49 pr.). 63 Cf. Dig. 32, 33 § 1. 64 Theoph. 2, 20, 20. 65 Cf. Dig. 30, 44 § 2. 65 § 2. 66 Dig. 34, 9, 16 § 2. 67 Cf. Dig. 34, 9, 14. 16 § 2. 68 Dig. 31, 28.

ξθ΄. Ὁ κεφαλικῶς κατηγορῶν τοῦ ληγατεύσαντος αὐτὸν καὶ ἡττώμενος ἐκπίπτει τοῦ ληγάτου.[69]

ο΄. Ὁ χρεώστης ἀσθενῶς ληγατεύει τῷ δανειστῇ αὐτοῦ ἅπερ χρεωστεῖ αὐτῷ, εἰ μηδὲν πλέον κερδαίνει ὁ δανειστὴς ἐκ τοῦ ληγάτου.[70]

οα΄. Ἡ ληγατευομένη τοῖς ὑπεξουσίοις στρατεία οὐ προσπορίζεται τῷ πατρὶ αὐτῶν.[71]

οβ΄. Ὁ ἀνασχόμενος ἀντὶ τοῦ κεχρεωστημένου αὐτῷ ληγάτου γραμματεῖον χρεώστου λαβεῖν, εἰ καὶ ἄπορος εὑρεθῇ ὁ χρεώστης, οὐκέτι δύναται ἀπαιτεῖν τὸ λεγάτον.

ογ΄. Ὁ ἔχων ἐπιλογὴν κληρονόμος ὃν βούλεται οἰκέτην δοῦναι τῷ ληγαταρίῳ, ἐὰν ἐν εἰδήσει κλέπτην αὐτῷ δῷ καὶ αὐτὸς κλέψῃ παρὰ τῷ ληγαταρίῳ, ἐνάγεται περὶ δόλου ἀπαιτούμενος καὶ ἄλλον οἰκέτην δοῦναι τῷ ληγαταρίῳ καὶ ὃ δέδωκεν ἐᾶσαι παρ᾽ αὐτῷ ὡς ζημιωθεὶς παρὰ τὴν κλοπήν.[72]

οδ΄. Ὁ τὸ μέρος τῆς κληρονομίας ἀξιωθεὶς ἀποκαταστῆσαι τὸ ληγατευθὲν αὐτῷ οὐκ ἀπαιτεῖται.

οε΄. Ἐὰν τῇ μητρὶ ἴδιον ἀγρὸν αὐτῆς καταλείπῃ ἐφ᾽ ᾧ ἀποκαταστῆσαι ἑτέρῳ, οὐκ ἀπαιτεῖται τοῦτον κἂν ἐπὶ ἄρχοντος κατάθηται διδόναι, εἰ μὴ ἄλλον ἀγρὸν αὐτῇ κατέλιπεν.[73]

ος΄. Ἐὰν ὁ υἱὸς εἰς μίαν οὐγκίαν γραφῇ κληρονόμος καὶ κινήσαντος τοῦ ἀδελφοῦ αὐτοῦ τὴν κόντρα ταβούλας τουτέστι τὴν περὶ ἐναντίας βουλήσεως καὶ ἀναπληρωθῇ ἐκ τῶν ς΄ οὐγκιῶν παρέχει τὰ ληγάτα ὁ ὑποκατάστατος αὐτοῦ ἐκ μὲν τῆς μιᾶς πᾶσιν. εἰ δὲ εἰς η΄ ἢ εἰς θ΄ οὐγκίας γραφῇ καὶ ἀφαιρεθῇ τρεῖς διὰ τῆς κόντρα ταβούλας, ἐκ τῶν ἓξ οὐγκιῶν δίδοται.[74]

οζ΄. Ἐὰν ἀπελεύθερος καταλείψῃ μοι λεγάτα ἐπὶ τῷ ἀποκαταστῆσαι αὐτὰ τῷ πάτρωνι αὐτοῦ, ὁ δὲ πάτρων ἀπαιτήσῃ τὸν κληρονόμον τὸ κεχρεωστημένον αὐτῷ τετραούγκιον, οὐκέτι δύναμαι τὸ ληγάτον ἀπαιτῆσαι ὡς μήτε ἀπαιτούμενος τὸ φιδικόμισσον.[75]

οη΄. Ὁ τιμηθεὶς ληγάτῳ ν΄ νομισμάτων ἐπὶ τῷ ἐξ αὐτοῦ ἀγοράσαι οἰκέτην καὶ ἐλευθερῶσαι, μὴ θέλοντος τοῦ δεσπότου πωλῆσαι τὸν οἰκέτην κερδαίνει τὸ ληγάτον.[76]

οθ΄. Ἐὰν καταλειφθῇ τινι ληγάτον ὅτε γένηται τίτιος λ΄

---

[69] Dig. 34, 4, 31 § 2. [70] Dig. 34, 3, 11. [71] Dig. 4, 4, 3 § 7.
[72] Dig. 30, 110. [73] Dig. 32, 37 pr. [74] Cf. Dig. 37, 5, 5 pr. § 1.
[75] F addit βι. λη΄ τί. β΄ διγ. κ΄. Recte: scil. § 1. [76] Dig. 30, 92 § 1.

χρόνου, τελευτήσει δὲ τίτιος πρὸ λ' ἐνιαυτῶν, ἀσθενεῖ τὸ ληγάτον διὰ τὸν χρόνον.[77]

π'. Τὸν ἐν τῇ πουπιλαρίᾳ ὑποκαταστάσει τιμηθέντα ἐλεύθερον οὐκ ἰσχυρῶς ληγατεύει ὁ ἐν τῇ πριγκιπαλίᾳ γεγραμμένος κληρονόμος.[78].

πα'. Ἐάν ληγατευθῇ μοι εἰ γένηται ιδ' ἐτῶν ὁ υἱὸς τοῦ διαθεμένου, καὶ συμβῇ αὐτὸν ἀποθανεῖν πρὸ τῶν ιδ' ἐτῶν, ἀσθενεῖ τὸ ληγάτον.[79]

πβ'. Τὰ καθ' ἕκαστον ἔτος ἡμῖν ληγατευθέντα τῷ θανάτῳ τοῦ ληγαταρίου σβέννυται.[80]

πγ'. Ἐὰν ληγατευθῇ τοῖς ὑπεξουσίοις πρᾶγμα τοῦ πατρὸς αὐτῶν γραφέντος κληρονόμου, καὶ κακῶς κέχρηται τοῖς πράγμασιν ὁ πατὴρ, ἔξεστι τοῖς παισὶν ἐπιλέγεσθαί τινα ἀξιόπιστον ὥστε αὐτὸν ἐπιμελεῖσθαι τῶν ληγατευθέντων αὐτοῖς πραγμάτων καὶ τὰς ἐξ αὐτῶν προσόδους δαπανᾶν περὶ αὐτοὺς καὶ τὸν πατέρα αὐτῶν.[81]

---

77 Cf. Dig. 35, 1, 102. — F pergit: *σχόλ. βι. λβ' τί. ε' διγ. λβ'. ση. διὰ τὸν χρόνον. Ἐπιζήσας τὶς δώσει ὑπὲρ τῆς ἰδίας θυγατρὸς* [*εἰς*] *προῖκα ἃ ἐληγάτευσιν αὐτῇ διαθέμενος, ἀσθενεῖ καὶ ἄχρηστον ποιεῖ τὸ ληγάτον. βι. ς' τοῦ κώδ. τί. λζ' διατ. ιβ'* (nobis c. 11). 78 Cf. Dig. 28, 6, 18? 79 Dig. 30, 32. 36, 2, 22 pr. — F addit: *εἰ δὲ καὶ προτελευτήσω αὐτοῦ, καὶ εἴθ' οὕτως σβέννυται τὸ ληγάτον. — σχόλ. Ἐὰν ἔδαφος ληγατευθῇ καὶ ἐπικτισθῇ αὐτῷ τι οὐ δίδοται εἰ μὴ καταπέσῃ εἰς ἔδαφος, ὥσπερ καὶ εἰ δοῦλος ἐλευθερωθῇ, πάλιν γίνεται δοῦλος.* (Dig. 32, 79 § 2. 3). — *Εἰ δοῦλοι ληγατευθῶσι, καὶ αἱ δοῦλαι δίδονται· εἰ δὲ οἱ παῖδες, καὶ αἱ παιδίσκαι·* [*εἰ δὲ γυναῖκες*], *καὶ αἱ παρθένοι· εἰ δὲ ἄνδρες, καὶ οἱ παῖδες· εἰ δὲ θρέμματα, καὶ οἱ βόες καὶ νωτόφορα· εἰ δὲ βουκόλοι, οἱ βόες, οὐ μὴν δὲ πρόβατα ἢ σύες· εἰ δὲ πρόβατα, ὁ κριὸς καὶ ἄρνος οὐκ ἀπαιτοῦνται* (Dig. 32, 81). — *Εἰ ἡμίονας ἢ δούλους ληγατεύσω, καὶ αἱ θήλειαι δίδονται· ἀεὶ γὰρ τῷ ἄῤῥενι περιέχεται τὸ θῆλυ* (Dig. 32, 62). — *Ἀρνῶν ληγατευθέντων οἱ ἕως ἐνιαυτοῦ κεχρεώστηνται* (Dig. 32, 60 pr.). — *Εἰ τοὺς ὑφάστας ληγατεύσω, καὶ ποιήσω αὐτῶν ἕνα θυρωρὸν, δίδοται. οὔτε γὰρ εἰς ἄλλην τέχνην μετηνέχθη* (Dig. 32, 61). — *Καλανδικοῦ ληγατευθέντος καὶ τὰ ἀπαιτηθέντα μετὰ τὴν διαθήκην χρήματα καὶ τὰ δανεισθέντα ἑτέροις καὶ δαπανηθέντα ἢ διὰ τὸ δανεισθῆναι ἀποτεθέντα ἀπαιτεῖται* (Dig. 32, 64). — *Εἰ ληγατευθῶσι πάντες οἱ δοῦλοι ἄνευ τῶν πραγματευτῶν, μόνοι οἱ προεστῶτες πραγματείας ὑφεξαιροῦνται, οὐ μὴν κουβικουλάριοι ἢ ὀψωνάτορες* (Dig. 32, 65 pr.). — *Ἐὰν αἱ κομμώτριαι δοῦλαι ληγατευθῶσι καὶ αἱ μήπω δύο μῆνας παρὰ τῷ διδασκάλῳ ποιήσασαι ἀπαιτοῦνται* (Dig. 32, 65 § 3). — *Νωτοφόρων ληγατευθέντων καὶ ἵπποι δίδονται* (Dig. 32, 65 § 6). — *Ὀρνέων ληγατευθέντων καὶ τὰ κατοικίδια δίδονται* (Dig. 32, 66). — *Βίβλων ληγατευθεισῶν πᾶν εἴλημα οἱασδήποτε ὕλης ὂν δίδοται* (Dig. 32, 52). *βι. λβ' τί. α' διγ. μα' μβ' μγ' μδ' με' μς' μζ' μη' καὶ ν'.* 80 Dig. 33, 1, 8. 45, 1, 16 § 1. Cf. infra *κεφ. ρλβ'.* 81 Dig. 36, 1, 50?

πδ'. Ἐὰν κινήσω περὶ καταστάσεως δίκην κατὰ τοῦ ληγάτον μοι καταλείψαντος, ἐκπίπτω τοῦ ληγάτου. ὡς βι. λα' τί. ϑ' διγ. ιϑ'.[82]

πε'. Ἐάν τις ληγατεύσῃ δύο φίλους ἔχοντας ὄνομα ἓν καὶ οὐ δείκνυται περὶ τίνος ἐνενοήϑη, ἄχρηστον τὸ ληγάτον.[83]

πς'. Ἐὰν δύο τισὶ καταλειφϑῶσι λεγάτα καὶ μετὰ ϑάνατον τῷ ληγαταρίῳ προσαύξεται τὸ μέρος τοῦ συλλεγαταρίου εἰ καὶ παρῃτήσατο. ση. ὡς ἐπὶ τῶν λεγάτων καὶ τῆς δωρεᾶς ἐπὶ ἑνὶ πράγματι· δύο γὰρ συντρέχειν οὐ δύνανται.

πζ'. Ἐὰν δύο ληγατεύσωσί μοι τὸ αὐτὸ πρᾶγμα καὶ ἐκ τῆς τοῦ ἑνὸς διαϑήκης λάβω τὸ πρᾶγμα, ἐκ τῆς ἑτέρας διαϑήκης οὐ λήψομαι αὐτὸ (πῶς γὰρ ὁπότε τελεῖ ὑπὸ τὴν ἐμὴν δεσποτείαν;) οὐδὲ τὴν διατίμησιν αὐτοῦ λαμβάνω. τὸ αὐτὸ καὶ ἐξ ἐπικερδοῦς αἰτίας ἐὰν ἐκποιήσωμαι τὸ πρᾶγμα. εἰ δὲ πρότερον ἐκ τῆς διαϑήκης ἔλαβον τὴν διατίμησιν, ἐκ τῆς ἑτέρας οὐ κωλύσω τὸ πρᾶγμα. ὅτι οὐ μόνον τὰ ὄντα ἐν φύσει λαμβάνω, ἀλλὰ καὶ τὰ μὴ ὄντα, ἐλπιζόμενα δὲ γενέσϑαι, ὀρϑῶς ληγατεύομαι.[84] — Ἐὰν ζῶντός μου ληγατεύσω τῷ ἑνὶ πρᾶγμα, ὁ ἕτερος ἀτονήσει ἢ γνώμῃ ἢ τύχῃ καὶ ἐπιμείνω μετὰ τὴν τελευτήν μου ἐν τοῖς αὐτοῖς, τότε ὅλον τὸ ληγάτον πρὸς τὸν συλληγατάριον παραγενήσεται.[85]

πη'. Κτῆμά τις οἰκεῖον ἐληγάτευσέ μοι· ἐπιζήσας ἐνεχυρίασε τοῦτο. ὅϑεν ὁ ληγατάριος ἀναγκάσει τὸ χρέος καταβαλόντα ἐλεύϑερον ὑποϑήκης παρέχειν τὸ κτῆμα. — σχόλ. εἰ δὲ μέρος αὐτοῦ ἐκποιήσει, πάντως τὸ μὴ ἐκποιηϑὲν λαμβάνω.[86]

πϑ'. Δέκα νομίσματά τις χρεωστῶν μοι ἐληγάτευσέ μοι αὐτά. ἄχρηστον τὸ ληγάτον διὰ τὸν κανόνα τὸν λέγοντα, ὅτι τὰ ἀκερδῆ ληγάτα ἀνυπόστατά εἰσιν. εἰ δὲ ληγατεύσει μοι ια', ἔῤῥωται τὸ ληγάτον. — ση. οὐ[87] χρὴ λέγειν ἐῤῥῶσϑαι αὐτὸ διὰ τὸν ἐμπαρουσιασμόν.[88]

ϙ'. Ἐὰν κληρονομήσω τὸν χρεώστην μου συγχώρησις[89] γίνεται, καὶ καϑ' ἑαυτοῦ κινεῖν δικαστήριον οὐ δύναμαι διὰ τὸ τοῦ ἐνάγοντος καὶ ἐναγομένου εἰς ἓν συνδραμεῖν τὸ δίκαιον.[90]

ϙα'. Ἐάν τις εἴπῃ· μετὰ τὴν τελευτὴν τοῦ ἐμοῦ κληρονόμου ληγατεύω τόνδε νομίσματα ρ', τέως μὲν γὰρ ἐν ὅσῳ ἐστὶν ὁ κληρονόμος οὐκ ἀπαιτεῖται τὸ ληγάτον, οὐδὲ ὁ κληρονόμος

---

[82] Potius Dig. 34, 9, 9 § 2. [83] Dig. 34, 4, 3 § 7. 5, 10 pr. [84] Theoph. Inst. 2, 20, 6. 7. [85] Theoph. ib. § 8. [86] Theoph. cit. § 12. [87] Lege ὅτι. [88] Theoph. cit. § 14. [89] σύγχυσις. [90] Theoph. cit. § 32.

αὐτοῦ ἀπαιτηθήσεται διὰ τὸν κανόνα τὸν λέγοντα· ἀγωγὴ ἡ καθ' ἡμῶν μὴ ἀρξαμένη κατὰ τοὺς ἡμετέρους οὐ διαβαίνει κληρονόμους.[91]

ϙβ'. Οὐσουφρούκτου ληγατευθέντος ἀσφάλειαν δίδωσιν ὁ ληγατάριος τοῖς κληρονόμοις περὶ ἀποκαταστάσεως τοῦ οὐσουφρούκτου, καὶ οὕτως λαμβάνει αὐτόν.[92]

ϙγ'. Ἐὰν τὰ ι' νομίσματα τὰ ἐν τῇ ἄρκλᾳ ληγατεύσω σοι, ἐμοὶ δὲ τούτων οὐσούφρουκτος, ἡ μὲν δεσποτεία τῶν ι' σοὶ διαφέρει, κοινὸς δὲ πᾶσι γίνεται ὁ οὐσούφρουκτος. ἡνίκα δὲ ἀπαιτήσεις τὰ ι' νομίσματα, ἀντίκειταί σοι δόλου παραγραφὴ ἵνα πέντε λάβῃς μόνα καὶ ἐπὶ τοῖς ἄλλοις πέντε νομίσμασιν τὴν τοῦ οὐσουφρούκτου ἱκανοδοσίαν.[93]

ϙδ'. Ἐὰν σοὶ μόνῳ ληγατευθῇ δεσποτεία, ἐμοὶ δὲ καὶ τιτίῳ οὐσούφρουκτος, τῆς δεσποτείας εἶ μόνος κύριος καὶ τῆς χρήσεως τρίτον μέρος ἡττᾶται.[94]

ϙε'. Ἐάν δύο μέν τισι ληγατεύσω δεσποτείαν, ἑνὶ δὲ οὐσούφρουκτον, ἢ τὸ ἐναντίον ἑνὶ δεσποτείαν, τοῖς δὲ δυσίν οὐσούφρουκτον, οἱ δύο τὸ ἥμισυ τοῦ οὐσουφρούκτου λαμβάνουσιν, καὶ ὁ ἕτερος τὸ ἥμισυ.[95]

ϙς'. Ἐὰν τόπον ὑπὸ πολλῶν γηδίων κυκλούμενον οὐσουφρούκτῳ ληγατεύσω, χρεωστεῖ ὁ κληρονόμος διδόναι τὸ ληγάτον καὶ ὁδὸν τὴν πρὸς τὸ καρπώσασθαι.[96] — ση. ὁμοίως καὶ ὁ δίκαιον ἀντλήσεως ληγατεύων.

ϙζ'. Ἐὰν ὁ ληγατεύσας τῇ γαμετῇ αὐτοῦ τὴν προῖκα ἐπαγάγῃ ἐξεῖναι αὐτῇ εἴτε θέλει τὰ διατίμητα[97] τῆς προικὸς ἀνδράποδα λαβεῖν εἴτε τὴν ὑπὲρ αὐτῶν διατίμησιν, καὶ ἐὰν ἐπιλέξηται λαβεῖν τὰ ἀνδράποδα, οὐ δύναται τὸν τοκετὸν αὐτῶν ἀπαιτεῖν.[98]

ϙη'. Καλῶς ληγατεύεται ἡ γυνὴ τὴν ἰδίαν προῖκα εὐθὺς, ὅτε τῆς ἀποδοτέας προικὸς χρόνος τέλειός ἐστιν. ὡς βι. ιη' τί. ς'.[99]

ϙθ'. Οὐ μόνον θυγατρὶ καλῶς ληγατεύει τῆς προικὸς ἕνεκεν, ἀλλὰ καὶ μητρὶ ἰδίᾳ καὶ ἀδελφῇ καὶ γυναικὶ καὶ νύμφῃ καὶ πᾶσι καὶ καλῶς αὐτὰ ἀπαιτοῦσιν.

ρ'. Ὁ ἀπροσδιορίστος μέρους μεμνημένος τὸ ἥμισυ λαμβάνει.[100]

---

91 Theoph. cit. § 35. 92 Dig. 7, 9 1 pr. 93 Dig. 36, 1 § 17. 94 Dig. 7, 2, 9. 95 Dig. 33, 2, 26 § 1. 96 Dig. 7, 6, 1 § 1. 97 Libri αἰτήματα. 98 Dig. 31, 48 pr. 99 Dig. 33, 4, 1 § 2. 100 Dig. 28, 5, 9 § 12. 30, 19 § 2.

ρα΄. Ἐάν τις ληγστεύσῃ ἀγρὸν μετὰ ἰνστρουμέντου αὐτοῦ ἢ μετὰ τῶν ὄντων ἐν αὐτῷ, καὶ συμβῇ ὀνηλάτην διά τινα χρείαν πεμφθέντα ἀπὸ τοῦ τεστάτορος ἐν τῷ ἀγρῷ εὑρεθῆναι, οὐ περιέχεται τῷ ληγάτῳ. εἰ δὲ καὶ ὀργισθεὶς πρὸς οἰκέτην τινὰ πέμψει ὁ διαθέμενος αὐτὸν ἐν τῷ ἀγρῷ ὀφείλοντα ἐπί τινα χρόνον διάγειν, οὐδὲ οὗτος περιέχεται τῷ ληγάτῳ. εἰ δὲ καί τινες οἰκέται ἐξ ἄλλων ἀγρῶν εἰωθότες ἐν τῷ ἀγρῷ τούτῳ ἐργάζεσθαι καὶ πάλιν εἰς τοὺς ἰδίους ἀγροὺς ὑποστρέφειν εὑρεθῶσιν ἐν αὐτῷ, οὐδὲ οὗτοι περιέχονται τῷ ληγάτῳ, ἀλλ' ἐκεῖνοι μόνοι οἱ διηνεκῶς ἀφωρισμένοι τῷ ληγατευθέντι τόπῳ.[101]

ρβ΄. Ἀγροῦ ληγατευθέντος ἰνστρούμεντον ὑπάγεται. τουτέστιν εὐτρεπισμένος. πάντα τὰ ὄντα αὐτοῦ πρὸς ὑπηρεσίαν, οἷον οἶνος ἔλαιον, οὐκέτι δὲ τὰ πρὸς φυλακὴν ἀποκείμενα.[102] ἔνθα φησὶ βι. ς΄ τι΄. λη΄ διατ. β΄ τοῦ κώδ. ὅτι καὶ ὁ οἰκονόμος καὶ οἱ γεωργοὶ καὶ τὰ θρέμματα συνυπάγονται τῷ ληγατευομένῳ ἀγρῷ.

ργ΄. Οἰκοσκευῆς ληγατευθείσης ἐσθὴς οὐ περιέχεται.[103] τὰ δὲ ἄλλα περιέχεται τὰ εἰς ἐξοπλισμὸν τοῦ οἴκου γινόμενα.

ρδ΄. Ἐὰν ὃ ἐληγάτευσέ σε ἐκποιήσω καὶ πάλιν κτήσωμαι, οὐκ ἀπαιτεῖς τοῦτο, εἰ μὴ δείξῃς τοιαύτην διάθεσιν.[104] — ση. τὸ περιαιρεθὲν ἶσόν ἐστι τῷ ἀφανισθέντι. ὡς βι. λε΄ [105] τί. δ΄ διγ. ις΄.

ρε΄. Ἐάν ὁ τιμηθεὶς ὀπτίονος ληγάτῳ ἐπὶ πολλοῖς κληρονόμοις τελευτήσῃ καὶ διχονοήσωσι περὶ τὴν ἐπιλογήν, κλήρῳ τέμνεται ἡ διχόνοια αὐτῶν.[106] — ση. τὰ ληγατευθέντα ἀνδράποδα πρὸ τοῦ ἀποδοθῆναι δύναται ὁ κληρονόμος ἐλευθεροῦν, τὴν δὲ διατίμησιν τούτων δίδωσιν.[107]

ρς. Ἐὰν κελλαρικὸν ληγατεύσῃ καὶ εὑρεθῇ πωλεῖν κελλαρικὸν ἢ ἔθος ἔχων πιπράσκειν ἐκ τοῦ κελλαρικοῦ μέρος, τοσοῦτον λαμβάνει κελλαρικὸν ὁ ληγατάριος ὅσον ἀρκεῖ αὐτῷ εἰς ἐνιαυτόν.[108]

ρζ΄. Χρυσοῦ ληγατευθέντος οὐδὲ ἤλεκτρος οὐδὲ αὐρίχαλκος περιέχεται. ἀργύρου ληγατευθέντος κἂν πολλὰ σκεύη ἔχῃ ἕν ἐστι τὸ ληγάτον.[109] ἐσθὴς δὲ οὐ περιέχεται.[110]

ρη΄. Μήτηρ μὴ αἰτήσασα ἐπίτροπον τῷ παιδὶ ἀναξία ἐστὶ τῆς ἐκείνου διαδοχῆς. ὡς βι. κς΄ τί. ς΄ διγ. β΄.

---

[101] Dig. 28, 5, 35 § 3. [102] Cod. 6, 38, 1. [103] Dig. 33, 10, 10. [104] Dig. 34, 4, 15. [105] Lege λδ΄. [106] Cod. 6, 43, 3 pr. [107] Dig. 30, 112 § 1. [108] Dig. 33, 9, 4 § 2. [109] Dig. 31, 6 in fine. [110] Dig. 30, 4 pr.

ρθ'. Ἐπίτροποι ὀνόματι τοῦ ἐπιτροπ[ευομέν]ου τὸ πλαστὸν κινοῦντες καὶ ἡττώμενοι οὐκ ἐκπίπτουσι τῶν ἐν τῇ διαθήκῃ καταλελειμμένων αὐτοῖς.[111]

ρι'. Ἐάν τις ἔχων τὶ ἀπὸ διαθήκης κινήσῃ κατ' αὐτῆς ὡς πλαστῆς καὶ ἡττηθῇ, ὁ φίσκος λαμβάνει τὸ καταλειφθὲν αὐτῷ.[112]

ρια'. Ἐὰν ἐπίτροπος γήμῃ τὴν ἐπιτροπευθεῖσαν ὑπ' αὐτοῦ ἢ ὁ ἄρχων τὴν ἐκ τῆς ἐπαρχίας ἀρχομένην, ἀθέμιτος μέν ἐστιν ἑκάτερος γάμος, εἴ τι δὲ καταλείψωσι ταῖς γυναιξὶν, οὐκ ἀφαιρεῖται αὐτῶν ὡς ἀναξίων. ὁ δὲ ἐπίτροπος τὴν ἐπιτροπευθεῖσαν ὑπ' αὐτοῦ γήμας οὐδὲν δύναται κερδαίνειν ἐκ τῆς διαθήκης αὐτῆς.[113]

ριβ'. Ὁ ἐν μέρει παραιτούμενος τὴν ἐπιτροπὴν ἀποστερεῖται τῶν καταλελειμμένων αὐτῷ.[114]

ριγ'. Καὶ ὁ ἐμποδίσας τῷ διατιθεμένῳ ἀλλάξαι τὴν διαθήκην καὶ ἡττηθεὶς ἐν τῇ αὐτῇ κατηγορίᾳ οὐκ[115] ἐκπίπτει τῶν ἐν τῇ διαθήκῃ καταλελειμμένων.[116]

ριδ'. Ὁ παραβαίνων τὰς τοῦ διατιθεμένου παρακλήσεις ἀνάξιός ἐστι τοῦ λαβεῖν τὰ παρ' αὐτοῦ καταλειφθέντα αὐτῷ.[117]

ριε'. Ὅτε ὡς μόνην θέλων ὁ τεστάτωρ ἀνατρέψαι τὴν ἔνστασιν τοῦ κληρονόμου καταχαράξει τὸ ὄνομα αὐτοῦ, ἀφαιρεῖται μὲν παρ' αὐτοῦ ὡς ἀναξίου ὁ κλῆρος, τὰ δὲ ληγατευθέντα παρ' αὐτοῦ ἔῤῥωται.[118]

ρις'. Ἡ ἀπὸ αἰσχρᾶς αἰτίας γενομένη τῷ διατιθεμένῳ κληρονόμος οὐδὲν δύναται λαβεῖν τῶν καταλελειμμένων αὐτῇ.[119]

ριζ'. Ἐὰν ὑπεξουσία γραφεῖσα κληρονόμος ὑπό τινος φαρμάκῳ αὐτὸν ἀνεῖλεν καὶ κελεύσει τοῦ πατρὸς ἀδιτεύσασα προσπορίσῃ αὐτῷ τὸν κλῆρον, ἀφαιρεῖται ὁ φίσκος παρὰ τοῦ πατρὸς τὴν οὐσίαν διὰ τὴν ἀτιμίαν τῆς θυγατρὸς αὐτοῦ.[120]

ριη'. Ὁ δωρησάμενος τὴν τοῦ περιόντος συγγενοῦς αὐτοῦ κληρονομίαν μετὰ ταῦτα κληθεὶς εἰς αὐτὴν, ἄρνησιν ὑπομένει αὐτῆς ὁ δωρησάμενος αὐτήν.[121] —

ριθ'. Εἰ ὃ ἐληγάτευσα δωρήσομαι, ἀδιστάκτως σβέννυται τὸ ληγάτον. οὐδεὶς γὰρ δωρεῖται ἐξ ἀνάγκης. ὡς βι. λς' τί. δ' διγ. ιθ'.[122]

---

[111] Dig. 34, 9, 22. [112] Dig. 5, 2, 8 § 14. [113] Dig. 34, 9, 2 § 1. 2. [114] Dig. 34, 9, 5 § 2. [115] Negatio delenda est. [116] Dig. 29, 6, 1 pr. [117] Cf. Dig. 34, 9, 5 § 2. [118] Dig. 34, 9, 16 § 2. [119] Dig. 34, 9, 13? [120] Dig. 48, 20, 7 § 4. [121] Dig. 34, 9, 2 § 3. 39, 5, 29 § 2. [122] Dig. 34, 4, 18.

ρκ΄. Αἵρεσις διὰ τὴν ὑπὲρ[123] τῶν δημοσίων ἐμποδισθεῖσα ἀντὶ πεπληρωμένης ἐστίν.[124]

ρκα΄. Αἵρεσις ἐπιτάττουσα τῇ γυναικὶ ῥεπουδιατεῦσαι τὸν ἄνδρα συγκεχώρηται αὐτῇ ὡς ἄτοπος. ση. ἡ ἀδύνατος αἵρεσις ἀνίσχυρός ἐστιν.[125]

ρκβ΄. Ἐὰν ὑπὸ διαφόρους αἱρέσεις τὸ αὐτὸ ληγάτον καταλέλειπται, μόνῃ τῇ τελευταίᾳ αἱρέσει προσέχομεν.[126]

ρκγ΄. Ἡ εἰς παρελθόντα ἢ εἰς ἐνεστῶτα χρόνον ἀφορωμένη αἵρεσις οὐκ ἔχει δύναμιν αἱρέσεως, μόνη δὲ εἰς μέλλοντα χρόνον αἵρεσις ἀναρτᾷ τὸ καταλειφθέν.[127]

ρκδ΄. Ἡ τῆς παιδογονίας αἵρεσις διὰ θετοῦ παιδὸς οὐ πληροῦται, ὁ δὲ ἐν δουλείᾳ γεννηθεὶς τῷ πατρὶ ἀποκλείει τὴν τοιαύτην αἵρεσιν.[128]

ρκε΄. Τὰ πρὸ μιᾶς ἡμέρας ἔχοντα τὴν αἵρεσιν, εἴτε κληρονομίαι εἴτε ληγάτα, ἀνίσχυρά ἐστιν. δύναται δὲ σιωπηρῶς καὶ ἡμέραν καὶ αἵρεσιν ἐπιδέχεσθαι, οἷον ἐὰν ἐπὶ αἱρέσει ληγατεύσω τινὶ καὶ πρὸ μιᾶς ἡμέρας ἀποθάνῃ, ἰσχύει τὸ ληγάτον.

ρκς΄. Ἐάν τις συναποθάνῃ τοῖς ἰδίοις τέκνοις, εἰ μὲν πρὸς μιᾷ ῥοπῇ ἐπέζησαν αὐτῷ τὰ τέκνα αὐτοῦ, ἀποκλείεται τῆς ἀπαιδίας ἡ αἵρεσις· εἰ δὲ μὴ ἐπέζησαν, πληροῦται. εἰ δὲ ἄδηλόν ἐστι εἴτε ἐπέζησαν εἴτε καὶ μή, ἄπαις πιστεύεται τελευτῆσαι.[129] — ση. ἐπὶ τῶν συμπτώσεων[130] τὸ ἀσθενέστερον μέρος λέγομεν τελευτᾶν πρῶτον.

ρκζ΄. Εἰ ὁ ἀνὴρ μετὰ τῆς γυναικὸς ἀποθάνῃ, τὸν ἀπὸ τελευτῆς κάσσον λαμβάνει ὁ ἀνήρ, εἰ μὴ δειχθῇ προτελευτήσας.[131] — ση. εἰ μετὰ τοῦ υἱοῦ τελευτήσῃ τὶς ὃν μόνον ἔγραψε κληρονόμον, εἰ μὲν ἔφηβος ᾖ ὁ υἱός, ὁ πατὴρ δοκεῖ προτελευτᾶν· εἰ δὲ ἄνηβος, ὁ υἱός.[132] καὶ πάλιν εἰ πατὴρ καὶ υἱὸς ἐν πολέμῳ ἅμα τελευτήσωσι, προλήψει δοκεῖ ὁ πατὴρ ἐναποθανεῖν.[133] ὡς βι. λε΄ τί. λ΄ διγ. θ΄.[134]

ρκη΄. Κἂν πρὸ μιᾶς κἂν πρὸς μῆνάς τινας συνοικήσῃ τὶς τῇ ἰδίᾳ γαμετῇ, καλῶς γράφεται ὑπ᾽ αὐτῆς κληρονόμος, οὐ μὴν ἀλλὰ καὶ δωρεὰν καὶ λεγάτον δύναται ἔχειν.[135]

---

[123] Lege ὑπό. [124] Dig. 35, 1, 14. [125] Dig. 35, 1, 3. [126] Dig. 35, 1, 89. — F addit: Ἐὰν μήτηρ ναυαγήσῃ μετὰ τοῦ υἱοῦ, αὐτὴ δοκεῖ προτελευτᾶν εἰ μὴ ἄνηβος ᾖ ὁ υἱός. ὡς βι. λδ΄ τί. ε΄ διγ. κβ΄. [127] Dig. 28, 7, 10 § 1. [128] Dig. 35, 1, 76. [129] Dig. 36, 1, 17 § 7. [130] V συμπτωμάτων. [131] Dig. 34, 5, 9 § 3. [132] Dig. ibid. § 4. [133] Dig. ibid. § 1. [134] F ὡς βι. λγ΄ τί. δ΄ καὶ ε΄ διγ. θ΄. [135] Cod. 6, 37, 19.

ρκθ΄. Ὁ τοὺς ἐν ἀγρῷ δούλους ληγατεύων τοὺς βικαρίους δούλους οὐ δοκεῖ ληγατεύειν, τουτέστι δούλους δούλων.[136]

ρλ΄. Ἐὰν καπηλεῖόν σοι ληγατευθῇ καὶ ἰνστίτορες καὶ δοῦλοι δίδονται· εἰ δὲ βαλανεῖον καὶ ὁ βαλανεὺς καὶ ὁ καμινοκαύστης.[137]

ρλα΄. Ἐάν ἐστι τὸ ληγάτον ἰνστρούμεντον, ὅσα ἔσωθεν εἰσὶ τίποτε, λαγύνια, πίθοι καὶ τὰ παραπλήσια τούτων. ἡ ἐσθὴς οὐ περιέχεται τῇ ἐνδυμενείᾳ. πάντα δὲ τὰ ὄντα ἐν τῷ οἴκῳ πρὸς ὑπηρεσίαν εἰσί, κἂν χρυσὸς κἂν ἄργυρός ἐστι. τὰ δὲ πρὸς τέρψιν ὄντα οὔκ ἐστιν ἐνδυμενεία, οὐδὲ τὰ πρὸς τὸ ῥεῖν ὕδωρ χαλκεῖα σκεύη. τὰ δὲ πρὸς βρῶσιν ἢ ποτὸν σκεύη τῆς ἐνδυμενείας εἰσίν.[138]

ρλβ΄. Τὸ ἀννάλιον ληγάτον οὐκ ἔστιν ἕνα ἀλλὰ πολλὰ τὰ καθ᾽ ἕκαστον ἔτος ληγατευθέντα. θανάτῳ τοῦ ληγαταρίου σβέννυται τὸ ληγάτον.[139]

ρλγ΄. Τὸ ἀννάλιον ληγάτον ἔοικεν οὐσουφρούκτῳ. πλὴν τὸ μὲν σβέννυται καπίτις δεμινουτίονι (τουτέστιν ἐλάττωσις ἀρχῆς)· τὸ δὲ ἀρχῇ ἑκάστου ἔτους προχωρεῖ· ὁ δὲ τὴν χρῆσιν ἔχων εἰ τελευτήσει μὴ λαβὼν τοὺς καρποὺς οὐδὲν παραπέμπει τοῖς κληρονόμοις.[140]

ρλδ΄. Ἔθος ἐστὶ τοῖς ληγαταρίοις λαμβάνοντες τὰ ληγάτα καῦστον[141] διδόναι τουτέστιν ἔγγραφον τῷ κληρονόμῳ ὡς εἴ τι πλέον ὑπὲρ τὸν φαλκίδιον ἔλαβον ἀποδίδωσιν αὐτῷ.[142]

ρλε΄. Ὁ δὲ ἐπὶ δανειστῶν μὴ ποιῶν καταγραφὴν ὁ κληρονόμος, ὑπόκειται τῇ δόσει τῶν ληγάτων καὶ πᾶσι τοῖς δανεισταῖς ἐνέχεται ὡς μὴ ποιήσας καταγραφήν.[143]

---

[136] F addit βι. λγ΄. τί. ζ΄ διγ. κβ΄ (imo dig. 12 § 44). — Deinde F pergit: Ὁ καταβαλὼν ἐπὶ τρία ἔτη ἀννάλιον ληγάτον, ἀπαιτεῖται αὐτὸ καὶ ἐπὶ τοὺς ἑξῆς χρόνους. ὡς βι. ϛ΄ τοῦ κώδ. τί. λζ΄. διατ. κβ΄. Ὅτι καὶ οἱ διάδοχοι τῶν κληρονόμων τοῦ τιμηθέντος ἀνναλίῳ ληγάτῳ λαμβάνουσι κατ᾽ ἐνιαυτὸν τὸ ληγατευθὲν, ἐὰν τοῦτο εἶπεν ὁ διαθέμενος (Cod. 1. 1. 22). — ση. τὸ ἀννάλιον ληγάτον πολλά εἰσι ληγάτα, τοῦ μὲν πρώτου ἔτους ποῦρον (καθαρὸν), τῶν δὲ ἑξῆς ὑπὸ αἵρεσιν· εἰ ζῇ ὁ ληγατάριος. βι. λγ΄ τί. α΄ διγ. δ΄. — Εἰ τὸ ἀννάλιον ληγάτον δαπανήσει τὰς θ΄ οὐγκίας, κατ᾽ ἀρχῆς μειοῦται ἑκάστη καταβολή. σχόλ. βι. λε΄ τί. β΄ διγ. μϛ΄ (dig. 47 pr.), στοχασμὸν οἱ νόμοι δέχονται μετάτοι ἐπὶ τῶν κληρονομιαίων πραγμάτων. [137] Dig. 33, 7, 13. 14. — V addit: Ἐὰν ληγατάριος κρύψῃ τὴν διαθήκην καὶ τοῦτο ἀποδειχθῇ, ἐκπιπτέτω τοῦ ληγάτου (Cod. 6, 37, 25). [138] Cf. Dig. 33, 7 inprimis dig. 10. 11. [139] Dig. 33, 1, 4. F addit βι. με΄ τί. ε΄ (lege α΄) διγ. ιϛ΄. [140] Dig. 33, 1, 8. [141] Lege καυτίονα. [142] F addit ὡς βι. ϛ΄ τοῦ κώδ. τί. λζ΄ (scil. c. 9?). Cf. Dig. 35, 3. [143] Cod. 6, 30, 22.

ρλϛ'. Ὁ πωλῶν κληρονομίαν οὐ μόνον τοῖς λεγαταρίοις καὶ φιδικομμισσαρίοις κατέχεται, ἀλλὰ καὶ τοῖς νερεδιταρίοις δανεισταῖς.[144] καὶ ἐὰν τὸ ληγατευθὲν ὑποτεθῇ, οὐ σβέννυται τὸ ληγάτον. ὅθεν κινεῖ κατὰ τοῦ κληρονόμου ὁ ληγατάριος ἵνα ἐλευθερώσῃ αὐτό.[145]

ρλζ'. Ὁ ληγατάριος κλέψας τὸ ληγατευθὲν αὐτῷ πρᾶγμα ἐκπίπτει αὐτοῦ.[146]

ρλη'. Τὸ ἤδη ληγατευθέν τινι εἰ ἐαθῇ ἄλλοις πάντες ὁμοῦ λαμβάνουσιν αὐτό.[147] — ση. τὰ ληγάτα καὶ ἐπὶ κληρονόμοις παραπέμπονται.

ρλθ'. Ὁ δευτερογαμῶν ἐκπίπτει τοῦ ἐαθέντος αὐτῷ ληγάτου ἐπὶ τῷ μὴ δευτερογαμῆσαι.[148]

ρμ'. Ἄδειαν ἔχει ὁ δικάζων διακρίναι τὴν βούλησιν τοῦ τελευτήσαντος ὡς θέλει, δηλονότι ἐν ἀπορίᾳ ἀποδείξεων.[149]

ΤΙΤΛΟΣ λη'.

Περὶ ἐλευθεριῶν καὶ ἀναδουλώσεων.

α'. Ἐλευθερία ἐστὶν εὐχέρεια φυσικὴ ἑκάστῳ συγχωροῦσα πράττειν ἃ βούλεται, εἰ μὴ νόμος ἢ βία κωλύει· βία μέν, ἐπειδὴ βουλόμενόν με ἐσθ' ὅτε μέ τι πράττειν ὃ τοῖς νόμοις οὐκ ἀπηγόρευται διακωλύει τὶς ἰσχύϊ μείζονι βιασάμενος· νόμος δὲ ὅτε τιμωριῶν ἀπειλαῖς εἴργομαι πράττειν ἃ βούλομαι. οἰκέτην γάρ τι ποιεῖν κατὰ γνώμην καὶ δεσπότου δέος καλῶς ἐμποδίζει.[1]

β'. Δουλεία ἐστὶν ἐθνικοῦ νόμου διατύπωσις ἐξ ἧς τις ὑποβάλλεται τῇ ἑτέρου δεσποτείᾳ ὑπεναντίον τοῦ φυσικοῦ νόμου. ἡ γὰρ φύσις πάντας ἀνθρώπους ἐλευθέρους προήγαγεν, ἡ δὲ τῶν πολέμων ἐπίνοια τὴν δουλείαν ἐφεῦρεν· ὁ γὰρ πολέμων νόμος κτῆμα τῶν κρατούντων θέλει τοὺς νενικημένους εἶναι. ὡς βι. α' τί. δ' ἰνστιτούτων.[2]

γ'. Οἱ ἐλεύθεροι εἰς δύο διαιροῦνται, εἰς εὐγενεῖς καὶ ἀπελευθέρους. καὶ εὐγενής ἐστιν ὁ εὐθέως ἅμα τοῦ τεχθῆναι ἐλεύθερος ὢν καὶ μήπω τοῦ ζυγοῦ τῆς δουλείας γευσάμενος, εἴτε ἐκ συνοικεσίου εὐγενῶν ἐτέχθη εἴτε ἐκ δύο ἀπελευθέρων, εἴτε τὸ ἓν πρόσωπόν ἐστιν εὐγενὲς τὸ δὲ ἕτερον ἀπελεύθερον.[3]

---

144 Cod. 6, 37, 2. 145 Cod. eod. 3. 146 Cod. eod. 5. 147 Cod. eod. 7. 148 Theod. ad Cod. 6, 40, 2. 149 Cod. 6, 42, 7. 1 Theoph. Inst. 1, 3, 1 (Proch. 34, 1). 2 Theoph. 1, 3, 2 (Proch. eod. 2). 3 Theoph. 1, 4 pr. (Proch. eod. 4).

δ'. Εἰ δὲ καί τις ἐξ ἐλευθέρας τεχθῇ μητρὸς δούλου δὲ πατρός, εὐγενὴς ὁμοίως ἔσται, ὥσπερ ὁ ἐξ ἐλευθέρας μητρὸς καὶ ἀδήλου πατρὸς τουτέστιν ἀπὸ πορνείας τεχθείς· οὐδὲ γὰρ βλάπτει τὴν τοῦ παιδὸς εὐγένειαν τὸ ἐκ πορνείας γενέσθαι τὴν σύλληψιν. ἀρκεῖ δὲ ἐλευθέραν εἶναι τὴν μητέρα κατὰ τὸν χρόνον τοῦ τοκετοῦ, εἰ καὶ ὁ τῆς συλλήψεως καιρὸς οἶδεν αὐτὴν δούλην.[4] καὶ θεμάτισον ὅτι ἐρασθείς τις τῆς οἰκείας θεραπαίνης ἔσχεν ἐξ αὐτῆς υἱὸν ἢ θυγατέρα, καὶ δοῦλον ἦν τὸ τεχθὲν ὡς ἐκ δούλης γαστρὸς προελθόν.

ε'. Ὁ παρὰ θεραπαίνης τεχθεὶς τότε καὶ μόνον γίνεται δοῦλος, ὅτε ἡ τούτου μήτηρ καὶ δούλη οὖσα συνέλαβε καὶ δούλη διέμεινε καὶ δούλη τέτοκεν. εἰ δὲ γένηται σύλληψις ἐν ἐλευθερίᾳ, τοκετὸς δὲ ἐν δουλείᾳ, ἐλεύθερος ὁ τικτόμενος. ὡς βι. α' ἰνστιτ. τί. δ'.[5]

ς'. Ἐντεῦθεν οὖν ἐζητήθη· δούλη τὶς οὖσα κατὰ τὸν καιρὸν ὃν συνέλαβε τῆς δουλείας ἐλευθερώθη, ὀλίγου δὲ χρόνου παραδραμόντος κατεδουλώθη, εἶτα τέτοκε μετὰ τὴν καταδούλωσιν. κελεύομεν ἐλεύθερον εἶναι τὸ τικτόμενον· ἀρκεῖ γὰρ τῷ ὄντι ἐν γαστρὶ τὸ κατὰ τὸν μέσον καιρὸν ἐλευθέραν εἶναι τὴν μητέρα.[6] — ση. τὰ ἐξ ἐλευθέρας γαστρὸς ἐλεύθερα γεννῶνται εἰ καὶ δοῦλος ἦν ἢ καὶ ἐναπόγραφος ὁ τούτων πατήρ.[7] — Ἰουστ. νεαρὰ ρμβ'.[8] τὰ ἐκτιθέμενα βρέφη ἐλευθεροῦνται πρὸς μίμησιν τῶν ἐν νόσῳ ὑπὸ τῶν δεσποτῶν αὐτῶν καταφρονουμένων, καὶ οἱ ἐκθέμενοι αὐτὰ ὡς φονεῖς τιμωροῦνται. — σχόλ. Ἐὰν δύο ἐναπόγραφοι διαφόρου δεσποτείας συνέλθωσιν πρὸς γάμον καὶ παῖδες σχῶσιν μέχρι δύο τὸν ἀριθμόν, πρὸς λαχμὸν μερίζονται. εἰ δὲ ἄνισος ᾖ, τυχὸν γ' ὄντων τῶν τεχθέντων, οἱ δύο τῆς μητρὸς ἔσονται, ὁ εἷς δὲ τῇ τοῦ πατρὸς ἀκολουθήσει δεσποτείᾳ. εἰ δὲ καὶ εἷς μόνος ἐστὶν ὁ τεχθείς, τηνικαῦτα τὴν γαστέρα τὸ πλέον ἔχειν.[9] εἰ καὶ ἀπηνὴς ὁ μὲν παῖς ἀκολουθήσει τῇ μητρί.

---

4 Theoph. l. l. (Proch. eod. 5). 5 Theoph. l. l. 6 Theoph. l. l. 7 Athanas. 10, 2. 8 In collect. 168 Novv. est Nov. 153. 9 Athanas. 18, 4. 5. — F has habet §§: Ὁ ἀπὸ ἐλευθέρας καὶ ἐναπογράφου τικτόμενος ἢ ἀπὸ ἐλευθέρου καὶ ἐναπογράφου γυναικὸς τῇ αἱρέσει τῆς μητρὸς ἀκολουθεῖ (Cod. 11, 48, 24 pr.). — Βι. ε' τί. ε' διατ. β' lege (γ'). οὐδεὶς νομίμως δούλην ἐνάγεται. τὰ δὲ ἐξ αὐτῆς τικτόμενα δοῦλα νοεῖται. — Ὅτι τὰ ἀπὸ δούλης τικτόμενα τῇ μητρὶ ἀκολουθεῖ καὶ οὐ τῷ πατρί. πλὴν ἴσθι ὅτι ὁ μὴ ἔχων γυναῖκα εἰ ἔχει τὴν ἰδίαν δούλην παλλακὴν καὶ ἐπιμείνῃ τῇ αὐτῇ βουλήσει μέχρι θανάτου, καὶ ἡ δούλη καὶ τὰ ἐξ αὐτῆς τικτόμενα ἐλεύθερα νοεῖται καὶ ἀναγράφεται (Theodori Cod. 7, 15, 3).

ζ'. Ἐὰν ἐν ἀγνοίᾳ τὶς τῆς οἰκείας δουλεύσῃ τύχης, εἶτα ἐλευθερωθῇ, οὐδεμίαν ὑποστήσεται περὶ τὴν εὐγένειαν βλάβην ἐκ τοῦ ἐλευθερωθῆναι· τοῦτο γὰρ πολλάκις ταῖς βασιλικαῖς εἴρηται διατάξεσιν. ἡ γὰρ κατὰ τὸ περιττὸν διδομένη ἐλευθερία προστεθεῖσα διὰ τὴν ψευδῆ δουλείαν τὴν ἐξ ἀληθείας οὐκ ἠδίκησεν εὐγένειαν.[10]

η'. Ὁ μείζων τῶν εἴκοσι ἐτῶν πραθεὶς καὶ τὸ οἰκεῖον τίμημα λαβὼν οὐκ ἀναβοᾷ εἰς ἐλευθερίαν. εἰ δὲ ἐξ αἰτίας ἀνάσχηται πραθῆναι, ἀναβοᾷ. ὁ δὲ ἐλάττων τῶν κ' ἐτῶν κἂν λάβῃ τὸ τίμημα βοηθεῖται, εἰ μὴ μετὰ κ' ἔτη μερίσεται τὴν τιμήν.[11] — ση. καθόλου ἡ πρᾶσις ἀνατρέπεται. σήμερον τοῦτο οὐ κρατεῖ.[12]

θ'. Ἡ ἐλευθερία οὐκ ἔστιν ἰδιωτικὸν δίκαιον, ἀλλὰ δημόσιον πρᾶγμα, καὶ διὰ τοῦτο ὁ χρεωστῶν ἐλεύθερος προσφέρειν αὐτὴν οὐ δύναται.[13]

ι'. Οὐ χρὴ ἐν ταῖς περὶ ἐλευθερίας δίκαις βασανίζεσθαι τὸν ἀναβοῶντα εἰς ἐλευθερίαν.[14]

ια'. Σκληρόν ἐστι τὸ ἀνατραπῆναι ἐλευθερίαν διὰ μόνον τὸ[15] ζημιωθῆναι τὸν βεβαρημένον αὐτήν.[16]

ιβ'. Καὶ ὁ ἀνὴρ δοῦλον τῆς προικὸς ἐλευθερώσας καὶ εἴ τι κερδήσει ἐκ τοῦ ἐλευθερῶσαι καὶ εἴ τι κατὰ δόλον μὴ κερδήσῃ, ἀπαιτεῖται ἀποκαταστῆσαι τῇ γαμετῇ αὐτοῦ.[17]

ιγ'. Ἐὰν ἐπὶ τὸν αὐτὸν οἰκέτην ληγάτα καὶ ἐλευθερία συνδράμῃ, νικᾷ ἡ ἐλευθερία.[18]

ιδ'. Οἱ ἀπὸ πλαστῶν κωδικέλλων ἐλευθερωθέντες μένουσι μὲν ἐλεύθεροι, ἀπαιτοῦνται δὲ τὸ οἰκεῖον τίμημα, ἐὰν ἐπὶ ε' ἔτη ἔμειναν ἐλεύθεροι.[19]

ιε'. Τὸ τῆς ἐλευθερίας χρέος οὐ διαλύεται χρήμασιν οὔτε ἀγοράζεσθαι δύναται ἐλεύθερος.

ις'. Ὁ τὸν αἰχμάλωτον ἀλλότριον ὄντα δοῦλον ἀγοράζων παρὰ τῶν πολεμίων καλῶς αὐτὸν ἐλευθεροῖ καὶ οὐχ ὑποστρέφει πρὸς τὸν πάλαι δεσπότην.[20]

ιζ'. Ἐλευθερούμενος ὁ δοῦλος κεφαλικοῦ ἐγκλήματος τοῦ δεσπότου μένει, κἂν μὴ δεφενδεύηται παρ' αὐτοῦ.[21] ἢ γὰρ ἂν

---

10 Theoph. 1, 4 § 1. 11 F addit βι. μ' τί. κγ' (lege ιγ') διγ. μα' (lege α'). 12 Cf. Nov. Leonis 59. 13 Dig. 40, 5, 53 pr. 14 Dig. 48, 18, 10 § 6. 15 Adde μή. 16 Dig. 40, 5, 45 § 1? 17 Dig. 24, 3, 61 sqq. 48, 10, 14 § 2. 18 F addit βι. μ' τί ε' διγ. μθ' (dig. 50). Cf. etiam Dig. 31, 14 pr. 19 Dig. 5, 2, 8 § 17. 37, 14, 23. 40, 4, 47 pr. 20 Dig. 49, 15, 12 § 9. 21 Dig. 48, 1, 9.

ἐπαύσατό τις τοῦ δεσπότου ἀποπληρῶν τὸ διαφέρον διὰ τῶν οἰκείων ὀπερῶν τουτέστι καμάτων καὶ ἐλεύθερος γίνεται καὶ ἄκοντος τοῦ δεσπότου.

ιη'. Ἐὰν τῷ ἐμῷ οἰκέτῃ καταλείψω φιδικομισσαρίαν ἐλευθερίαν, ἐμὸς ἐπελεύθερος οὐ γίνεται, ἀλλὰ τοῦ ἐλευθερώσαντος τουτέστι τοῦ ἐπιθήσαντος τὸ φάκτον τῆς ἐλευθερίας.[22] ἔνθα φησὶν ὅτι ὁ φιδικομισσαρίᾳ ἐλευθερίᾳ τιμηθεὶς κἂν πραθῇ ἐλευθεροῦται. ὅτι ἐξουσίαν ἔχει ἐλευθερούμενος ὃν βούλεται πάτρωνα ἐπιλέξασθαι ἢ τὸν κληρονόμον ἢ τὸν ἀγοραστὴν, ἐὰν πρὸ ἐλευθερίας πραθῇ.[23]

ιθ'. Καλῶς κινεῖ ὁ οἰκέτης κατὰ τοῦ δεσπότου κεχρεωστημένος φιδικομισσαρίαν ἐλευθερίαν.[24]

κ'. Ὁ κινήσας τὴν δὲ ἰνοφφικιόσο καὶ ἀνατρέψας τὴν διαθήκην ἀναγκάζεται ἐπιθεῖναι τὰς ἐλευθερίας λαμβάνων παρὰ ἑκάστου δούλου ἀνὰ εἴκοσι χρυσίνων.[25] τὰ γὰρ μεταξὺ ἑτέρων κρινόμενα ἄλλους οὐ καταβλάπτει.

κα'. Ὁ οἰκέτης διοικῶν τὰ τοῦ δεσπότου κἂν δόλον ποιήσῃ ἐν αὐτοῖς, οὐκ ἐνάγεται μετὰ ἐλευθερίαν. ὁ δὲ ἐπιμείνας καὶ μετὰ τὴν ἐλευθερίαν τῇ αὐτῇ διοικήσει ἐνάγεται περὶ ὧν ἔπραξεν ἐν δουλείᾳ.[26]

κβ'. Ἐὰν δοῦλος εἰωθὼς ἡμερούσιόν τι παρασχεῖν τῷ ἰδίῳ δεσπότῃ λόγῳ τυχὸν τῆς καλουμένης ἀναφορᾶς, εἰ ἐλευθερωθῇ παρ' αὐτοῦ, τουτέστιν οὕτως· ὁ δεῖνα ὁ ἐμὸς οἰκέτης ἔστω ἐλεύθερος μετὰ τρεῖς ἐνιαυτοὺς ἐὰν παράσχῃ τοῖς ἐμοῖς κληρονόμοις ἅπερ ζῶντος ἐμοῦ παρέχειν εἰώθει, μόνον ἕως τῆς ἡμέρας τῆς ἐλευθερίας ἀναγκάζεται παρέχειν, οὐ μὴν μετὰ ἐλευθερίαν.[27] — ση. φανερόν ἐστιν ὅτι λαβὼν τὴν ἐλευθερίαν εἰς τὴν αὐτὴν καταβολὴν συνωθεῖσθαι οὐ δύναται.

κγ'. Εἴσω ε' ἐνιαυτῶν κινουμένης τῆς δινοφφικιόσο καὶ κρατούσης οὐκ ἰσχύουσιν αἱ διδόμεναι ἐν διαθήκῃ ἐλευθερίαι. μετὰ δὲ ε' ἐνιαυτοὺς κινουμένης αὐτῆς καὶ ἀνατραπούσης ἁρμόζει δὲ καὶ κατὰ τῶν οἰκετῶν ἡ ἐλευθερία, ἀπαιτοῦνται δὲ ἀνὰ κ' χρυσοὺς παρασχεῖν τῷ νενικηκότι.[28]

κδ'. Ὅτε διὰ τὸ μὴ ὑπακοῦσαι κληθέντα τὸν κληρονόμον κατακρίνηται ἡ διαθήκη, ἰσχύουσιν αἱ ἐν αὐτῇ ἐλευθερίαι.

κε'. Ὁ στατουλίβερ τουτέστιν ὁ ἐπὶ ὅρῳ ἐλευθερίας πταίων ὡς ἐλεύθερος τιμωρεῖται.[29]

---

[22] Theoph. Inst. 2, 24, 2. [23] Dig. 40, 5, 24 § 21. [24] Dig. 40, 5, 44. [25] Dig. 5, 2, 9. [26] Dig. 3, 5, 17. Cod. 2, 18, 21. [27] Cod. 6, 3, 9. [28] Dig. 5, 2, 8 § 17. [29] Dig. 48, 18, 14.

κϛ'. Ἐὰν ἀπόκληρος υἱὸς κινήσῃ κατὰ τῶν σκρίπτων ἀδελφῶν καὶ λάβῃ τὸ μέρος, οὔτε ληγάτα οὔτε ἐλευθερίαι ἐν τῇ διαθήκῃ ταύτῃ ἰσχύουσιν. εἰ δὲ ἀβστινατεύσει τουτέστιν ὑποκατάστατος γένηται τοῦ πατρῴου κλήρου, ἔῤῥωνται αἱ ἐλευθερίαι.[30]

κζ'. Αἱρετικῆς ἐλευθερίας ἐν διαθήκῃ καταλειφθείσης, ἐν κωδικέλλῳ δὲ πούρας τουτέστι καθαρᾶς, ἡ ποῦρα προτιμᾶται.

κη'. Ἐὰν γράψω οἰκέτην ἐν διαθήκῃ ἐλεύθερον καὶ ὕστερον χαράξω τὸ ὄνομα αὐτοῦ, ἔῤῥωται καὶ οὐδὲν ἧττον ἡ ἐλευθερία βλάπτεται.[31]

κθ'. Τὸν καθαρῶς ἐλευθερίᾳ τιμηθέντα ἐν οὐδεμιᾷ ῥοπῇ δεσπόζει ὁ κληρονόμος, τὸν δὲ ὑπὸ αἵρεσιν δεσπόζει ἕως ὅτε ἡ αἵρεσις ἤρτηται.[32]

λ'. Ὅτε ὁ αὐτὸς οἰκέτης καὶ ληγατεύεται καὶ ἐλευθερίᾳ ὑπὸ αἵρεσιν τιμᾶται, εἰ μὲν ἐξέλθῃ ἡ αἵρεσις τῆς ἐλευθερίας, ἀνατρέπεται τὸ ληγάτον· ἀσθενούσης δὲ αὐτῆς ἔῤῥωται τὸ ληγάτον.[33]

λα'. Ἐὰν ἄπορος πολλοὺς οἰκέτας ἐλευθερώσῃ ἐν διαθήκῃ ἐξωτικὸν γράψας κληρονόμον, ἀναγκάζεται ὁ κληρονόμος ἀδιτεῦσαι καὶ ἀποκαταστῆσαι τῷ οἰκέτῃ τῷ πρώτῳ γεγραμμένῳ ἐλευθέρῳ, καὶ ἐκεῖνος ἐλεύθερος γίνεται, οἱ δὲ ἄλλοι μένουσι δοῦλοι. ἔξεστι δὲ καὶ αὐτῷ τῷ πρώτῳ ἐλευθερωθέντι ἀδιτεύειν καὶ ἐλευθεροῦσθαι. ὡς βι. κη' τί. ε' διγ. ιγ'.[34] — ση. τότε ἀκυροῦσθαι τὰς ἐλευθερίας ὅτε γνώμῃ πονηρᾷ τοὺς οἰκέτας ἠλευθέρωσε πρὸς βλάβην τῶν δανειστῶν.[35]

λβ'. Ἐὰν τῷ πουπίλῳ μου ὑποκαταστήσω οἰκέτην σὺν ἐλευθερίᾳ, καὶ ὁ πούπιλος πωλήσῃ τὸν οἰκέτην τῷ τιτίῳ, καὶ ὁ τίτιος τάξῃ τὸν οἰκέτην σὺν ἐλευθερίᾳ κληρονόμον, εἰ μὲν χώραν λάβοι ἡ ὑποκατάστασις τοῦ τεστάτορος καὶ ὁ πούπιλος ἀποθάνῃ παῖς, τότε ὁ οἰκέτης ἀπὸ τῆς ὑποκαταστάσεως γίνεται ἐλεύθερος· εἰ δὲ ἡβήσει ὁ πούπηλος, ἀπὸ τῆς διαθήκης τιτίου γίνεται ἐλεύθερος.[36]

λγ'. Τῶν ἐν διαθήκῃ ἐλευθερουμένων οὐ συνελευθεροῦται τὸ πεκούλιον, οὐδὲ ἐὰν κελευσθῇ ὁ οἰκέτης τυχὸν διοικητὴς ὢν μὴ ἀπολογαριάζειν.[37] — Καὶ δοῦλος στρατευόμενος εἰδήσει τοῦ δεσπότου αὐτοῦ ἐλευθεροῦται.[38]

---

[30] Cf. supra tit. 37 § 31. [31] Dig. 28, 4, 3 in fine. [32] Cf. tit. 37 § 17. Dig. 40, 4, 23 § 1. [33] Cf. tit. 37 § 37. Dig. 40, 4, 40. [34] Dig. 28, 5, 83 § 1. [35] F addit *βι. α' τί. α'.* Theoph. Inst. 1, 6 § 3. [36] Dig. 28, 6, 48 § 2. [37] Cod. 7, 23, 1. Dig. 30, 119 in fine. [38] Theod. Nov. 81 § 1.

λδ'. Οἱ ἀπελεύθεροι στρατείας ἢ ἀξίας τυχόντες εἰδότος τοῦ πάτρωνος καὶ μὴ ἀντιλέγοντος οὐκέτι ὑπόκεινται τῷ πατρωνικῷ δικαίῳ. ἡ δὲ δ' διάτ. τοῦ ζ' τί. τοῦ ς' βι. τοῦ κώδ. λέγει ὡς εἰ μὴ ᾔδει ὁ πάτρων, δύναται αὐτοὺς καταδουλοῦν, ἐπειδὴ ἐκ τοῦ στρατεύεσθαι δοκοῦσιν εἶναι ἀχάριστοι.[39]

λε'. Ὁ ἀμελῶν τοῦ ἰδίου ἀπελευθέρου ἀῤῥωστοῦντος ἀπόλλυσι τὰ κατ' αὐτοῦ πατρωνικὰ δίκαια. ὁμοίως καὶ ὁ περιφρονηθεὶς οὕτω δοῦλος ἐλευθεροῦται, ἀλλὰ καὶ ὁ ἐκτεθείς.[40]

λς'. Ὁ υἱὸς τοῦ πάτρωνος ἕλκων εἰς δουλείαν τὸν ἀπελεύθερον ἢ κατηγορῶν αὐτοῦ κεφαλικῶς ἀπόλλυσιν ἃ ἔχει κατ' αὐτοῦ πατρωνικὰ δίκαια. εἰ δὲ ἐξ ἀχαριστίας, καλῶς καταδουλοῖ τὸν ἀπελεύθερον.[41]

λζ'. Τιμᾶν μὲν ὁ ἀπελεύθερος ὀφείλει τὸν υἱὸν τοῦ ἰδίου πάτρωνος, οὐ καταδουλοῦται δὲ ἐξ αὐτοῦ εἰ μὴ ἄρα ὀφθῇ παρ' αὐτοῦ ἀχάριστος. — σχόλ. ποινὰς ὑφίσταται ὁ ἀπελεύθερος μὴ τιμῶν τοὺς παῖδας τοῦ ἰδίου πάτρωνος. ὁ δὲ ὑβρίζων καταδουλοῦται ὡς ἀχάριστος.[42]

λη'. Ὁ λαβὼν ἀλλότριον οἰκέτην ἐπὶ τῷ ἐλευθερῶσαι αὐτὸν οὐ δύναται ἐπιθεῖναι αὐτῷ ὀπέρας οὐδὲ ἐξ ἀχαριστίας καταδουλοῦν αὐτόν.[43]

λθ'. Ὅτι[44] καλῶς δίδωσιν ὁ ἀπελεύθερος μισθὸν ὑπὲρ τῶν αὐτοῦ ὀπερῶν. μὴ λάθῃ σε δὲ ἡ β' διατ. τί. ιγ' τοῦ ς' βι. τοῦ κώδ. δηλοῦσα ὅτι ἐὰν ἐπιλέξηται ὁ πάτρων τὰ δῶρα καὶ τὰς ὀπέρας τοῦ ἀπελευθέρου, οὐ κληρονομεῖ αὐτόν. ὅτι πᾶς ἀπελεύθερος ὑπόκειται ὀπέραις, εἰ μὴ ἄρα ἓν τῶν λεχθέντων ἐποίησεν. καὶ ὁ ἀγορασθεὶς ἐξ ἰδίων νουμμῶν καὶ ἐλευθερωθεὶς οὐχ ὑπόκειται. καὶ ἡ γαμηθεῖσα τῷ ἰδίῳ πάτρωνι ὀπέρας οὐ μεθοδεύεται, κἂν μετὰ τοῦτο ἑτέρῳ ἐγαμήθη.[45]

μ'. Ὁ τοῦ πάτρωνος υἱὸς μὴ κληρονομῶν τὸν πατέρα ὡς ἀχάριστος οὐδὲ τὸν ἐκείνου ἀπελεύθερον διαδέχεται.[46]

μα'. Δουλικὴν ὑπηρεσίαν οὐ χρεωστεῖ ποιεῖν τῷ ἰδίῳ πάτρωνι οὐδὲ δεσμοῖς ὑπόκειται.[47]

---

[39] Theodori Cod. 6, 4, 4. [40] Theod. cit. — F pergit *ἐλευθεροῦται, καὶ οὐδὲ δουλεύειν ἀναγκάζεται τῷ ἀναλαμβάνοντι αὐτόν. τοῦτο νόει, ἐὰν ὁ δεσπότης αὐτὸν ἐξέθετο. καλῶς αὐτὸν διεκδικεῖ ὁ δεσπότης.* (Cod. 8, 52, 1. Vide infra §). [41] Theod. cit. [42] F addit *τί. ζ' διατ. τοῦ κώδ.* Innuit Cod. 6, 7, 3. [43] Cod. 6, 3. 2. [44] Lege *Οὐ.* [45] Theod. Cod. 6, 4, 4. [46] Theod. Cod. 6, 4, 4. [47] In F sic est: *βι. ς' τοῦ κώδ. τί. ς' διατ. β'* (lege *ς'*) *ὁ ἀπελευθέρος ὑπηρεσίαν χρεωστεῖ τῷ πάτρωνι τὴν ἐποφειλομένην ἐλευθέρῳ. δουλικὴν δὲ ὑπηρεσίαν αὐτῷ οὐ χρεωστεῖ οὐδὲ δεσμοῖς ὑπόκειται. ἐπειδὴ διακέκριται ἡ τῶν ἐλευθέρων πρὸς τοὺς δούλους*

μβ΄. Ἐάν τις ἐξ ἀχαριστίας καταδουλωθῇ, καὶ οἱ τεχθέντες αὐτῷ μετὰ τὴν ἀχαριστίαν παῖδες οὐ δύνανται ἐλευθερίας ἑτέρως τυχεῖν εἰ μὴ ἀπὸ βασιλικῆς κελεύσεως.[48] ση. ξένον. — Ὑποβάλλει τῇ δουλείᾳ ἡ ἐλευθέρα καταδουλουμένη οὓς ἐγκυμονεῖ παῖδας ἐν ᾧ ἠλευθερώθη καιρῷ. — Δοῦλος ἐκ τοῦ ἰδίου πάκτου[49] τινὰ χρήματα δοὺς τῷ αὐτοῦ δεσπότῃ ἐπὶ τῷ ἐλευθερωθῆναι τὰ οἰκεῖα τέκνα, οὐκ ἀναλαμβάνει ἃ δέδωκε καὶ τῶν τέκνων αὐτοῦ μὴ ἐλευθερουμένων. τοῦτο γὰρ ἐπὶ ἐλευθέρου προβαίνει. ἀλλὰ προσέρχεται τῷ ἄρχοντι καὶ αἰτεῖ μετὰ τιμῆς τὸν δεσπότην αὐτοῦ πληρῶσαι τὰ δόξαντα περὶ ἐλευθερίας.[50]

μγ΄. Τὸν πενόμενον πάτρωνα ἀναγκάζεται τρέφειν ὁ ἀπελεύθερος.[51] καὶ ὁ μὴ κληρονομῶν τοῦ πατρὸς καλῶς ἀναγκάζει τὸν πατρῷον αὐτοῦ ἀπελεύθερον θρέψαι αὐτόν. ὡς βι. κθ΄ τί. β΄ διγ. γ΄.[51]

μδ΄. Καὶ ὁ μὴ ἀποθρέψας τὸν πενόμενον ἀπευλεύθερον ἀπαιτεῖν αὐτὸν ὀπέρας οὐ δύναται ἤγουν δουλείας καὶ καμάτους.[53]

με΄. Ἀπελεύθερος καταφρονῶν τοῦ πάτρωνος ἢ ἐνυβρίζων αὐτὸν ἢ παῖδας ἢ γαμετὴν αὐτοῦ πρὸς τὸ μέτρον τοῦ ἁμαρτήματος σωφρονίζεται, ὥστε καὶ ῥοπάλοις αὐτὸν ἐσθ᾽ ὅτε τύπτεσθαι.[54] καὶ ὅτι συμπνέων ἐχθροῖς αὐτοῦ καὶ ὅτι ἀτιμοποιὸν ἀγωγὴν κινῶν κατ᾽ αὐτοῦ ἢ νοσοῦντος τοῦ πάτρωνος ἀμελῶν αὐτοῦ καταδουλοῦται. εἰ καὶ ἐπιμένοι τῇ κακίᾳ, πιπράσκεται καὶ τὸ τίμημα αὐτοῦ τῷ πάτρωνι δίδοται.[55]

μς΄. Ἐὰν ἐν μέρει ἀνατραπῇ ἡ διαθήκη ἀπὸ τῆς δινοφφικιόσο, αἱ ἐλευθερίαι εἰς ὁλόκληρον δίδονται.[56]

μζ΄. Καὶ δοῦλον τοῦ κληρονόμου δύναται καταλιπεῖν ὁ διαθέμενος ἐλευθερίαν διρέκταν καὶποῦραν τουτέστιν ὀρθὴν καὶ καθαράν.[57]

μη΄. Ἐὰν καταλειφθῇ ἐλευθερία, ἐὰν γένηται ὁ υἱὸς τοῦ διατιθεμένου ιδ΄ ἐνιαυτῶν, εἰ καὶ τελευτήσῃ πρὸ τῶν ἐνιαυτῶν τούτων ὁ κληρονόμος, ἔῤῥωται ἡ ἐλευθερία περιμένουσα πληρωθῆναι τοὺς ιδ΄ ἐνιαυτούς.[58] — ση. ἔθος πανταχοῦ τῷ νόμῳ περιθάλπειν τὴν ἐλευθερίαν.

ὑπηρεσία, καὶ ὡς τὰ τοῦ λιβερδούλου ἐστὶ τοῦ κληρονόμου. βι. λζ΄ τί. ιδ΄ διγ. [48] Cod. 6, 7, 2. [49] Lege πεκουλίου. [50] Theod. Cod. 4, 6, 9. [51] Cod. 6, 3, 1. [52] Lege ογ΄. [53] Dig. 25, 3, 6 pr. 38, 2, 33. [54] Dig. 37, 14, 7 § 1. [55] Dig. 25, 3, 6 § 1. [56] Dig. 31, 76 pr. 44, 2, 29 pr. Cod. 3, 28, 13. Cf. supra tit. 29 § 18. [57] Imo vide Cod. 7, 2, 9. [58] Dig. 40, 7, 19.

μθ'. Ἡ στάτου λίβερα τουτέστιν ἡ ἐπὶ ὅρῳ ἐλευθερίας ἐὰν δούλη τιμωρίας γένηται, μένει μὲν δούλη καὶ μετὰ τὸ ἐξελθεῖν τὴν αἵρεσιν, ἐλευθέρα δὲ γεννᾷ. πᾶσα δὲ στάτου λίβερα ἕως ὅτε ἡ αἵρεσις ἤρτηται δούλους τοῦ κληρονόμου γεννᾷ. ὡς βι. μ' τί. α' διγ.[59]

ν'. Ἐὰν εἰδώς τινα δοῦλον εἶναι ὁ βασιλεὺς ἄρχοντα τοῦτον ποιήσῃ, αὐτῷ τούτῳ ἐλεύθερον αὐτὸν ποιεῖ.[60]

να'. Ἐὰν ἐπὶ ὅρῳ τοῦ ἐμπροθέσμως ἐλευθερῶσαι δοῦλον παραδώσω σοι καὶ ὑπέρθῃ αὐτὸ μετὰ[61] ἐκ τῆς μάρκου διατάξεως ἀφαρπάζεται εἰς ἐλευθερίαν ὁ οἰκέτης.[62]

νβ'. Διελέγχων ὁ δοῦλος τὴν τοῦ ἰδίου δεσπότου ἀναίρεσιν προνόμιον λαμβάνει τὴν ἐλευθερίαν ὡς ἔπαθλον. ὡς βι. λζ' τί. ιδ' διγ. κγ'.[63]

νγ'. Ἐὰν πωλήσω σοι θεράπαιναν ἐπὶ ὅρῳ ἐὰν προστῇ ἐλευθέραν αὐτὴν εἶναι, καὶ πωλήσῃς αὐτὴν ἄλλῳ σὺ δίχα τοιαύτης αἱρέσεως καὶ προστῇ, αὕτη ἐλευθέρα γίνεται. τὸ αὐτὸ καὶ ἐὰν πωλήσω δούλην ἵνα ἐὰν προστῇ ἀφέλωμαι αὐτήν. καὶ ἀφελόμενος προστήσω αὐτὴν αὐτομάτως ἐλευθεροῦται.[64]

νδ'. Καλῶς[65] πωλεῖται παρὰ τοῦ πατρὸς ὁ φυσικὸς αὐτοῦ υἱὸς ἐπὶ ὅρῳ ἐλευθερίας, ἐὰν ἄρα πένης ἐστίν.[66]

νε'. Ὁ ἐλεύθερον ἄνθρωπον ἐν εἰδήσει ἀγοράζων ἢ πωλῶν τῷ φαβίῳ ὑπόκειται. ὁμοίως καὶ ὁ τὴν φυγὴν τοῦ οἰκέτου πιπράσκων τῷ φαβίῳ ὑπόκειται. καὶ ὁ ἐλεύθερον εἰς προῖκα δοὺς ἢ λαβὼν ἢ ἀλλάξας ὑπόκειται.[67] — ση. οἰκέτης τῷ φαβίῳ ὑποπεσὼν οὐδέποτε ἐλευθεροῦται.

νς'. Ὁ τὸν φυγάδα τὸν ἀλλότριον ὑποδεξάμενος ἢ κρύψας ἢ δήσας ἢ ὑπονοθεύσας φυγεῖν τῷ φαβίῳ ὑπόκειται.[68]

νζ'. Οἰκέτης σὺν ἐλευθερίᾳ γραφόμενος κληρονόμος ὑφ' ἑαυτοῦ κτᾶται τὴν ἐλευθερίαν. ὡς βι. μ' τί. ζ' διγ. β'.[69]

νη'. Ἐάν στρατιώτης ἐάσῃ ληγάτα τῷ ἰδίῳ δούλῳ, ἐλεύθερον αὐτὸν ποιεῖ. ὡς βι. ς' τί. μβ' διατ. κη' τοῦ κώδ. καὶ δέξαι τοῦτο ἰδικῶς ἐπὶ στρατιώτου, ἐπὶ δὲ ἰδιώτου οὐχ οὕτως.[70]

---

[59] Dig. 40, 7, 6 pr. et dig. 16. [60] Cod. 12, 5, 4. 34, 7. Huc pertinere videtur quod F et D et V laudant βι. ιβ' τί. β' (vel δ') διατ. β' (vel ε' vel ς'). [61] μεταγνούς? [62] Cf. Dig. 37, 14, 8 § 1. 40, 8, 1. [63] Scil. pr. Sed et cf. Dig. 40, 8, 5. [64] Dig. 37, 14, 7 pr. 40, 8, 7. [65] F praemittit βι. ς' τί. δ'. διγ. γ'. [66] Cf. Theod. Cod. 7, 16, 1 et Cod. 4, 57, 2. [67] Dig. 48, 15, 1. 2 § 3 et dig. 4. [68] Dig. eod. 5. 6 § 2. — F addit βι. μ' τί. ιβ' διγ. μα'. [69] Scil. § 3. [70] Theod. Nov. 78 § 5.

νθ'. Ὁ τιμηθεὶς ληγάτῳ καὶ ἀξιωθεὶς δοῦλον ἴδιον ἐλευθερῶσαι, εἰ καὶ περικόψει τὸ ληγάτον αὐτοῦ ὁ φαλκίδιος, ὅμως ἀπαιτεῖται τὸν οἰκέτην αὐτοῦ ἐλευθερῶσαι.[71]

ξ'. Εἰ καὶ ὕπατος γένηται ὁ ἐλάττων τῶν κ' ἐνιαυτῶν, οὐ δύναται ἐλευθερῶσαι τὸν ἴδιον οἰκέτην, ἐπεὶ αὐτός ἐστιν ὁ ἀπὸ δόγματος συγκλήτου τὴν αἰτίαν δοκιμάζων καὶ ὥσπερ δικαστοῦ τάξιν ἐπέχει· δικάζειν δὲ οὐδεὶς ἐπὶ οἰκείῳ δύναται πράγματι.[72] — ση. δύναται δὲ ὁ ἐλάττων τῶν κ' ἐνιαυτῶν ἐλευθερῶσαι τοὺς οἰκέτας αὐτοῦ ἀπὸ διαθήκης κατὰ τὴν νεαράν.[73]

ξα'. Οὐ δύναται ὁ οἰκέτης ἐλευθεροῦσθαι ζητήσεως ἐμβασάνου προκειμένης διὰ μοιχείαν.[74]

ξβ'. Ὁ ληγατεύων μοι δοῦλον δύναται καὶ ἐμὲ καὶ τὸν κληρονόμον μοῦ κωλύειν ἐλευθερῶσαι αὐτόν.

ξγ'. Ἐάν τις κατὰ βίαν οἰκέτην παρ' ἐμοῦ λαβὼν τιμήσῃ αὐτὸν ἐλευθερίᾳ, οὐκ ἔρρωται, εἰ καὶ εὔπορος ἐτελεύτησεν ὁ καταλιπὼν αὐτόν.[75]

ξδ'. Ὑπεξούσιος ἐλευθερῶν τὸν οἰκέτην ὃν ἠγόρακεν ἐκ τοῦ καστρενσίου οὐ προσπορίζει τῷ πατρὶ τὸ ἑαυτοῦ πατρωνικὸν δίκαιον.[76]

ξε'. Ἐὰν κατὰ γνώμην ἀπελεύθερός μου υἱοθετηθῇ, ἐκπίπτω τῶν πατρωνικῶν δικαίων ἐξ ἀντιδιαστολῆς.[77]

ξς'. Ἐὰν ἐκτεθῇ παιδίον εἴτε εὐγενῶν γονέων ἐστὶν εἴτε ἀπελευθέρων εἴτε δούλων μηδὲ ὑπὸ τοῦ αὐτοῦ δεσπότου λαμβανέσθω εἰς δουλείαν. ὅτι παρὰ αὐτοῦ τρεφόμενον καὶ ἀναγόμενον ἐλεύθερον καὶ εὐγενὲς διαμένει καὶ ἑαυτῷ προσπορίζει τὰ κτώμενα καὶ κληρονόμοις αὐτοῦ παραπέμπει αὐτά.[78]

ξζ'. Καὶ ἄνηβος ὁ μὴ ἴνφανς τουτέστιν ὁ μὴ ἥττων τῶν ζ' ἐτῶν ἐλευθεροῖ ἐν κονσιλίῳ αὐθεντοῦντος τοῦ ἐπιτρόπου παρακρατοῦντος τὸ πεκούλιον. ὡς βι. μ' τί. β' διγ. κδ'.

ξη'. Ὁ ἥττων τῶν κ' ἐνιαυτῶν ἐλευθερῶν αἰτίαν δεικνύτω, ἢ υἱὸν ἢ θυγατέρα ἢ ἀδελφὸν ἢ ἀδελφὴν ἢ ἄλλως συγγενῆ, συγγάλακτον, τροφέα, παιδαγωγόν, τροφὸν ἢ τέκνα αὐτῆς, ἢ τὰς βίβλους αὐτοῦ βαστάζοντα, ἢ ἐπὶ τὸ προκουράτορα αὐτὸν ποιῆσαι, μὴ ἥττων τῶν ιη' ἐτῶν, ἐν ᾧ μέντοι ἔχει καὶ ἄλλον δοῦ-

---

71 Dig. 35, 2, 36 pr. 72 Dig. 1, 10, 1 § 2. F βι. α'. τί. ι' διγ. ιδ'. Idem addit: ὁ ὑπεξούσιος οὐ δύναται παραγνώμην πατρὸς τὸν πεκουλιάριον αὐτοῦ οἰκέτην ἐλευθερῶσαι (Dig. 37, 14, 3). 73 Nov. CXLV (119). 74 Dig. 40, 9, 12 § 6. F addit: ἠρτημένης τῆς κατηγορίας καὶ ἐκείνης τελευτώσης. βι. κη' τί. ε'. διγ. μη' (§ 2). 75 Dig. 40, 13, 2. 76 Dig. 38, 2, 3 § 8. 77 Dig. 38, 2, 49. 78 Cod. 8, 52, 3.

λον. ὡς βι. μ′ τί. β′ διγ. ια′ καὶ ιβ′. — ση. οἱ ἥττονες τῶν κ′ ἐτῶν καὶ οὐκ ἔλαττον τῶν ιδ′ νέοι ἐλευθερίας καλῶς καταλιμπάνουσιν ἐν τῇ διαθήκῃ αὐτῶν. ὡς νεαρᾷ ριθ′.

ξθ′. Ἡ διὰ γάμον ἐλευθερουμένη παρθένος ὀμνυέτω γαμεῖσθαι εἴσω ἓξ μηνῶν.[79]

ο′. Καὶ ὁ ἄρχων δύναται παρ' ἑαυτῷ ἐλευθεροῦν, οὐκ ἐπὶ βήματι μόνῳ, ἀλλὰ καὶ ἐν παρόδῳ καὶ ἐν κώμῃ, κἂν μὴ παρῇ τῷ ἄρχοντι ῥαβδοῦχος.[80]

οα′. Ὁ πάμφιλος καλῶς ἐχρήσατο τοῖς λόγοις μου, ἐλευθέρως ἔστω. ἐὰν ἐπιζήσαντος τοῦ τεστάτορος μὴ μεμφθῇ περὶ τὴν λογοποιΐαν, ἐλεύθερος ἔσται. ὁμοίως καὶ ὁ ἀκόλουθος, ἐὰν ἐπαύθῃ εἶναι ἀκόλουθος ἐν τῇ τελευτῇ τοῦ τεστάτορος. ὡς βι. μ′ τί. δ′ διγ. ιζ′.[81]

οβ′. Ἐν ἀτελεῖ διαθήκῃ καὶ ἐλευθερίαν καὶ ληγάτα τῇ θρεπτῇ μου θαΐ κατέλιπον. εἰ καὶ ἐξ ἀδιαθέτου πραθῇ καὶ ταῦτα ἁρμόσουσιν. ὡς βι. μ′ τί. ε′ διγ. λζ′.[82]

ογ′. Ἀρέθουσα ἐὰν τρία τέκῃ ἐλευθέρα ἔστω. ἐνεπόδισεν ὁ κληρονόμος τὸν τοκετὸν ἢ φάρμακον ἀσύλληπτον δοὺς ἢ ἀμβλῶναι παρασκευάσας· ἐλευθέρα ἔστω. δύναται γὰρ καὶ τρία ἐν μιᾷ γεννᾶσθαι γαστρί.[83]

οδ′. Ἡ δεῖνα ἐὰν τέκῃ ἄῤῥεν πρῶτον ἐλευθέρα ἔστω. ἔτεκεν ἄῤῥεν καὶ θῆλυ, καὶ ἄδηλόν ἐστι τί πρῶτον ἔτεκε. δοκεῖ ἄῤῥεν ἐν πρώτοις τετοκέναι καὶ γίνεται ἐλευθέρα.[84] — ση. ὅπου γὰρ ἐλπὶς ἐλευθερίας, τότε γίνεται προσκύρωσις καὶ εἰ μὴ βλάπτονται οἱ δανεισταὶ, καὶ διὰ τοῦτο ἀσφάλεια τοῖς δανεισταῖς δίδοται.

οε′. Ἐὰν κράτιστον ἔχων δοῦλον ἐλευθερώσω κρατῖνον ὃν οὐκ εἶχον, ἐλευθεροῦται ὁ κράτιστος. περὶ τὴν συλλαβὴν γὰρ ἐπλανήθην.[85]

ος′. Ἐὰν πωλήσω σοι δοῦλον μὴ εἰπὼν χρόνον ἐφ' ᾧ ἐλευθερωθῆναι αὐτὸν, εἴσω δύο μηνῶν ἀφαρπάζεται εἰς ἐλευθερίαν· εἰ δὲ ἄπεστιν ὁ δοῦλος, ἐντὸς τετραμήνου.[86]

οζ′. Ἐὰν δοῦλος ἐκτεθῇ, ἐλευθεροῦται καὶ οὐδὲ δουλεύειν ἀναγκάζεται, ἐὰν ὁ δεσπότης αὐτοῦ τοῦτον ἐξέθετο· εἰ δὲ καὶ ἐξωτικὸς, καλῶς αὐτὸν ἐκδικεῖ.[87]

---

[79] Dig. 40, 2, 13. [80] Dig. eod. 5. 7. 8. [81] Nobis dig. 18. Vide etiam Dig. 40, 4, 59 pr. [82] Nobis dig. 38. [83] Dig. 40, 7, 3 § 16. [84] Dig. 34, 5, 10 § 1. [85] Dig. 40, 4, 54 pr. [86] Dig. 40, 8, 9. [87] Cod. 8, 52, 1. 2.

οη'. Ἐξότε τὶς τῷ τῆς καθοσιώσεως ἁμάρτῃ ἐγκλήματι οὐ δύναται δοῦλον ἴδιον ἐλευθερῶσαι.[88]

οθ'.[89] Περὶ ἐλευθεριῶν αἰτίας. Ὁ φεύγων καὶ ὡς ἐλεύθερος διάγων ἐν αἰτίᾳ ἐστὶ φυγάδος[90]. τὸ αὐτὸ κἂν κινήσω σοι περὶ κλοπῆς τοῦ δούλου σου, εἶτα οὗτος ἀναβοήσει. εἰ γὰρ κριθῇ ἐλεύθερος, αὐτὸς ἐνάγεται καὶ εἰ κατακριθῇ ὑπόκειται τῇ καταδίκῃ.[91]

π'. Εἰ ἐνάγοιτο ἄνηβος περὶ τύχης, δεῖ ὑπερτίθεσθαι μέχρι τῆς ἥβης εἰ τοῦτο λυσιτελεῖ αὐτῷ.[92]

πα'. Ὃν ὁ δεσπότης ἀγνοεῖ, οὐ δοκεῖ κατὰ γνώμην αὐτοῦ ἐν ἐλευθερίᾳ εἶναι.[93]

πβ'. Κτίζων τὶς εὐκτήριον ἀφώρισεν αὐτῷ δούλους. τοῦ κληρονόμου ἔσονται οὗτοι.[94]

πγ'. Ὁ ἀγοράσας δοῦλον κἂν μήπω δῷ τὴν τιμὴν, τὸ ἱκανὸν δὲ ποιήσει, δύναται ἐλευθεροῦν.[95]

πδ'. Ὁ πραθείς μοι ἐφ' ᾧ μετὰ τρία ἔτη [ἐλευθερωθῆναι], τὸν χρόνον πληρῶν.[96]

πε'. Ἐὰν ὑπὸ αἵρεσιν καταλειφθῇ ἐλευθερία γυναικὶ, καὶ τέκῃ ἐκείνης τῆς αἱρέσεως ἠρτημένης, δούλους γεννᾷ· ἐὰν δὲ μετὰ ὑπέρθεσιν γεννήσει, ἐλευθέρους τίκτει.[97]

---

[88] Cf. Cod. 9, 8, 6. [89] Quae sequuntur G addit, numeris capitum non adjectis. Eorum autem loco F haec habet: *Περὶ ἐναπογράφου. Βι. ια' τί. μη' διατ. β'* (lege *κα'*). *Ἐὰν γυνὴ ἐναπόγραφος συναφθῇ ἐλευθέρῳ, ἐναπόγραφον τίκτει. ὁμοίως καὶ ὁ ἀπὸ ἐναπογράφου πατρὸς τεχθείς. ση. ἐπὶ τῶν ἐναπογράφων ἡ αἵρεσις τῆς μητρὸς σκοπεῖται. — ση. Ὁ υἱὸς τοῦ ἐναπογράφου κἂν διάξῃ ἐπὶ μ' ἔτη ὡς ἐλεύθερος, οὐδὲν ἧττον τῇ ἰδίᾳ τύχῃ ἐναποδίδοται. οὐδὲ γὰρ ἐλευθεροῦται ὁ ἐναπόγραφος διὰ χρονίας παραγραφῆς.* (Cod. ib. 22) — *Ὥσπερ γὰρ οὐκ ἐλευθεροῦται βουλευτὴς διὰ χρονίας παραγραφῆς, οὕτως οὐδ' ἐναπόγραφος ἀπαλλάττεται τῆς ἰδίας τύχης, ἀλλ' ἀποδίδοται αὐτῇ μετὰ τῆς γονῆς αὐτοῦ ὡς δοῦλος.* (Cod. ib. 23) — *Καὶ οὐ μόνον δι' ἄρχοντος ἀλλὰ καὶ δι' ἑαυτοῦ ἕκαστος σωφρονίζει τὸν ἴδιον ἐναπόγραφον.* (Cod. ib. 24). [90] Dig. 40, 12, 10. 11. [91] Dig. ibid. 24 § 4. [92] Dig. ibid. 27 pr. [93] Dig. ibid. 28. [94] Dig. ibid. 35. [95] Dig. ibid. 38 § 2. [96] Dig. ibid. § 3. [97] Cod. 7, 4, 2.

ΤΙΤΛΟΣ λϑ'.

Περὶ παραγγελίας καὶ περὶ καινοτομίας καὶ περὶ δουλείας οἴκων καὶ ἀγρῶν νομῆς.[1]

α'. Ἡ παραγγελία ἐπέχει τὸ ἔργον κἂν νομίμως γίνεται κἂν παρανόμως.[2]

β'. Ὅτε μὴ ἐξόν τις κωλύσῃ, συγχωρεῖ τὴν κώλυσιν.[3]

γ'. Ἡ παραγγελία καὶ χωρὶς προσελεύσεως γίνεται καὶ ὑπὲρ ἑτέρου καὶ ἑκάστῃ ἡμέρᾳ καὶ μετὰ[4] ἀπόντων καὶ ἀκόντων καὶ ἀκόντων καὶ ἀγνοούντων.[5]

δ'. Ὁ μετὰ παραγγελίαν κτίζων καταλύει τὸ κτισθέν.[6]

ε'. Ἔργον νόησον τὸ ἐν ἐδάφει κτίσαι ἢ καταλῦσαι.[7]

ϛ'. Ἔργον καινὸν ποιεῖ τις ἐν τῷ κτίζειν τὶ ἢ ἀφαιρεῖσθαι ἐναλλάσσων τὴν ὄψιν. ὁ δὲ παλαιὸν κτίσμα ὑποστηρίζων οὐ δοκεῖ καινίζειν, ἀλλὰ θεραπεύει τὸ παλαιὸν ἔργον ὑπορθοῦν αὐτὸ, εἴτε ἐν πόλει τὶς οἰκοδομεῖ εἴτε ἔξω τῆς πόλεως.[8]

ζ'. Καὶ τῷ ἐν τῷ ἀγρῷ ἢ δημοσίῳ τόπῳ κτίζοντι καλῶς παραγγέλλομεν. συμφέρει γὰρ τοῦτο τῇ πόλει.[9]

η'. Ἄνηβος δὲ οὐ παραγγέλλει, εἰ μὴ εἰς ἴδιον πρᾶγμα ἢ εἰς φῶτα τυχὸν ἢ ἄποψιν βλαπτόμενος, καὶ τότε δὲ αὐθεντοῦντος τοῦ ἐπιτρόπου.[10]

ϑ'. Δοῦλος παραγγελίαν δέχεται, οὐ παραγγέλλει δέ.[11]

ι'. Ὁ μετὰ παραγγελίαν ἀσφαλισάμενος εἰς ὅσον κρίνει ὁ δικαστὴς ἐνέχεται.[12]

ια'. Ὁ ἔχων δουλείαν ὁδοῦ μὴ παραγγελλέτω τῷ ἐν αὐτῇ κτίζοντι, ἀλλὰ τὴν δουλείαν ἐκδικείτω.[13]

---

[1] F addit *καὶ περὶ ὁροθεσίων. ζήτει βι. λϑ' τί. α' βι. .δ τῶν διγέστων.* [2] Dig. 39, 1, 1 pr. [3] Dig. ibid. [4] Lege *κατά.* [5] Dig. ibid. § 2—5. [6] Dig. ibid. § 7. — F addit §: *Ἐὰν παραγγείλω σοι καινοτομοῦντι καὶ ἐπιτρέψω μετὰ ταῦτα κτίσαι, ἔῤῥωται τὸ σύμφωνον. κινοῦντί μοι ἐκ τῆς παραγγελίας ἀντίκειταί μοι ἡ τοῦ πάκτου παραγραφή. βι. λϑ' τί. α' διγ. α'* (§ 10). [7] Dig. ib. § 12. [8] Dig. ib. § 11—14. [9] Dig. ib. § 14 et dig. 3 § 4 et dig. 4. [10] Dig. ib. 5 pr. — F intercalat §: *Ὅσα ὁ μισθωτὸς ἀγνοῦντος ἢ καὶ ἄκοντός μου ἐν τῷ ἀγρῷ μου καινοτομήσει, ἐγὼ ἐνάγομαι· κατὰ νομέως γὰρ δίδοται τὸ δε βὶ ἰντέρδικτον. εἰ δὲ καὶ δοῦλός μου ἀγνοοῦντός μου καινοτομήσει, καὶ πωλήσω ἢ ἐλευθερώσω αὐτὸν, εἰς ἀνεξικακίαν μόνον ἐνάγομαι, ὁ δὲ ἀγοραστὴς εἰς τὸ δοῦναι εἰς νόξαν τουτέστιν εἰς τὸ δαπάνημα τῆς ἀποκαταστάσεως. καὶ οἰκέτης ἐλευθερωθεὶς εἰς τοῦτο ἐνάγεται. βι. μγ' τί. κδ' διγ. ιδ'. ιε'.* [11] Dig. ib. § 1. [12] Dig. ib. 12. [13] Dig. ib. 14.

ιβ'. Τῶν ἰδίων ἔξεστιν ἑκάστῳ ἐπιμελεῖσθαι μὴ βλάπτων τὸν γείτονα.[14]

ιγ'. Γίνεται τοίνυν ἡ παραγγελία ἢ ἐπὶ παραφυλακῇ τοῦ οἰκείου δικαίου ἢ ἐπὶ τῷ φυλαχθῆναι αὐτῷ τὸ δημόσιον δίκαιον, καὶ ἵνα περὶ τῆς μελλούσης ζημίας ἀσφάλειαν λάβωμεν.[15]

ιδ'. Ὁ ἐπὶ χρῆσιν ἔχων οἶκον ἢ ἀγρὸν δύναται τῷ ἑτέρῳ κτίζοντι παραγγέλλειν, τῷ δεσπότῃ δὲ παραγγέλλειν οὐ δύναται. εἰ δὲ ἐκ τῶν γινομένων παρὰ τοῦ δεσπότου χείρων γένηται ἡ χρῆσις, δύναται τὴν χρῆσιν ἐκδικεῖν.[16]

ιε'. Ὁ κοινωνὸς τὸν συγκτήτορα αὐτοῦ οὐ δύναται παραγγέλλειν, διὰ δὲ τοῦ πραίτωρος κωλύει αὐτόν.[17]

ις'. Ὁ κοινωνός μου κτίζων ἐν τῷ ἐπικοίνῳ οἴκῳ, βλάπτων δὲ ἄλλον, ἐκεῖνος δέχεται τὴν παραγγελίαν καὶ οὐκ ἐγώ.

ιζ'. Ἐάν τις ἔξω τοῦ τόπου ἐν ᾧ γίνεται τὸ ἔργον εὑρὼν ἐν τῇ ἀγορᾷ τυχὸν τὸν δεσπότην τοῦ ἔργου παραγγείλῃ αὐτῷ, οὐκ ἔρρωται ἡ παραγγελία. ὁμολογούμενον γάρ ἐστιν ὅτι ἐν αὐτῷ τῷ πράγματι καὶ τῷ ἔργῳ δεῖ γενέσθαι τὴν παραγγελίαν.[18]

ιη'. Ἐὰν πολλῶν δεσποτῶν ἐπίκοινον πρᾶγμα καταβλάπτει[19] *διὰ τοῦ γενομένου ἔργον, ἆρα ἡ ἑνὸς τῶν δεσποτῶν παραγγελία πᾶσιν ἀρκεῖ, ἢ πάντες ὀφείλουσι παραγγέλλειν; καὶ λέγομεν μὴ ἀρκεῖν τὴν τοῦ ἑνὸς παραγγελίαν πᾶσι τοῖς δεσπόταις, ἀλλὰ ἀνάγκην ἔχειν ἅπαντας παραγγέλλειν.*[20]

ιθ'. Εἰ δὲ εἷς ἐκ τῶν δεσποτῶν μετὰ τὴν παραγγελίαν ἐποικοδομήσει, οὐκ ἐνάγονται περὶ τούτου τοῦ ἔργου οἱ ἄλλοι. οὐδὲ γὰρ χρὴ τὰ [παρὰ] τοῦ ἑτέρου γινόμενα καταβλάπτειν τοὺς μηδὲν πεποιηκότας.[21]

κ'. Ἐάν τις ἐν τοῖς ἡμετέροις οἰκοδομίαν ἐπιθεῖναι βούληται ἢ ἐμβαλεῖν δοκοὺς ἢ ἐφαπλῶσαι οἷον ἐκθέτην ποιῆσαι κατὰ τοῦ ἡμετέρου τόπου, δυνατόν ἐστιν διὰ τοῦ πραίτωρος ἢ διὰ τῆς οἰκείας χειρὸς τουτέστιν διὰ τῆς τοῦ λίθου βολῆς κωλύειν αὐτὸν καὶ μὴ διὰ παραγγέλματος.[22]

κα'. Ἐάν τις ῥεῖθρον ὕδατος ἢ κανάλην βούλεται ἀνανεῶσαι ἢ καθάραι, οὐκ ἔστι τούτῳ παραγγέλλειν, ἐπειδὴ τῇ δημοσίᾳ συμφέρει σωτηρίᾳ.[23]

κβ'. Ὁ μετὰ παραγγελίαν κτίζων ἄνευ ῥεμησίονος τουτέστιν

---

[14] Dig. 39, 3, 1 § 4. 11. [15] Dig. 39, 1, 1 § 16. [16] Dig. ib. § 20. [17] Dig. ib. 3 § 1. 2. [18] Dig. cit. 5 § 4. [19] Ita auctor pro *καταβλάπτεται* legit. [20] Dig. ib. § 6. [21] Dig. ib. § 5. [22] F *παραγγελίας*. — Dig. ib. § 10. [23] Dig. ib. § 11.

ἄνευ συγχωρήσεως ἢ ἱκανοῦ καταλυέτω τὸ ἔργον. κἂν νομίμως ἔκτισε κἂν ψιλὸς ᾖ τόπος κἂν ἐκτισμένος, χώρα τῷ ἐντερδίκτῳ. ὁμοίως καὶ ὁ μετὰ παραγγελίαν ἀγοράσας τὸ κτῆμα καὶ κτίσας καταλύει τὸ κτίσμα.[24]

κγ'. Ἐὰν ὁ ἄκτωρ μὴ δέξηται τὰ ἱκανά, κτιζέτω ὁ ῥέος τουτέστιν ὁ ἐναγόμενος.

κδ'.[25] Ὁ παραγγελθεὶς προσφέρων ἱκανὰ καλῶς κτίζει, μὴ προσφέρων δὲ εἰ κτίσει καταλύει. ἐπερωτάσθω δὲ οὕτως· ἐάν κατακριθῶ ἢ μὴ δεφενδεύσω τὸ πρᾶγμα ἢ δόλον ποιήσω.[26] ταῦτά εἰσι τὰ ἱκανά. παραγγελία κατὰ τὰ πράγματα γίνεται, καὶ οὐ κατὰ τὰ πρόσωπα.[27] σβέννυται δὲ ἡ παραγγελία τῇ τελευτῇ καὶ ἐκποιήσει τοῦ πράγματος, οὐ μὴν δὲ τοῦ παραγγελθέντος, ἀλλὰ καὶ εἰς κληρονόμους παραπέμπει τὴν κληρονομίαν.[28]

κε'. Μετὰ τὴν παραγγελίαν μετρεῖν τὸ ἔργον ὀφείλει τὸ πρὸ τῆς παραγγελίας οἰκοδομηθὲν ὁ παραγγέλλων, ἵνα δύνηται ἀποδείκνυσθαι τί μετὰ τὴν παραγγελίαν ᾠκοδομήθη.[29]

κϛ'. Ὅτε δέ τις ἐν τοῖς ἰδίοις αὐτοῦ τόποις τίποτε ποιεῖ τὸ βλάπτον ἡμᾶς, τότε χρειώδης ἐστὶν ἡ παραγγελία.[30]

κζ'. Ἐὰν κατὰ δημοσίου τόπου γίνεται καινοτομία, ἑκάστῳ τῶν πολιτῶν ἔξεστι τῷ καινοτομοῦντι παραγγέλλειν. καὶ γὰρ ταῖς πόλεσι συμφέρει πάνυ πολλοὺς εἶναι τοὺς διφενδεύοντας ἤγουν τοὺς ἐκδικοῦντας αὐτάς.[31]

κη'. Ἐάν τις τὸν πεσόντα οἶκον ἀνανεῶν βούλεται ὑψῶσαι καὶ ἐμποδίσαι τοῖς τοῦ γείτονος φωσὶν ἢ ἕτερόν τι ποιῆσαι ἐπὶ βλάβῃ τοῦ γείτονος, ἀναγκαζέσθω καὶ τὴν κατάστασιν τῶν πρῴην οἰκημάτων καὶ τὸ παλαιὸν σχῆμα φυλάττειν.[32]

κθ'. Τὸ μὲν γὰρ φῶς ἐστι τὸ τὸν οὐρανὸν θεωρεῖν, ἡ δὲ ἄποψις ἐν τοῖς κατωτέροις τόποις εἶναι δύναται, τὸ δὲ φῶς ἐξ ὑποκειμένου τόπου οὐ δύναται εἶναι.[33]

λ'. Ἐὰν ἐν ἐξώστῃ μου βῆλον λάκω[34] κωλύον τὰ φῶτα τοῦ γείτονος, οὐτήλιον ἔσται μοι ἰντέρδικτον τουτέστι κώλυσις.[35]

---

[24] Dig. eod. 20 § 1—4. [25] V. σῃ. διγ. κα' (scil. § 1). [26] Dig. h. t. 21 § 2. [27] Dig. h. t. 10. [28] ἐπερώτησιν sive ἀγωγήν? — Dig. h. t. 8 § 6. 7. [29] Dig. h. t. 8 § 5. — F addit: βι. μα' τί. γ' διγ. με'. Εἰ καὶ ὃ κτίζω ἐν αἰγιαλῷ ἢ ἐν θαλάσσῃ ἐμόν ἐστιν, ὅμως χρὴ τὸν ἄρχοντα ψηφίζεσθαι, ἐπειδὴ ἐγκαλοῦμαι ὑπὸ τῶν βλαπτομένων. οὐδὲ γὰρ ἔχω ἀγωγήν. βι. μα' τί. α' διγ. ν'. [30] Dig. h. t. 5 § 10. [31] Dig. h. t. 3 § 4 et dig. 4. [32] Dig. 8, 2, 11 pr. Proch. 38, 13. [33] Dig. 8, 2, 16. [34] βάλω. [35] Dig. 43, 8, 2 § 6.

λα'. Ἐὰν δὲ ἢ κατὰ ἀνάκλασιν ἢ κατὰ ἔκθλιψίν τινα εἰς τὴν ἐμὴν οἰκίαν παραγένηται φῶς. καὶ ἀντανάκλασίς ἐστιν ὅτε ἐκ τῆς[36] τοῦ ἡλίου πεμπομένης κατὰ τοῦ γείτονος τοίχου τὸ ἴδιον φῶς κατὰ τῆς ἐμῆς ἐκπέμπει οἰκίας· ἔκθλιψις δέ ἐστιν ἡνίκα διὰ στενὸν τόπον εἰσρέον τὸ φῶς τὴν ἐν τῷ ἐμῷ οἴκῳ διαλύει σκοτίαν.[37]

λβ'. Ὁ οὐλπιανὸς λοιπὸν ὁρίζει τί ἐστι καινὸν ἔργον, καὶ λέγει· καινὸν ἔργον ποιεῖ τις ἢ διὰ τοῦ οἰκοδομεῖν ἢ διὰ τοῦ καταλύειν τίποτε καὶ[38] τὴν προτέραν ὄψιν φυλάττειν.[39]

λγ'. Ἐὰν τὸ φυτευθὲν δένδρον εἰς ὕψος ἀρθῇ καὶ ἐμποδίζει μου τῷ φωτὶ, δοκεῖ ἡ ἐποφειλομένη μοι δουλεία παραβαίνεσθαι. δένδρον γὰρ ἀφαιρεῖσθαί μου δύναται τὴν θέαν τοῦ οὐρανοῦ. [εἰ δὲ] φῶς οὐκ ἀφαιρεῖται, τὸν δὲ ἥλιον ἀφαιρεῖται, ἀπὸ τοῦ ἀχρειεστάτου μου τόπου.[40] εἰ δέ ἐστι ἡλιοκάμινος ἢ σωλάριον, ἐξ οὗ τὸ δένδρον ἀφαιρεῖται τὸν ἥλιον, παραβαίνεται ἡ δουλεία.[41] ὅτι ἡλιοκάμινός ἐστιν ὅσα ἑψήνονται ὑπὸ τὸν ἥλιον διὰ χαλκείων ἢ μαγειρικῶν ἢ μυλίτου λίθου ἀποτελοῦνται ἢ οἶνοι ἢ ἕτερόν τι ἑψήσεως δεόμενον, οἷον γάρον. ταῦτα γὰρ ὑπὸ τοῦ ἡλίου πυρούμενα τὴν χρείαν ἀποτελεῖ.

λδ'. Προστάττομεν ὁ τὸν παλαιὸν οἶκον ἀνανεῶν τὸ ἀρχαῖον σχῆμα μὴ παρεξίτω, μήτε ἀφαιρείσθω τὰ φῶτα ἢ τὴν ἄποψιν τῶν γειτόνων, εἰ μὴ ἄρα δουλείαν ἔχει τοιαύτην κατὰ σύμφωνον ἢ ἐπερώτησιν παραχωρηθεῖσαν αὐτῷ, ἐπιτρέπουσαν ὡς βούλεται τὸ παλαιὸν ἐναμείβειν σχῆμα. ὁ γὰρ τοιαύτην ἔχων δουλείαν ἀκωλύτως ἃ βούλεται οἰκοδομείτω, εἰ καὶ βλάπτει τοῖς τοῦ γείτονος φωσὶ, ἐπειδὴ τοῦτο κατὰ σύμφωνον ἢ ἐπερώτησιν αὐτῷ ἐπιτέτραπται.[42]

λε'. Ἡνίκα δὲ δύο οἶκοι ἀντικρὺ ἀλλήλων εἰσὶ, χρὴ μεταξὺ αὐτῶν ιβ' πόδας εἶναι, ἀρχομένους ἀπὸ τοῦ ἐπικειμένου τοῖς θεμελίοις οἰκοδομήματος καὶ μέχρι παντὸς τοῦ ὕψους διαφυλαττομένου. ἔξεστιν ἑκάστῳ εἰς ἄπειρον ὕψος τὸν ἴδιον ἐγείρειν οἶκον καὶ θυρίδας ἐν αὐτῷ παρακυπτικὰς κατασκευάζειν, εἴτε νέον οἶκον οἰκοδομεῖν εἴτε παλαιὸν οἶκον ἀνασκευάζειν εἴτε τὸν ἐκ πυρὸς φθαρέντα.[43]

λϛ'. Ἡ τῆς ἀπόψεως δουλεία πλατυτέρα ἐστὶ τῶν φώτων,

36 ἀκτὶς — πεμπομένη? 37 Dig. 8, 2, 17 § 2. 38 μή? 39 Dig. 39, 1, 1 § 11. 40 Nonnulla desunt. Fortasse legendum εἰ μὲν ἀπὸ τοῦ ἀχαριεστάτου μου τόπου, οὐ παραβαίνεται ἡ δουλεία. 41 Dig. 8, 2, 17 pr. 42 Cod. 8, 10, 11. Proch. 38, 4. 43 Cod. et Proch. cit.

καὶ ὁ παρὰ τὴν δουλείαν βλάπτων τὰ φῶτα περὶ καινοτομίας παραγγέλλει.[44]

λζ'. Οἱ αἰγιαλοὶ τοῦ δήμου ῥωμαίων εἰσί. ἡ δὲ τῆς θαλάσσης χρῆσις κοινὴ πάντων ἐστὶν, ὥσπερ καὶ τοῦ ἀέρος. ὡς βι. μη' τί. γ' τῆς γ' νεα.[45]

λη'. Εἰ δέ τις κατὰ θαλάσσης ἢ κατὰ αἰγιαλοῦ αὐτῆς οἰκοδομεῖ, εἰ [καὶ] μὴ κατὰ οἰκείων οἰκοδομεῖ (οὐδεὶς γὰρ ἡμῶν δεσπόζει τῆς θαλάσσης), ὅμως κατά τινα φυσικὸν νόμον δεσπότης γίνεται τοῦ οἰκοδομουμένου, εἰ μὴ ἄρα ζημίαν ὑπονοεῖ ἐντεῦθεν ὁ παραγγέλλων.[46]

λθ'. Ἄποψιν μέντοι τοῦ γείτονος ιβ' μόνους ἀπαιτῶν πόδας μὴ ἀφαιρείσθω, ἐὰν ἐξ εὐθείας ὁρᾷ τὴν θάλασσαν ἑστὼς ἐν τοῖς ἰδίοις οἴκοις ἢ καθήμενος ἐν αὐτοῖς καὶ μὴ ἀναγκαζόμενος παρατρέπειν ἑαυτὸν εἰς πλάγιον ἐφ' ᾧ ἰδεῖν θάλασσαν.[47]

μ'. Ὅτε δὲ ἢ ὁ ἐμπρησθεὶς οἶκος ἀνανεοῦται ἢ ὁ μὴ πρότερον ὢν κτίζεται ἢ ὁ διὰ παλαιότητα ἢ δι' ἄλλην αἰτίαν σαθρὸς γενόμενος ἀνανεοῦται, ἐὰν ρ' ποδῶν ἐν μέσῳ τῶν δύο οἴκων εἴη διάστημα, ἐξέστω ἀκωλύτως κτίζειν τῷ βουλομένῳ καὶ τὴν ἐπὶ θάλασσαν ὄψιν ἀφαιρεῖσθαι τοῦ γείτονος. εἰ δέ τις ἀπὸ μαγειρίου ἢ ἀφεδρῶνος ἢ ἀπὸ κλιμακῶνος ἢ ἀπὸ βαστερνίων ἤγουν τῶν λεγομένων παροδικῶν ἤτοι διαβατικῶν ἄποψιν ἐπὶ θάλασσαν ἔχει, καὶ ὁ ἐντὸς τῶν ρ' ποδῶν οἰκοδομῶν ἀκωλύτως ἀφαιρεῖται, εἰ μόνον ιβ' πόδες εἰσὶ μεταξὺ τῶν δύο οἴκων. εἰ δὲ καὶ σύμφωνον ᾖ ἐπιτρέπον τὴν οἰκοδομίαν, κρατεῖ τὸ σύμφωνον, εἰ καὶ βλάπτει τὸν γείτονα περὶ θαλάσσης ἄποψιν, εἴτε αὐτὸς ὁ νῦν δεσπότης συνεφώνησεν εἴτε ὁ προκτησάμενος αὐτὸν τὸν οἶκον· οὐδὲ γὰρ προσήκει τὰς ὑπαρχούσας τινὶ δουλείας διὰ τῶν γενικῶν νόμων ἀναιρεῖσθαι.[48]

μα'. Ὁ δὲ ποιῶν παραπετάσματα τὰ καλούμενα σωλάρια μὴ ἀπὸ μόνων ξύλων καὶ λίθων οἰκοδομείσθω, ἀλλὰ τὸ καλούμενον κατὰ τῶν ῥωμανησίων σχῆμα. ἐὰν δὲ ἄντικρυς ἀλλήλων εἰσὶ δύο σωλάρια, ι' ποδῶν τὸ ἐν μεταξὺ φυλάττεσθαι διάστημα. εἰ δὲ ὁ τόπος στενὸς ὢν οὐκ ἔχει τόπον ι' ποδῶν διάστημα, μὴ γενέσθω ἄντικρυς ἀλλήλων σωλάρια, ἀλλ' ἐκ παραλλαγῆς. ἐὰν δέ τις στενωπὸς ὢν ἐν μέσῳ μὴ πλέον ἔχῃ τῶν ιβ' ποδῶν, μηδενὶ ἐξέστω ἐκ μηδετέρου μέρους σωλάρια ποιεῖν ἤτοι

---

[44] Dig. 8, 2, 15. [45] Imo Dig. 43, 8, 3. [46] Dig. 39, 1, 1 § 18.
[47] Cod. 8, 10, 12. — F addit haec verba ex textu eius constitutionis: *καὶ οὐ βεβιασμένην ἐξ οἱουδήποτε πλευροῦ τῆς οἰκίας.* Quod praeterea citatur *βι. γ' τί. λβ' διατ. α'* fortasse Cod. 3, 34, 1 significat. [48] Cod. l. l.

ἐξώστας κατασκευάζειν. καὶ ὅτε δὲ ι΄[49] ποδῶν ὄντων ἐν μέσῳ κατασκευάζεται σωλάρια, ἀπεχέτω τοῦ ἐδάφους εἰς ὕψος ιε΄ πόδας, μὴ ὑποτιθεμένων αὐτοῖς κιόνων λιθίνων ἢ ξυλίνων ἢ τοίχων κατασκευαζομένων ἐπὶ τὸ βαστάζειν τοὺς ἐξώστας ἢ τὰ σωλάρια, ἵνα μὴ ὁ ὑποκείμενος τοῖς σωλαρίοις ἀὴρ στενοχωρῆται διὰ τῶν τοίχων ἢ κιόνων, καὶ ἡ ῥύμη γίνεται στενωτέρα, μήτε δὲ κλίμακας ἀπὸ τοῦ στενωποῦ ποιείτω τὶς ἀναγούσας ἐπὶ τὰ σωλάρια, καὶ ἵνα μὴ γίνωνται συνεχέστερον ἐμπρησμοὶ [διὰ] τὴν τῶν οἰκοδομημάτων συνέχειαν, ἢ καὶ ὃ μὴ γένοιτο συμβαινόντων εὐχερῶς κατασβέννυνται.[50]

μβ΄. Εἰ δὲ παρὰ τὴν διάταξιν ἢ σωλάρια ἢ κλίμαξ γένηται, καὶ αὐτὸ τὸ γενόμενον ἐκκοπτέσθω καὶ δέκα χρυσίου λίτρας ζημιούσθω ὁ τοῦ οἴκου κύριος.[51]

μγ΄. Δένδρων μέντοι καὶ κήπων οὐ φυλάττεται ἄποψις. καὶ ὅτε δὲ μέσου ὄντος τοῦ στενωποῦ ἢ πλατείας οἰκοδομεῖ τις τὸν ἑαυτοῦ οἶκον, εἰ καὶ πλέον ἔχει τῶν ιβ΄ ποδῶν τοῦ στενωποῦ ἢ τῆς πλατείας μέτρον, μηδὲν ἀφαιρείσθω τὸ περιττὸν καὶ τῷ ἰδίῳ οἴκῳ προστιθέσθω· οὐδὲ γὰρ ἐπὶ βλάβῃ τοῦ δημοσίου τοὺς ιβ΄ πόδας ὡρίσαμεν, ἀλλ᾽ ὥστε μὴ στενώτερον τῶν ιβ΄ ποδῶν εἶναι τὸν μεταξὺ τῶν οἴκων ἀέρα. ὅτε πλέον δὲ εὑρεθῇ τὸ τῆς ῥύμης ἢ τῆς πλατείας μέτρον, μηδὲν ἐξ αὐτοῦ ἀφαιρεῖσθαι, ἀλλὰ τῇ πόλει περισώζεσθαι τὰ οἰκεῖα.[52]

μδ΄. Ἐὰν δὲ παλαιῶν ὄντων τῶν οἴκων εὑρεθῇ ὁ μεταξὺ αὐτῶν καθαρὸς ἀὴρ στενώτερος ὢν τῶν ιβ΄ ποδῶν, μηδενὶ αὐτῶν ἐξέστω παρὰ τὸ παλαιὸν σχῆμα ὑψοῦν τὸν ἴδιον οἶκον ἢ θυρίδας ποιεῖν. εἰ μέντοι ι΄ πόδες ἦσαν ἐν μέσῳ καὶ μὴ ἐλάττονες, τότε παρακυπτικὰς μὲν θυρίδας μὴ ἐξέστω αὐτῷ ποιεῖν τῷ κτίζοντι. εἰ πρότερον δὲ εἶχεν αὐτὰς φωταγωγούς, ἐξέστω αὐτῷ ποιεῖν ἀπὸ ἓξ ποδῶν τοῦ πάτου ἀνοιγομένας, μηδενὸς δυναμένου ποιεῖν ψευδοπάτιον ἐν τῷ ἰδίῳ οἴκῳ καὶ διὰ τοῦτο τὴν φωταγωγὸν θυρίδα κατασκευάζειν παρακυπτικήν.[53] καὶ ἐν τούτῳ δὲ τῷ θέματι ὁ μὴ ἔχων φωταγωγὸν θυρίδα οὐ δύναται τυφλὸν τοῖχον ἀνοίγειν καὶ ποιεῖν φωταγωγὸν θυρίδα.[54]

με΄. Ἐὰν δένδρον ἐμποδίζῃ τῷ φωτί, παρὰ τὴν δουλείαν γίνεται. εἰ δὲ τῷ φωτὶ μὲν οὐκ ἐμποδίζει, ἀφαιρεῖται δὲ τὸν ἥλιον, οὐχ ὑποπίπτει, εἰ μὴ τόπος ὑπόκειται ἡλίου δεόμενος ἡλιακῶν.[55]

[49] Alii ιβ΄. [50] Cod. l. l. [51] Cod. l. l. [52] Cod. ibid. [53] Cod. ibid. [54] Dig. 8, 2, 40. [55] ? ἡλιακόν? Dig. 8, 2, 17 pr.

μς΄. Ὁ πλησίον δημοσίων βουλόμενος οἰκοδομεῖν ἀποβαίνων ιε΄ πόδας ἐκ τῶν δημοσίων τόπων οἰκοδομείτω, ἵνα μήτε οἱ δημόσιοι τόποι διὰ τῆς ἄγαν ἐγγύτητος κινδυνεύωσι μήτε αὐτὸς ὡς προπετῶς οἰκοδομῶν ἀναγκασθῇ καταλῦσαι ὅσα κακῶς ᾠκοδόμησεν.[56]

μζ΄. Αἴπολιτι καὶ δουλεῖαί εἰσι τὸ ὑψῶσαι ἢ μὴ ὑψῶσαι, ἐπιπέμψαι σταλαγμὸν κεράμων τῷ γείτονι ἢ μὴ ἐπιπέμψαι, καὶ τὸ ἐμβαλεῖν ξύλα τοῦ γείτονος, καὶ τὸ ποιῆσαι σωληνάριον ἢ βαστέρνιον ἢ τῇ ἀπόψει ἐμποδίσαι. οἷον ἐὰν χρεωστεῖς μοι δουλείαν μὴ ὑψοῦν καὶ ἐμποδίζειν τῷ φωτί μου, κἀγὼ φράξω ἢ καταλύσω τὰς θυρίδας μου, οὐκ ἀπόλλω τὸ δίκαιόν μου, εἰ μὴ καὶ σὺ κατὰ τὸν αὐτὸν χρόνον ἔσχες ὑψωθέντα τὸν οἶκόν σου. καὶ ἐὰν ἐμβαλῶ[57] τὸν δοκὸν εἰς τὸν τοῖχόν σου, οὐκ ἀπόλλω τὸ δίκαιόν μου, εἰ μὴ φράξῃς τὴν ὀπὴν καὶ σχῇς αὐτὴν οὕτως ἐπὶ τὸν ὡρισμένον χρόνον.[58]

μη΄. Καὶ οἱ ἀπὸ μόνων ξύλων συμπεπηγότες οἶκοι τοῖς ἀκινήτοις συναριθμοῦνται. ὡς βι. μγ΄ τί. ις΄ διγ. α΄.[59]

μθ΄. Οὗτινος τὰ οἰκήματα δικαίῳ δουλείας ὑπέρκεινται, ἐν τῇ ἐξουσίᾳ τούτου ἐστὶν ἐπ᾽ ἄπειρον ταῦτα ὑψοῦν, ἐν ᾧ μέντοι τὰ ὑποκείμενα τοῦ γείτονος μὴ βαρύνῃ δουλείᾳ βαρυτέρᾳ παρ᾽ ὃ φέρειν ὀφείλουσιν.[60]

ν΄. Ὁ ἔχων τὰ ἀνώγεα τοῖς ἰδίοις ἐπικτίζει ὅσον θέλει, μὴ βαρύνων μέντοι τὰ κατώγεα ὑπὲρ δύναμιν.[61]

να΄. Πόμπιος.[62] Τριῶν οἰκιῶν οὐσῶν ἡ μέση τῇ ἀνωτέρᾳ ἐδούλευσε. δύναται ὁ δεσπότης τῆς κατωτέρας τὸν κοινὸν τοῖχον αὐτῆς καὶ τῆς μέσης ὑψοῦν.[63]

νβ΄. Ἐὰν ἔχω δύο οἴκους καὶ ληγατεύσω σοι τὸν ἕνα, δύναται ὁ κληρονόμος τὸν ἀέρα[64] ὑψοῦν καὶ σκοτίζειν τὰ φῶτα τοῦ ληγατευθέντος οἴκου, ὥστε μέντοι καταλιπεῖν τῇ ἡμερινῇ χρήσει. ση. τὸ αὐτό ἐστι κἂν τοῦ ἄλλου οἴκου τὴν χρῆσιν ληγατεύσω ἑτέρῳ. χρεωστεῖ δὲ ἑκατέρῳ πάροδον.[65]

---

[56] Cod. 8, 10, 9. — F intercalat haec: Ὅτε ἐπὶ ἐμπορίᾳ τῶν ὑλῶν καταλύεται οἶκος, καὶ ὁ πράτης καὶ ὁ ἀγοραστὴς ἀπαιτοῦνται τὸ τίμημα τοῦ οἴκου (Dig. 18, 1, 52). — Ἀπὸ τοῦ φίσκου ἔξεστι καὶ κίονας καὶ μάρμαρα ἐκ τῶν καταλυομένων οἴκων εἰς ἔργα δημόσια μεταφέρειν. σχολ. τὸ γὰρ ὀρθῶς γινόμενον οὐ βλάπτεται ἁμαρτήματος συμβαίνοντος. βι. μζ τί. ιθ΄ διγ. γ΄.

[57] οὐκ ἐμβ? [58] Dig. 8, 2, 2. 6. [59] Scil. § 8. [60] Dig. 8, 2, 24. Proch. 38, 14. [61] Dig. cit. [62] G hunc auctorem in fine capitis 47 laudat. [63] Dig. 8, 2, 25 § 1 Pomponii. — F laudat βι. γ΄ τί. λβ΄. [64] ἕτερον? [65] Dig. 8, 2, 10.

νγ'. Τὴν ἀπὸ ἐμπρησμοῦ κατενεχθεῖσαν οἰκίαν οὐ δύναταί τις ἐξ ὁλοκλήρου καταστρέφειν καὶ κῆπον ποιεῖν, εἰ μὴ ἄρα κατὰ γνώμην τοῦ ἐπάρχου τῆς πόλεως καὶ συναινέσει τῶν γειτόνων τοῦτο γένηται, τοῦτο καὶ τῆς ἐν τῇ πόλει συνηθείας ἐπιτρεπούσης.[66]

νδ'. Διεμπορείας μὲν ἕνεκεν καταλύειν οἰκοδομίας καὶ μάρμαρα ἀφαιρεῖσθαι ἡ διάταξις βαλεντινιανοῦ βασιλέως καὶ δόγμα συγκλητικῶν ἀρχόντων κωλύει. εἰ δέ τις δύο οἴκους ἔχει, δύναται ἀπὸ τῆς μιᾶς εἰς τὴν ἄλλην μεταφέρειν τινὰς ὕλας, οὐ μὴν ὁλόκληρον τὴν μίαν καταστρέφειν, ἵνα μὴ ἡ δημοσία εὐπρέπεια καταβλάπτηται.[67]

νε'. Ὁ συγκεκτημένος τινὶ τὰ αὐτὰ οἰκήματα καὶ μὴ βούληται ἐπανορθῶσαι αὐτὰ, ἔξεστιν αὐτῷ μόνῳ οἰκοδομῆσαι, εἰ μὴ ἐντὸς δ' μηνῶν μετὰ ἑκατοστιαίου τόκου τὸ μέρος τοῦ τιμήματος ὁ κοινωνὸς αὐτοῦ καταβάλῃ, ὁλόκληρον τὴν οἰκίαν διεκδικεῖν καὶ παρακατέχειν δύναται, εἰ μὴ ἄρα ἐνεπόδισεν ὁ κοινωνὸς τῇ καταβολῇ τῶν δαπανημάτων.[68]

νς'. Ὁ εἰδὼς ἐπίκοινον ἔδαφος εἶναι ἐὰν μὴ ὡς ἐν ἐπικοίνῳ κτίζων καὶ ὡς ἐλπίζων λαβεῖν τὸ μέρος τοῦ δαπανήματος οἰκοδομήσῃ ἑαυτῷ βαλανεῖον, ἀλλ' ὡς ὑφαρπάζων τὴν τοῦ ἑτέρου δεσποτείαν τὸ παλαιὸν ἀνακαινίσει λουτρὸν, ἐπίκοινον ἔσται τὸ κτιζόμενον βαλανεῖον, ἐπειδὴ καὶ τὸ ἔδαφος καθ' ὃ ᾠκοδομήθη κοινὸν ἦν.[69]

νζ'. Ἐάν τις ἀπὸ πόλεως εἰς ἀγροὺς μετενέγκῃ κίονας ἢ μάρμαρα, ἐκπιπτέτω τοῦ ἀγροῦ. εἰ δὲ ἐν ἄλλῃ πόλει ἔχων οἶκον σαθρωθέντα εἰς κόσμον τοῦ διαφέροντος αὐτῷ ἐν ἑτέρᾳ πόλει οἴκου μετενέγκῃ μάρμαρα ἢ κίονας, εἰς τὸν σαθρὸν οἶκον μηδὲν ζημιούσθω, ἐπειδὴ εἰς κόσμον ἑτέρας πόλεως μετήνεγκεν αὐτά.[70]

νη'. Ἀναγκαζέσθωσαν οἱ βουλευταὶ εἰς παλαιοὺς ἐν τῇ πόλει αὐτῶν ἔχοντες οἴκους ἀνανεοῦν αὐτοῖς ἢ καινοὺς οἰκοδομεῖν ἑαυτοῖς ὡς ὀφείλοντες εἶναι ἐν αὐταῖς ταῖς πόλεσι διηνεκῶς λειτουργεῖν καὶ διάγειν.[71]

νθ'. Ὁ βουλόμενος πλησίον ἀλλοτρίου ἁλωνίου οἰκοδομεῖν, ἐν ᾧ καταβλάπτει τὸν τούτου δεσπότην, κωλύεται ἐξ αὐτοῦ.[72]

ξ'. Ὁ μισθωσάμενος οἰκήματα καὶ ταῦτα καταστρέψῃ τῇ λογωτάτῃ[73] ἐνοχῇ εἰς τὸ ἀνανεῶσαι ταῦτα κατασχεθήσεται.[74]

---

[66] Cod. 8, 10, 3. [67] Cod. 8, 10, 2. [68] Cod. 8, 10, 4. [69] Cod. 8, 10, 5. [70] Cod. 8, 10, 6. [71] Cod. 8, 10, 8. [72] Cod. 3, 34, 14 § 1. Proch. 38, 45. [73] λοκάτι? [74] Cod. 4, 65, 29.

ξα΄. Ἐὰν δένδρον τοῦ γείτονος ἐν τῷ μεσαυλίῳ κείμενον μεγάλας ἐκτεῖνον ῥίζας τοὺς θεμελίους τῆς ἐμῆς οἰκίας βλάπτει, προνοίᾳ τοῦ ἄρχοντος ἀναγκαζέσθω ὁ γείτων ἐκτεμεῖν τὸ δένδρον.[75]

ξβ΄. Βούλεται ἡ διάταξις εἴσω γ΄ μηνῶν τὸ περὶ καινοτομίας ζητεῖσθαι. ἐὰν δὲ ὑπερθῆται ἡ δίκη, ἐξουσίαν ἔχειν τὸν οἰκοδομοῦντα ὃ ἐὰν εὑρεθῇ ἀδίκως κτίσας καταλύειν τὸ οἰκοδόμημα.[76]

ξγ΄. Ἐπὶ τῶν μὴ κεχρημένων ταῖς ἰδίαις δουλείαις ἐν ι΄ ἔτεσιν ἀπόλλυσιν αὐτάς, ἐπὶ δὲ ἀπόντων εἰκοσαετίᾳ· οἱ δὲ ἀπὸ σημειώσεως ἔχοντες οὐτιλίαν ἰν ῥὲμ καὶ δουλείας ἐκδικοῦσι καὶ καινοτομίας κωλύουσιν.[77]

ξδ΄. Τὰ ἐν μιᾷ ἡμέρᾳ πραττόμενα ἰσόχρονά εἰσιν, ὡς βι. κα΄.[78]

ξε΄. Ἐάν τις συμφωνήσῃ πρὸς τὸν γείτονα ὥστε ἔχειν διὰ ε΄ ἐτῶν ἅπαξ πάροδον διὰ τοῦ ἀγροῦ αὐτοῦ, νομοθετεῖ ἡ διάταξις τότε ἀπολέσαι τὴν δουλείαν, ὅτε ἐπὶ δ΄ πεντετηρίδος τουτέστιν ἐπὶ κ΄ ἐτῶν μὴ παρελθῶν τοῦ γείτονος.[79]

ξϛ΄. Ὅτε εἰς κλίματα διαιρεῖται ὁ ἀγρὸς, ἕκαστον κλίμα τέλειός ἐστιν ἀγρὸς καὶ οὐ μέρος ἀγροῦ τοῦ γείτονος.[80]

ξζ΄. Ἡ δουλεία φυσικῶς καὶ οὐκ ἀπὸ χειροποιήτου τινὸς δύναται τὸν δουλεύοντα ἀγρὸν βλάπτειν, τυχὸν ἀπὸ ὄμβρων πλεονασμοῦ ἢ ἀπὸ πλησίων ἀγρῶν ἢ ἀπὸ πηγῆς ἀναφανείσης. ὅθεν οὐκ ἐγκληθήσεται ὁ τὴν δουλείαν παραχωρηθεὶς, ἐπειδὴ φυσικῶς καὶ οὐκ ἀπὸ χειροποιήτου τινὸς ἡ τοιαύτη γέγονε βλάβη.[81]

ξη΄. Τρία γὰρ δουλείαν ποιεῖ· φύσις, τόπος, καὶ ἀρχαιότης ἥτις ἀεὶ συμφώνου τάξιν ἐπέχει. ὡς βι. λθ΄ τί. γ΄ διγ. β΄.[82]

ξθ΄. Πᾶσα δουλεία τὸν δουλεύοντα ἀγρὸν φυσικῶς μὲν δύναται βλάπτειν, χειρὶ δὲ καὶ πράξει τούτου δουλευομένου οὐ δύναται.[83]

ο΄. Ἐὰν τοῦ ἐρχομένου ὕδατος τὰς φλέβας εἰς τὸν ἀγρὸν ἐκ τοῦ σοῦ ἀγροῦ τέμῃς μὴ χρεωστῶν μοι δουλείαν ὕδατος, καὶ διὰ τοῦτο μηκέτι ῥεύσῃ τὸ ὕδωρ ἐν τῷ ἀγρῷ μου, οὔτε βίαν δοκεῖς μοι ποιεῖν οὔτε τῷ περὶ καινοτομίας ἐνάγεις κατ᾽ ἐμοῦ.[84]

---

[75] Cod. 8, 1, 1. Proch. 38, 20. [76] Cod. 8, 10, ult. [77] Cod. 3, 34, 13. [78] Alii κζ΄. [79] Cod. 3, 34, 14 pr. [80] Cf. Dig. 8, 3, 23 § 3. 10, 3, 7. § 1. [81] Dig. 8, 3, 20 § 1. [82] Scil. pr. [83] Cf. Dig. 8, 3, 20 § 1. 39, 3, 1 § 1. [84] Dig. 39, 3, 21.

οα΄. Οὔτε ἀπὸ λίμνης οὔτε ἀπὸ λάκκου παραχωρεῖται δουλεία διὰ τὸν κανόνα τὸν λέγοντα· πάσας δουλείας τῶν κτήσεων διηνεκεῖς καὶ ἀϊδίους τὰς αἰτίας ἢ τὰς ἀρχὰς ἔχειν ὀφείλειν, ὡς εἴρηται[85]

οβ΄. Ὅτι ἐπὶ τῶν βαλανείων ἔχουσι τοὺς λεγομένους τουβούλους, τούβουλος δέ ἐστι σωληνοειδὴς ὃ τίθεται ἐν τοῖς τοίχοις τῶν βαλανείων ἐπὶ τὸ δι᾽ αὐτοῦ τὸ πῦρ διατρέχειν. οὐκ ἐπιτέτραπται δὲ αὐτὸν ἐπιθεῖναι τοῖς ἐπικοίνοις τοίχοις διὰ τὸ μὴ φρύγειν τὸν ἐπίκοινον τοῖχον καὶ ἀσθενῆ ποιεῖν. πλακόνειν τε καὶ ζωγραφεῖν πολυτελῶς τοῦτο ὀφείλει ποιεῖν τις εἰς τὸν ἐπίκοινον τοῖχον.[86]

ογ΄. Ἐάν τίς μοι παραχωρήσῃ δίκαιον ἀντλήσεως εἰς τὸ διαφέρον αὐτῷ ὕδωρ, ἀναγκάζεταί μοι καὶ ἄκων δουλείαν τοῦ ἴτερ τουτέστιν ὁδοῦ παραχωρῆσαι, εἴπερ ἄλλως μὴ δύναμαι χρήσασθαι τῷ τῆς ἀντλήσεως δικαίῳ. ὡς βι. η΄ τί. β΄ διγ. ι΄.[87]

οδ΄. Τὸ αὐτὸ καὶ ἐπὶ τῆς δουλείας φλούμων ἤγουν ποταμοῦ τουτέστι τοῦ ῥέοντος ὕδατος ἐκ τῆς πηγῆς ἢ τοῦ ἀγωγοῦ ἢ ὑδραγωγοῦ.

οε΄. Ὁ σταλαγμὸς τῶν κεράμων φυσικός ἐστι καὶ διηνεκῆ αἰτίαν παρέχει.[88]

ος΄. Ἡ ὀπὴ ἣν ἔχει τὶς ἐν τῷ ἰδίῳ οἴκῳ διὰ τὴν κατάπλυσιν οὔτε χρόνῳ βεβαιοῦται εἰ μὴ ἐκ τοῦ οὐρανοῦ δέχηται ὕδωρ. τὸ γὰρ χειροποίητον οὐκ ἔχει διηνεκῆ αἰτίαν. τοῦ δὲ οὐρανοῦ εἰ καὶ μὴ συνεχῶς γίνεται, ἀλλ᾽ οὖν φυσικῶς αἰτίαν ἔχει. πᾶσα δὲ τῶν ἀκινήτων διηνεκῆ δουλείαν θέλουσιν ἔχειν, ὅθεν ἀπὸ λίμνης ἢ ὑδραγωγίου ἢ ὑδροστασίου.[89]

οζ΄. Τόπου ἢ ὁδοῦ [δημοσίας] παρεντιθεμένης οὐκ ἐμποδίζεται ἡ δουλεία τοῦ μονοπατίου ἢ τῆς παρόδου ἢ τοῦ ὕψους. ἡ δὲ τοῦ ἐμβάλλειν δοκὸν ἢ ἐξώστην ποιεῖν ἢ ἐπιπέμπειν ὕδωρ ἢ σταλαγμὸν ἐμποδίζεται· δεῖ δὲ ἐλεύθερον εἶναι τὸν ὑπερκείμενον ἀέρα τῷ δημοσίῳ τόπῳ. Παῦλος.[90]

οη΄. Οὐδεὶς δύναται ἄνευ βασιλικῆς κελεύσεως πολιτικὸν τόπον λαμβάνειν ἢ καινοτομεῖν. ὡς βι. ια΄ τοῦ κώδ. τί. λβ΄.[91]

οθ΄. Ἡ ἀνανέωσις τῶν ἀλλαγῶν ἐξ ἀναλωμάτων ἐπαρχεωτῶν γενέσθω. ὡς βι. ιβ΄. τί. κγ΄[92] διατ. ζ΄ τοῦ κώδ.

---

[85] Dig. 8, 2, 28. — F βι. νζ΄ τί. ι΄ διγ. μδ΄ παῦλος. Cf. Dig. 33, 22, 1 § 4. [86] Dig. 8, 2, 13. [87] Vide etiam Dig. 8, 3, 3 § 3. 43, 22, 1 § 5. [88] Dig. 8, 2, 28 in fine. [89] Dig. 8, 2, 28. [90] Dig. 8, 2, 1 pr. Pauli. [91] F addit διατ. κγ΄, quod in γ΄ mutandum est. [92] Lege να΄.

π΄. Ἐὰν ἐν ἐδάφει τῆς πόλεως κτίσῃ τὶς οἰκίαν, τὸ συναρέσκον ὑπὲρ τούτου τέλος παρέχειν ὀφείλει τῇ πόλει.[93]

πα΄. Οὐδεὶς ἀπὸ τῶν τάφων ὕλην τινὰ εἰς ἕτερον οἰκοδόμημα μεταφέρει.[94]

πβ΄. Τὸ τῆς ἀντλήσεως δίκαιον οὐ δύναται παραχωρεῖσθαι, εἰ μὴ τῷ ἔχοντι ἀγρὸν γειτνιάζοντα.[95]

πγ΄. Ὁ πιπράσκων ἀγρὸν καὶ συνιστῶν αὐτῷ δουλείαν ὕδατος ἀναγκάζεται καὶ ὁδὸν παραχωρεῖν. ὡς βι. ιη΄ τί. α΄ διγ. μ΄.[96]

πδ΄. Οὐλπιανός.[97] Ἐὰν μόνον τὸ τῆς ἀντλήσεως παραχωρήσω, καὶ τὸ τῆς εἰσόδου σιωπηρῶς ἔχει.

πε΄. Ὁ μὴ ἔχων δουλείαν καπνοῦ καὶ εἰσπέμπων τοῦτον ἐνάγεται τὴν περὶ δουλείας ἰν ῥὲμ ἀγωγὴν ἤγουν τὴν περὶ ἐκδικήσεως ἀγωγὴν, ὥσπερ καὶ ὁ μὴ ἔχων δίκαιον τοῦ ῥίπτειν τὰ κλάσματα τοῦ λατομίου κατὰ τοῦ γείτονος ἐνάγεται καὶ αὐτὸς τὴν ἰν ῥὲμ ἀγωγήν. ἀλλὰ καὶ ἐκ τοῦ ἐναντίου ὁ ἔχων δουλείαν καπνοῦ καὶ κωλυόμενος δύναται κινεῖν τὴν περὶ δουλείας ἰν ῥὲμ κατὰ τοῦ κωλύοντος.[98]

πϛ΄. Ὁ χρεωστῶν ὁδοῦ δουλείαν [ἢ] στιλλικιδίου ὅ ἐστι τοῦ ἀπὸ τῶν κεράμων σταλαγμοῦ ἐὰν βουληθῇ κατὰ τοῦ δουλεύοντος τόπου κτίσαι, ἐνάγεται τῇ περὶ δουλείας ἰν ῥέμ.[99]

πζ΄. Τῷ δεχομένῳ σταλαγμὸν ἔξεστι κτίζειν ἕως οὗ δύναται καλῶς ὑποδέχεσθαι. τὸ αὐτὸ καὶ ἐπὶ χρήσεως κρατεῖ.[100]

πη΄. Ὁ ἐπὶ πολὺν χρόνον νεμηθεὶς δίκαιον ἀγροῦ οὐκ ἀναγκάζεται δεικνύειν ἀπὸ ποίου τίτλου νέμεται.[101]

πθ΄. Ἡ τοῦ μακροῦ χρόνου συνήθεια τάξιν ἐπέχει δουλείας εἴπερ ὁ ἐναγόμενος ἐχρήσατο τῇ δουλείᾳ μήτε βίᾳ μήτε λάθρα μήτε παρακλήσει·[102] ἐχρήσατο πρὸς τὸν ἀντίδικον δηλονότι ἐπὶ τῶν παρόντων δεκαετίᾳ ἢ ἐπὶ τῶν ἀπόντων εἰκοσαετίᾳ.

ϙ΄. Ὁ ἐπιχειρῶν κοινωνὸς καινόν τι ποιῆσαι κωλύεται, ἐπειδὴ δοκεῖ καὶ τῶν ἄλλων κοινωνῶν ὑφαρπάζειν τὰ δίκαια καὶ ὡς μόνος δεσπότης ὑπάρχων τοῦ κοινοῦ πράγματος τούτῳ χρήσασθαι.[103] — ση. παρὰ γνώμην τοῦ κοινωνοῦ ὁ ἕτερός τι ποιεῖν οὐ δύναται.

---

[93] Cf. Dig. 43, 8, 2 § 17. 50, 10, 5 § 1. [94] Cf. Cod. 9, 19. [95] Dig. 8, 3, 5 § 1. Unde F addit *ὡς βι. ν΄* (lege *η΄*) *τί. γ΄ διγ. θ΄* (lege *ε΄*). [96] Scil. § 1. [97] Dig. 8, 3, 3 § 3. — G: *Θεω*. [98] Dig. 8, 5, 8 § 5. [99] Dig. 8, 5, 9 pr. [100] Dig. 8, 2, 20 § 6. [101] Dig. 8, 5, 10 pr. [102] Dig. 39, 3, 1 § 23. Cod. 3, 34, 1. [103] Dig. 8, 5, 11.

ϥα'. Ἐάν τις τὰς θυρίδας τοῦ ἐμοῦ οἴκου κατακλάσῃ ἢ αὐτὸν τὸν οἶκον καταλύσῃ, κατέχεταί μοι τῷ ἀκουιλίῳ ἤγουν τῇ διπλὴν ἐπαγούσῃ καταδίκην. ὁμοίως καὶ ὁ τὸν ἐμὸν ἐπὶ τὴν δουλείαν τοῖχον καταλύσας κατέχεταί μοι τῷ ἀκουιλίῳ. ὡς βι. θ' τί. β' διγ. κζ'.[104]

ϥβ'. Ὁ τοῦ γείτονος οἰκήματα καταλύσας ἐμπρησμοῦ γενομένου ἕνεκα τοῦ μὴ καὶ τὸν ἴδιον οἶκον ἐπινεμηθῆναι τὸ πῦρ οὐ κατέχεται ἀγωγῇ εἴτε παρεγένετο τὸ πῦρ ἐν τοῖς καταλυθεῖσιν εἴτε καὶ μή, ἐπειδὴ δίκαιον ἐφοβήθη φόβον. ὡς βι. θ' τί. β'[105] διγ. μθ'. Οὐλπιανός.

ϥγ'. Ὁ τὸν ἀλλότριον οἶκον ἄκοντος τοῦ δεσπότου καταλύσας καὶ βαλανεῖον κατασκευάσας ἐν τῷ αὐτῷ τόπῳ πρὸς τῇ ἐκποιήσει[106] τοῦ κατασκευασθέντος βαλανείου ἔτι μὴν καὶ τὴν περὶ ζημίας κατέχεται.[107]

ϥδ'. Κλίμαξ σκεπομένη διώκεται, ἄσκεπος δὲ οὐ διώκεται.[108]

ϥε'. Ὅτι ἡ στράτα τὸ μὲν πλάτος η' ποδῶν ἔχει ἔκτασιν, ἐν δὲ ταῖς κάμψαις ις'.[109] — ση. ὁ πλησίον ἀγωγοῦ κτίζων ἢ δένδρον φυτεύων ις' πόδας ἀποβαινέτω.

ϥϛ'. Ὁ ἐν ταῖς ὁδοῖς βόθρους ὀρύττων πρὸς θήραν ζώων ἀγρίων οὐκ ἔξεστιν. ὁ γὰρ τοῦτο πράξας ἐντεῦθεν βλαπτομένου τινὸς κατέχεται παρ' αὐτοῦ τῷ ἀκουιλίῳ. ὡς βι. θ' τί β' διγ. β'.[110]

ϥζ'. Ὅτι στράτα συνίστασθαι δύναται καὶ πλατυτέρα τῶν η' ποδῶν καὶ στενωτέρα ἐπὶ τοσοῦτον ἐφ' ὅσον δύνασθαι ὄχημα φέρεσθαι. τὸ γὰρ στενώτερον τούτου μέτρον ἴτερ ποιεῖ τουτέστιν ὁδὸν καὶ οὐ βίαν ἤγουν στράταν. ὡς βι. η' τί. γ' διγ. κγ'. Παῦλος.

ϥη'. Οὐ καλῶς κωλύει τὶς τὸν γείτονα αὐτοῦ ἀνοίγοντα πυλεῶνα κατὰ τῆς δημοσίας ἐντὸς τοῦ ἀπὸ τῶν κεράμων αὐτοῦ σταλαγμοῦ, ἐν ᾧ μὴ βλάπτῃ τὴν πάροδον.[111]

ϥθ'. Ἐὰν πηγὴ ἀφ' ἧς ἕλκει τὶς ὕδωρ ξηρανθεῖσα ἐπί τινας χρόνους αὖθις πρὸς τὰς ἑαυτῆς ἐπανέλθῃ φλέβας, καὶ πάλιν τὸ ὕδωρ ἄρξηται φέρεσθαι, ἀνανεοῦται αὐτῷ ἡ δουλεία καὶ ἀποκαθίσταται αὐτῷ ὁ τοῦ ὕδατος ἑλκυσμὸς καθὼς ἦν τὸ πρότερον.[112]

[104] Scil. § 31. G addit *Θεοδ^ω καὶ παύλου*. [105] G *βι. ιθ' τι. μ'*. — Est dig. 49 § 1. [106] *ἐκδικήσει*? [107] Dig. 9, 2, 50. [108] Cf. Dig. 8, 2, 19 § 2. [109] Dig. 8, 3, 8. [110] V *η'*. Lege *κη'*. [111] Dig. 8, 2, 41 § 1. Proch. 38, 15. [112] Dig. 8, 3, 34 § 1 et dig. 35. Proch. 38, 16.

ρʹ. Οὔτε φοῦρνον οὔτε ἑστίαν ἐν τῷ ἐπικοίνῳ τοίχῳ δύναταί τις ποιεῖν ἐν ᾧ τὸν ἐπίκοινον τοῖχον τὸ πῦρ καταβλάπται.[113]

ρα΄. Ἐάν τις ποιήσῃ τυρεψεῖον ἐξ οὗ καπνὸς ἐκπεμπόμενος καταβλάπτει τοὺς ἐν τοῖς ὑψηλοτέροις οἰκοῦντας, δύνανται κατὰ νόμους οἱ βλαπτόμενοι κωλύειν αὐτὸν εἰσπέμπειν τὸν καπνόν. ἀλλὰ καὶ τὸ ἀνάπαλιν, εἰ οἱ ἐν ταῖς ὑψηλοτέραις στέγαις οἰκοῦντες ὕδωρ ῥίπτουσιν ἢ κόπρον καὶ βλάπτουσι τοὺς ἐν τοῖς χθαμαλωτέροις οἰκοῦντας, κωλύονται τοῦτο ποιεῖν. ἐπὶ τοσοῦτον γὰρ ἔξεστί τινι ποιεῖν ἐν τοῖς ἑαυτοῦ, ἐφ᾽ ὅσον ἕτερον μὴ καταβλάπτει. τὸ αὐτὸ καὶ περὶ δυσωδίας.[114]

ρβ΄. Ἐὰν ὁ τοῖχός σου κατὰ τοῦ οἴκου μου κλίνῃ ἥμισυ ποδὸς, ἀναγκάζω σε ἀνορθοῦν αὐτόν.[115]

ργ΄. Ἐάν τις κατὰ ἀλλοτρίου τοίχου κατὰ βίαν θυρίδα ποιήσῃ, ἀναγκάζεται ἰδίοις ἀναλώμασι τὸ ἀρχαῖον ἀποκαταστῆσαι σχῆμα.[116]

ρδ΄. Οὐδεὶς δύναται κόπρον πλησίον τοῦ ἀλλοτρίου τοίχου ἐγχεῖν, εἰ μὴ τοιαύτην δουλείαν ἔχει.[117]

ρε΄. Ἐάν τις γένηται χρεία ὑπαλλαγῆς ὀστράκων σωληναρίων τῶν καθεδρίων, ἕκαστος ἀπὸ τοῦ ἰδίου καθεδρίου ἀρχόμενος διορθούσθω μέχρις ἂν φθάσῃ ἑτέρου γείτονος καθέδριον.[118]

ρϛ΄. Τοὺς ὑπονομιαίους καράβους οὕτως δεῖ καθαίρειν καὶ ἐπανορθοῦν ἀρχόμενος ἕκαστος ἀπὸ τῶν ἰδίων τόπων μέχρις ἂν φθάσωσιν ἑτέρων δεσποτῶν τόπον κατὰ ἀναλογίαν τῶν ἀνωτέρω ῥηθέντων καὶ ὄντων ἐν τοῖς κατάγουσιν ἐπικοίνων καθεδρίων. εἰ δὲ εἰς κῆπον κατέρχεται ὁ αὐτὸς ὑπονομιαῖος κάραβος τὸν κύριον τοῦ κήπου ὀρύγειν τὴν ἀρδευομένην γῆν καὶ ἀνακαθαίρειν τοὺς νεμομένους, τῆς μηροποιήσεως ὀφειλούσης γενέσθαι ἐκ τοῦ νεμομένου τὸν τοιοῦτον κῆπον, τῆς σαπρίας ῥιπτομένης ἔξω τοῦ τοιούτου κήπου.[119]

ρζ΄. Οὐ συνίσταται τοιοῦτον εἶδος δουλείας, ὥστε μὴ ἐξεῖναί με ἐν τῷ οἴκῳ μου τὴν ἑστίαν ἀνάπτειν ἢ πῦρ ἀνάπτειν καὶ καθέζεσθαι ἢ λούεσθαι. ὅθεν κἂν ταῦτα συμφωνηθῇ, ἀνίσχυρα κατὰ νόμον εἰσὶν, διὰ τὸν κανόνα τὸν λέγοντα· ὅσα σύμ-

---

113 Dig. 8, 2, 13 pr. Proch. 38, 17. 114 Dig. 8, 5, 8 § 5. Proch. 38, 18. 115 Dig. eod. 17 pr. Proch. 38, 19. 116 Cod. 3, 34, 8. Proch. 38, 21. 117 Dig. 8, 5, 17 § 2. Proch. 38, 22. 118 Proch. 38, 23. 119 Proch. 38, 24.

φωνα γένηται ὑπεναντίον ἢ νόμων ἢ τῶν καλῶν τρόπων, ἀνίσχυρά εἰσι καὶ ἀνωφελῆ.[120]

ρη'. Ἐάν τις πιπράσκων οἶκον εἴπῃ τῷ ἀγοραστῇ γενικῶς, ὅτι δουλείᾳ βεβάρηται ὁ οἶκος, οὐκ ἀναγκάζεται δουλείας ἐλεύθερον αὐτὸν παραδοῦναι. ὅθεν κἂν μὴ ἐδούλευσε, δύναται δουλείαν ἐπιτιθέναι, πρὸ μέντοι τῆς παραδόσεως, ἵνα ἢ οἴκῳ τοῦ πράτου δουλεύσῃ ἢ ἀλλοτρίῳ οἴκῳ. εἰ δὲ ὅ τε πιπράσκων ἰδικῶς εἴπῃ ὁ δεῖνα δουλεύει ὁ οἶκος καὶ παραχωρήσῃ ἐκείνῳ τὴν δουλείαν, ζήτησιν οὐκ ἔχει.[121]

ρθ'. Ἐὰν χρεωστῶ σοι δουλείαν τοῦ μὴ κτίσαι καὶ κτίσω, καὶ παρέλθῃ μακρὸς χρόνος, ἀναιρεῖταί σοι ἡ κατ᾽ ἐμοῦ δουλεία διὰ τοῦ χρόνου.[122]

ρι'. Κλίμακα τοῦ κοινοῦ πλησίον δύναμαι στῆσαι. οὐδεμία γὰρ ἐντεῦθεν προσγίνεται βλάβη διὰ τὸ τὴν ἀφαίρεσιν αὐτοῦ εὔκολον εἶναι.[123]

ρια'. Ἐὰν ἥλωσα τὰς ἐμὰς θυρίδας μετὰ ι' ἢ κ' ἔτη, σὺ δὲ θέλεις ἀνυψῶσαι, δυναμαί σε κωλύειν δια τὸ προσόν μοι δίκαιον. εἰ δὲ ἀνῳκοδόμησα αὐτὰς καὶ ἔμεινε τοῦτο τὸ σχῆμα ἐπὶ τὸν εἰρημένον [χρόνον], διαφθείρεται τὸ τῆς δουλείας δίκαιον, κἂν οὐκ ἀνύψωσας τὸν ἑαυτοῦ οἶκον. καὶ ἔμεινεν αὕτη ἐπὶ χρόνων ι' ἢ κ', ἀπώλετό μοι ἡ δουλεία.[124]

ριβ'. Ἐὰν παραχωρηθῇ μοι δουλεία.[125]

ριγ'. Τῆς ἐπὶ τάφον ἀγούσης ὁδοῦ οὐδέποτε ἡ δουλεία τῇ τοῦ χρόνου παραδρομῇ ἐκ τοῦ μὴ χρᾶσθαι φθείρεται.[126]

ριδ'. Ὅστις χωρὶς κελεύσεως βασιλικῆς καταπεμφθείσης τῷ ἐπάρχῳ τῆς πόλεως πολλὰς[127] ῥύμας ἢ καὶ τὰ μέρη τούτων τοῖς ἰδίοις ἀναφράξει οἴκοις ἢ καὶ καταχρήσηται ταῖς στοαῖς εἰς οἰκείαν χρῆσιν ἀφελὼν, ἀναμφισβητήτως τὰ ἀρχαῖα δίκαια τῇ πόλει ἀποδώσει καὶ η' λίτρας χρυσίου προστιμηθήσεται.[128]

ριε'. Ὁ ἐνάγων τινὶ περὶ ἀκινήτου πράγματος μὴ ἀπὸ δικαίας αἰτίας νεμηθέντι καὶ μηδέπω ἀποκλεισθεὶς τῇ τριακονταετίᾳ μηδὲ ἀπολέσας τὴν ἰδίαν ἐναγωγὴν εἰς τὸ ἴδιον δίκαιον ἀποκαθίσταται.[129] εἰ δὲ ὁ ἐνάγων πράσιμον ἔχει τὸ ἀκίνητον, ὡς μέλλει πωλεῖν αὐτό. τότε γὰρ οὐ συγχωρεῖται

---

[120] V ταῦτα μηδεμίαν ἐχειν ἰσχὺν ἀναμφιβόλου νομίμου ἐστίν. — Dig. 8, 5, 8 § 6. Proch. 38, 25. 26. [121] Dig. 8, 4, 6 § 3. Proch. 38, 27. [122] Dig. 41, 3, 4 § 29. Proch. 38, 29. [123] Dig. 8, 2, 19 § 2. Proch. 38, 30. [124] Dig. 8, 2, 6. Cf. Proch. 38, 31. [125] Reliqua desunt. Proch. 38, 32. [126] Dig. 8, 6, 4. Proch. 38, 33. [127] ὅλας? [128] Cod. 8, 11, 20. Proch. 38, 34. [129] Cod. 7, 32, 6. Proch. 37, 42.

κἂν ἀπορός ἐστι μόνον τὴν τῶν ὑλῶν παρέχειν διατίμησιν, ἀλλ' εἴ τι βέλτιον γέγονεν ὁ ἀγρὸς ἐπὶ τῇ ἀνορθώσει τοῦ κατέχοντος τὸν ἀγρὸν, καταδικάζεται ὁ ἐνάγων.

ρις'. Τὰ κινητὰ πράγματα τῇ τριετίᾳ ἀνεπιφωνήτως κρατούμενα δεσπόζονται.[130]

ριζ'. Ὁ ἔχων δουλείαν τοῦ ποτίζειν καὶ βόσκειν ἐν τῷ ἀγρῷ σου θρέμματα δύναται κτᾶσθαι δουλείαν τοῦ ἐν αὐτῷ ποιεῖν καλύβην.[131]

ριη'. Οἱ χθαμαλώτεροι τόποι τῶν ἀγρῶν σιωπηρὰν δουλείαν τοῖς ὑψηλοτέροις τόποις χρεωστοῦσιν εἰς τὸ δέχεσθαι τὰ ἴδια αὐτῶν ὕδατα, κέρδος ἔχοντες ἀντὶ τούτου τοῦ βάρους τὸ πᾶσαν τὴν λιπαρότητα τῶν ὑψηλοτέρων γηδίων ὑποδέχεσθαι.[132]

ριθ'. Ἐάν τις δημοσίαν ὁδὸν ἤτοι γῆν παρ' ἀλλοτρίου χωρίου ὀρύττῃ, τὸν ὅρον μὴ παραβαίνειν. ἐὰν τειχίον, πόδα ἕνα ἀπολείπῃ· ἐὰν δὲ οἴκημα, πόδας ς'· ἐὰν δὲ τάφον ἢ βόθρον ὀρύττῃ, ὅσον τὸ βάθος εἴη, τοσοῦτον ἀπολείπῃ· ἐὰν δὲ φρέαρ, ὀργυιὰν, εἰ μήπω φρέαρ προϋπάρχει τοῦ γείτονος καὶ διὰ τοῦ καινοῦ ἔργου βλάπτεται. ἐλαίαν δὲ καὶ συκὴν πόδας θ' ἀπὸ τοῦ ἀλλοτρίου φυτεύειν, τὰ δὲ ἄλλα δένδρα πόδας ε'.[133]

ρκ'. Ἡ δουλεία τοῦ ὕδατος ἐὰν οὕτως συστῇ ὥστε ἐν μόνῳ τῷ θέρει κεχρῆσθαι αὐτῇ ἢ ἐν ἑνὶ μηνὶ ἢ ὑπὲρ ἐνιαυτὸν ἢ ὑπὲρ μῆνα, διπλασιάζεται ὁ χρόνος τῆς ἀχρηστίας. τὸ αὐτὸ καὶ ἐπὶ τῆς ὁδοῦ. εἰ δὲ ὑπὲρ ἡμέραν ἢ ὑπὲρ ὥραν ἢ μίαν ὥραν ἢ μόνην τὴν ἡμέραν ἢ μόνην τὴν νύκτα, τῷ νομίμῳ χρόνῳ φθείρεται· μία γάρ ἐστιν ἡ δουλεία.[134]

ρκα'. Τῷ περὶ ὅρων καὶ ὁροθεσίων δικαστηρίῳ ἡ τοῦ μακροῦ χρόνου παραγραφὴ οὐκ ἀντίκειται, ἀλλὰ μόνον ἡ τῶν λ' ἐτῶν παραγραφὴ χώραν ἔχει.[135]

ρκβ'. Ἐν ταῖς περὶ ὅρων ζητήσεσι δεῖ τὸν δικαστὴν ἀκολουθεῖν ἢ τοῖς ὑπομνήμασιν ἢ τῇ δημοσίᾳ ἀπογραφῇ τῇ πρὸ τῆς ὑπάρξεως συστάσῃ, εἰ μὴ ἄρα τῇ ποικίλῃ τῶν κτητόρων διαδοχῇ καὶ τῇ κρίσει τῶν κατὰ καιρὸν νεμομένων ἀλλαγέντες οἱ ὅροι ἀποδειχθῶσιν. τότε γὰρ τούτοις τοῖς ὅροις προσεκτέον τοῖς ἀπὸ τῶν κτητόρων ὀρεχθεῖσι καὶ οὐχὶ τοῖς παλαιοτέροις.[136]

ρκγ'. Ἐξ ὑπονοίας εὐλόγου νομῆς οὐ γίνεται χρῆσις, εἰ μὴ

---

[130] Cod. 7, 31. Proch. 38, 43. [131] Dig. 8, 3, 6 § 1. Proch. 38, 44. [132] Dig. 39, 3, 1 § 23. Proch. 38, 48. [133] Dig. 10, 1, 13. Proch. 38, 50. 51. [134] Dig. 8, 6, 7. Proch. 38, 54. [135] Cod. 3, 39, 6. Proch. 38, 55. [136] Dig. 10, 1, 11. Proch. 38, 56.

ἔργῳ τὶ ληγατευθῇ ἢ εἰς προῖκα δοθῇ ἢ δωρηθῇ ἢ ἀγορασθῇ. τὸ αὐτὸ καὶ ἐπὶ διατιμήσεως δίκης.[137]

ρκδ'. Ἀγρὸς λέγεται ὁ χωρὶς τῆς κώμης ἤτοι τῶν οἰκημάτων τόπος, ὡς βι. ν' τί. ις' διγ. κζ'.

ρκε'. Ἐὰν περὶ ὅρων τὶς ἐπάγῃ ζήτησιν, ἀντιτίθεται δὲ αὐτῷ ὅτι οὐκ ἔχει μέρος δεσποτείας ἐν τῷ ἀγρῷ, ὀφείλει ζητηθῆναι πρότερον εἰ ἐστὶ δεσπότης, καὶ οὕτως ἡ τοῦ ἀγροῦ γενέσθαι μέτρησις.[138].

ΤΙΤΛΟΣ μ'.

Περὶ βίας καὶ ἁρπαγῆς πραγμάτων καὶ ἀγρῶν, καὶ περὶ στασιαστῶν, καὶ περὶ ἀπελατῶν καὶ περὶ καταπτώσεων καὶ ἐμπρησμῶν καὶ περὶ τάφων.

α'. Ὁ δίχα ἄρχοντος ἀπαιτῶν τὸν ἴδιον χρεώστην ἢ πρᾶγμα αὐτοῦ παραγνώμην αὐτοῦ λαμβάνων καὶ βίαν ἁμαρτάνει καὶ τοῦ χρέους ἐκπίπτει.[1]

β'. Ἐὰν χωρὶς δικαστικῆς ἀποφάσεως ἀφέληταί τις πρᾶγμα εἰ μὲν ἴδιον αὐτοῦ, ἐκπίπτει τῆς αὐτοῦ δεσποτείας· εἰ δὲ ἀλλότριον, παρεχέτω αὐτὸ τὸ πρᾶγμα καὶ τὴν διατίμησιν αὐτοῦ.[2]

γ'. Ὁ ἁρπάζων καὶ[3] μετατιθεὶς ὅρια διπλὴν τὴν ἡρπαγὴν ἀποδίδωσιν.[4]

δ'. Ὁ κατὰ βίαν ἀγρόν τινος ἐπιβαίνων κἂν ἐκ τοῦ οἰκείου μέρους αὐτοῦ ἀναιρεθῇ τις κἂν ἐκ τοῦ ἐναντίου, αὐτὸς ὡς ἀνδροφόνος τὴν κεφαλὴν ἀποτεμνέσθω.[5]

ε'. Ὁ νομίζων τὸν ἀγρὸν ἢ ἕτερον πρᾶγμα παρ' ἑτέρου νεμόμενον ἑαυτῷ διαφέρειν προσιέτω τῷ ἄρχοντι· εἰ δὲ βίαν κατηγορῶν μὴ ἀποδείξῃ ἑαυτοῦ τὸ πρᾶγμα, τὴν τιμωρίαν ὑπο-

---

[137] Dig. 41, 3, 27. — F intercalat haec: *Περὶ ὀροθεσίων βι. μα' τι. γ' διγ. κζ'. Νομῆς ζητουμένης καὶ δεσποτείας τὸ περὶ νομῆς πρῶτον τέμνεται. ὡς βι. ζ' τί. ξβ' διατ. α' τοῦ κώδ. Ὁ περὶ νομῆς ἀφαιρεθείσης κατὰ βίαν δικάζων πρῶτον κρινέτω τὰ περὶ τῆς νομῆς καὶ τότε σκοπείτω τὰ περὶ τῆς βίας· ἐπεὶ οὐκ ἰσχύει ψῆφος αὐτοῦ. ση. ὅτι μετὰ τὴν τῆς νομῆς ζήτησιν δύναται ὁ δικαστὴς σκοπεῖν καὶ τὸ περὶ τῆς βίας, ἐπειδὴ συμπέπλεκται ἐνταῦθα ἡ βία τῇ νομῇ κατὰ τὸν προκείμενον θεματισμόν.* [138] Cod. 3, 39, 3.

[1] Dig. 48, 7, 7. [2] Cod. 8, 4, 7. Proch. 39, 49. — F addit: *Ὁ βίᾳ ἀφαιροίμενος τὸν κληθέντα εἰς δικαστήριον ἀπαιτεῖται τὰ παρ' αὐτοῦ χρεωστούμενα. βι. ιε' τί. α' διγ. κε'.* [3] F addit *γῆν*. [4] Proch. eod. 48.

[5] Haec et quae sequitur § inter adjectiones ad leges rusticas factas tit. 10 § 10. 11 legitur. Ad § 5 cf. Eclogam 17, 5. C. 9, 12, 6; 7

μενέτω ἤγουν τὴν ποινήν. εἰ δὲ περιφρονήσας τοῦ δικαστηρίου βίαν αὐτὸς ἐπαγάγῃ, τέως μὲν τῆς νομῆς ἐκπιπτέτω, καταδικαζέσθω δὲ καὶ περὶ τῆς βίας, ἐκπίπτων καὶ τῶν οἰκείων.

ς'. Ὁ τὸ πρᾶγμα κινῶν καὶ μὴ λέγων ἐξ ἧς ἐγένετο δεσπότης, ἀκωλύτως δικάζει ἐν τῷ δικαστηρίῳ. καὶ ἐὰν ὁ εναχθεὶς τὴν ἰρὲμ νικήσῃ ὡς μὴ νεμόμενος, ἰσχυρῶς ἐνάγει μηδὲν ἐκ τῆς πρώτης νίκης ὠφελούμενος. ὡς βι. μδ' τί. β' διγ. ζ'.[6] — σχολ. Τὸ κατὰ βίαν ἢ φόβον γινόμενον οὐχ ἡγήσομαι κύριον.[7] — ση. Ὁ βίαν ἢ φόβον ποιῶν ἐνάγεται καὶ ὑπὸ τῶν κληρονόμων τοῦ βιασθέντος ὡς κακὸς νομεύς.[8]

ζ'. Ὁ ἁρπάζων ἢ ἀποκρύπτων ἀλλοτρίαν δούλην πόρνην οὖσαν οὔτε τῷ φαβίῳ[9] οὔτε τῇ φύρτῃ κατέχεται· οὐ γὰρ κλοπῆς ἀλλ' ἡδονῆς χάριν ἐποίησε τοῦτο. εἰ γὰρ καὶ τὰς θυρίδας τὶς κλάσῃ πόρνης καὶ εἰσελθόντες ἕτεροι μὴ παρ' αὐτοῦ εἰσαχθέντες κλέψωσι τὰ πράγματα αὐτῆς, οὐκ ἐνέχεται ὡς κλέπτης.[10]

η'. Παῖδες καὶ ἀπελεύθεροι βεβαίας νομῆς ἐκβληθέντες παρὰ τοῦ πατρὸς ἢ τοῦ πάτρωνος τὸ μὲν ἔγκλημα τῆς βίας οὐ δύνανται κινεῖν, εἰς δὲ τὸ ἀναλαβεῖν τὴν νομὴν κινοῦσιν. — ση. Υἱὸς κατὰ μητρὸς περὶ ὑποβολιμαίου κινεῖ διὰ τὸ μὴ σχεῖν αὐτὸν συγκληρονόμον.[11]

θ'. Ὁ βιασάμενος κόρην καὶ φθείρων αὐτὴν ῥινοκοπείσθω, διδοὺς αὐτῇ τὸ τρίτον τῆς ὑποστάσεως αὐτοῦ.[12]

ι'. Ἡ βίαν ὑποστᾶσα οὐκ ὑπόκειται τῷ νόμῳ, κἂν ἐρυθριῶσα τὸ γενόμενον οὐκ ἀνήγγειλε τῷ ἀνδρὶ παραχρῆμα. καὶ ἀποθανούσης ἐν τῷ γάμῳ τῆς γυναικὸς δύναται ὁ ἀνὴρ τῷ μοιχῷ κατηγορεῖν. — σχόλ. Τὸ τῆς μοιχείας ἔγκλημα διὰ τῆς ε' ετίας σβέννυται.[13]

ια'. Ἡ ἁρπαγὴ μείζων ἐστὶ τῆς μοιχείας, καὶ ὁ ἁρπάσας γεγαμημένην ἢ μὴ γεγαμημένην ἐσχάτως τιμωρεῖται. καὶ ὁ ἀποκλείων καὶ τύπτων σφοδρῶς τινα. καὶ ὁ ἄρχων φονεύων ἢ τύπτων τὸν ἐγκαλεσάμενον καὶ κλοιὸν περιθεὶς αὐτῷ. καὶ ὁ ποιήσας τὸν δικαστὴν κατὰ δόλον ψηφίσασθαι εἰς τὸ τετραπλοῦν ἔχει τὴν ἀπαίτησιν.[14]

ιβ'. Ὁ ὠθῶν τινα ἢ μαστιγῶν ἢ κατὰ βίαν εἰς οἶκον εἰσιὼν ἐκ τοῦ κορνελίου τὴν ὕβριν ἐνέχεται. πᾶσα τοίνυν ἡ διὰ χειρὸς γενομένη ὕβρις ὑπὸ τὸν κορνέλιον ἀναφέρεται. ἐπὶ τούτων γὰρ

---

[6] Lege ιζ'. [7] Dig. 4, 2, 1. [8] Dig. ibid. 14 § 2. 16 § 2. [9] F βαφίῳ V ταφίῳ. [10] Dig. 47, 2, 39. [11] Dig. 48, 2, 11 § 1. [12] Proch. 39, 66. F ὡς βι. μη' τί. ε' διγ. λε' (39 pr. § 2). [13] Dig. 48, 5, 39 pr. § 2 et dig. 29 § 5 sqq. [14] Dig. 48, 6, 5 § 2 et dig. 6. 7. 10 pr.

συγγενὴς οὐ καταδικάζει ἢ γαμβρὸς ἢ πενθερὸς ἢ πατρῷος ἢ ἀγχιστεύς.[15]

ιγ'. Καλῶς ὅπλοις ἐξωθῶ τὸν μετὰ ὅπλων ἐπιόντα, παραχρῆμα μέντοι· καὶ οὐ μόνον ἀντιστῆναι ἔξεστιν, ἀλλὰ καὶ ἐκβληθέντα εὐθὺς ἀντεκβάλλειν, οὐ μέντοι μεταδιώκειν. εἰ δὲ ὁ διοικητής μου ἢ φαμηλία ἔνοπλος ἔλθοι, ἐγὼ βίαν ποιῶ, εἴτε ἐπέτρεψα εἴτε ῥατοναβίτευσα. ὡς βι. μγ' τί. ιε' καὶ ις'.[16]

ιδ'. Ὅπλα λέγονται πάντα τὰ βέλη, λίθοι ξύλα ῥομφαῖα ῥόπαλα.[17]

ιε'. Εἰ δόλῳ μου ἕτερος ἐκβάλλει σε, καλῶς ἐνάγομαι, καὶ μετὰ ἐνταυτὸν εἰς τὸ περιελθόν.[18]

ις'. Βίαν σοὶ ποιῶ εἰ μὴ συγχωρήσω τοῖς οἰκείοις ὡς βούλῃ χρήσασθαι σπείροντα ἢ ὀρύττοντα ἢ ἀροτριῶντα ἢ ἐπικτίζοντα, εἴτε δι' οὗ τὴν ἐλευθερίαν ἐδεξάμην[19] ἀφαιροῦμαί σου νομήν. ὡς βι. μζ' τί. ις' διγ. ιζ'.[20]

ιζ'. Εἰ ἐκβάλλεις με βίᾳ τοῦ ἀγροῦ ὃν εἶχον ἢ λάθρα ἢ παρακλήσει, καὶ αὐτὸν καὶ τὰ ἐν αὐτῇ κινητὰ καταλήψομαι.[21]

ιη'. Οἱ βουλευσάμενοι θόρυβον ἢ στάσιν ποιῆσαι καὶ ἔχοντες ἐνόπλους ἐλευθέρους ἢ δούλους, καὶ ὁ ἔφηβος δημοσίᾳ ξίφος ἐπιφερόμενος, καὶ οἱ ἐξ ἐφόδου ἀγροῖς ἐπιόντες καὶ σὺν ὅπλοις ἁρπάζοντες πράγματα, καὶ ὁ ἁρπάζων τὶ ἐξ ἐμπρησμοῦ πλὴν ὕλης, καὶ ὁ βιαίως αἰσχρουργήσας τινὰ, καὶ ὁ παραγενόμενος ἔνοπλος εἰς ἐμπρησμὸν[22], καὶ ὁ κατὰ δόλον ἀποκλείσας ἄνθρωπον, καὶ ὁ ἐμποδίσας ταφῆναί τινα, καὶ ὁ ποιήσας ἁρπαγῆναι ἢ διαλυθῆναι τὸ πένθος, ἢ κατὰ βίαν ἑαυτῷ τινα ποιήσας ἔνοχον· ἀκυροῦται ἡ ἐνοχή.[23]

ιθ'. Ἐὰν κατὰ ταὐτὸν ζητεῖται περὶ βίας καὶ νομῆς [ἢ] δεσποτείας, τὰ περὶ βίας πρότερον ἐξεταζέσθω.[24] — ση. Οἱ μεθ' ὅπλων ἐπιόντες καὶ πορθοῦντες ἀλλοτρίους οἴκους ἢ ἀγροὺς εἰς κεφαλὴν τιμωροῦνται.[25] — σχόλ. Δημοσίᾳ συμφέρει παραχρῆμα τιμωρεῖσθαι τοὺς ἐρεθίσαντας τοὺς στασιαστὰς καὶ τοὺς ἐξάρχους τῶν φατριῶν.[26]

κ'. Κυρίως ἀπελάτης λέγεται ὅστις θρέμματα ἀπὸ βοσκῆς ἢ βουκολίων ὑποσύρει ἢ ἀπὸ ἀγελῶν ἵππους. ὁ γὰρ βοῦν ἢ ἵππον πλανώμενον λαβὼν οὐκ ἔστιν ἀπελάτης, ἀλλὰ κλέπτης.

---

[15] Dig. 47, 10, 5 pr. [16] Dig. 43, 16, 3 § 9. 10. 11. [17] Dig. 43, 16, 3 § 2. [18] Dig. 43, 16, 3 § 12. [19] In Basil. est: ἢ ποιοῦντά τι ὅλως δι' οὗ τὴν ἐλευθέραν ἀφ. [20] Dig. 43, 16, 11. [21] Dig. 43, 16, 14. [22] Dig. 48, 6, 3 pr. § 5. [23] Dig. ibid. 5 pr. [24] Dig. 48, 6, 5 § 1. [25] Dig. 49, 6, 11 pr. [26] Dig. 49, 1, 16.

εἰ γάρ τις χοῖρον ἢ αἶγαν ἀπελάσει, οὐχ οὕτως σφοδρῶς τιμωρεῖται ὡς ὁ τελείων ζώων ἀπελαύνων ἀγέλην. ὁ γὰρ μετὰ ξίφους ἀπελαύνων ἀγέλην θηρίοις ὑποβάλλεται.[27]

κα΄. Δέκα πρόβατα ποιοῦσιν ἀγέλην καὶ χοῖροι ε΄[28]. — Οἱ τοὺς ἀπελάτας ἐπιδεχόμενοι ἐπὶ ι΄ ἔτη τῆς ἰταλίας ἐξορίζονται.[29]

κβ΄. Οἱ λεγόμενοι νεωτερισταὶ καὶ θορύβους ἐν τῷ δήμῳ ποιοῦντες, εἰ μὲν ὑπομνησθέντες παρὰ τοῦ ἄρχοντος τοῖς αὐτοῖς ἐπιμείνωσιν, ἐξορίζονται. εἰ δὲ πολλοὺς θορύβους καὶ ἀταξίας ἐποίησαν καὶ πολλάκις κρατηθέντες καὶ πρότερον κολασθέντες ἐπὶ τῆς αὐτῆς ἐπεμείνασι προπετείας, τυπτόμενοι καὶ κουρευόμενοι ἐξοριζέσθωσαν διηνεκῶς. εἰ δὲ οὐχ ὑπεμνήσθησαν παρὰ τοῦ ἄρχοντος, ῥοπαλίζονται καὶ ἀπολύονται.[30]

κγ΄. Ἐὰν ἐμπρησμοῦ γενομένου ἐπ᾽ ἀσφαλείᾳ μου διασείσω ἢ πορθήσω τὸν οἶκον τοῦ γείτονος, οὐκ ἐνέχομαι τῷ παρόντι ἐδίκτῳ, οὔτε τῷ ἀκουιλίῳ, ἐὰν ἄλλως ἐμαυτῷ βοηθεῖν οὐκ ἠδυνάμην.[31]

κδ΄. Ὁ κατὰ πρόφασιν ἐμπρησμοῦ λαμβάνων τὶ, κἂν ἐκ τῶν παρακειμένων οἴκων ἀφέληταί τις ἐν τῷ καιρῷ τῆς καταπτώσεως, ὑπόκειται εἰς τὸ τετραπλοῦν.[32]

κε΄. Ὁ ἀπὸ ἐμπρησμοῦ ἢ καταπτώσεως ἢ ναυαγίου ἢ πλοίου πορθηθέντος ἁρπάζων ἢ κατὰ δόλον ὑποδεχόμενος ἢ ζημιοῦν εἴσω μὲν ἐνιαυτοῦ εἰς τὸ τετραπλοῦν, μετὰ δὲ ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν ἐνέχεται.[33]

κς΄. Ἐὰν δι᾽ ἐμπρησμὸν ἐκκόψω τὰ οἰκήματά σου καὶ ἔλθῃ ἕως τῆς ἐκκοπῆς τὸ πῦρ, οὐκ ἔχεις ἀγωγὴν κατ᾽ ἐμοῦ εἰς τὸ διπλοῦν οὐδὲ βίας ἐντέρδικτον· εἰ δὲ μὴ ἔλθῃ, εἰς τὸ ἁπλοῦν τῆς τιμῆς ὑπόκειμαι. εἰ δὲ πρὸ ἐμπρησμοῦ διακόψω, κἂν ἐπιγένηται ὁ ἐμπρησμὸς, ὑπόκειμαι.[34]

κζ΄. Οἱ ἐξεπίτηδες ἐν πόλει ποιοῦντες ἐμπρησμοὺς εὐτελεῖς μὲν ὄντες θηριομαχοῦσιν, ἔν τινι δὲ βαθμῷ ὄντες ἀποκεφαλίζονται.[35]

κη΄. Ὁ οἰκίαν ἢ σωρὸν σίτου πλησιάζοντος οἴκου καύσας ἐν εἰδήσει, τυπτόμενος γίνεται περίκαυστος· ὁ δὲ κατὰ τύχην γινόμενος ἐμπρησμὸς συγγινώσκεται. εἰ δὲ ἔξω πόλεως τὸ τοιοῦτον διαπράξοιτο, χειροκοπείσθω.[36]

---

[27] Dig. 47, 14, 1 § 1. 2. 3. [28] Dig. 47, 14, 3 pr. [29] Dig. eod. § 3. [30] Proch. 39, 6 (Dig. 48, 19, 28 § 3. [31] Dig. 47, 9, 3 § 7. [32] Dig. 47, 9, 1 § 2. 3. [33] Dig. 47, 9, 1 pr. [34] Dig. 43, 24, 7 § 4. [35] Dig. 47, 9, 12 § 1. [36] Dig. 47, 9, 9. 11. (Proch. 39, 18.) Βασ. 60, 39, 6!

κθ'. Εἴ τις τὴν καλάμην τοῦ ἰδίου χωραφίου ἢ τὰς ἀκάνθας καῦσαι βουλόμενος ἐνέβαλεν κατ' αὐτῶν πῦρ, τὸ δὲ πῦρ ἁφθὲν τὰ ἀλλότρια κατέκαυσε χωράφια ἢ τὸν ἀλλότριον ἀμπελῶνα, δεῖ τὸν ἀκροατὴν ἐξετάζειν, καὶ εἰ μὲν ἀπειρίᾳ ἢ ῥαθυμίᾳ τοῦ ἀνάψαντος τὸ πὺρ ἡ βλάβη γέγονε, τὸ ἀζήμιον τῷ βλαβέντι περιποιείτω· εἰ δὲ ἀνέμου σφοδροῦ πνεύσαντος τὸ πῦρ ἀνῆψεν, εἰ μὴ παρεφυλάξατο δυνάμει τοῦ μὴ παρελθεῖν τὴν φλόγα περαιτέρω, ὡς ἀμελήσας καὶ ῥαθυμήσας ὁ τοιοῦτος καταδικάζεται. εἰ δὲ πάντα μὲν ἐκεῖνος παρεφυλάξατο, ἀθρόον δὲ πνεῦμα προσπεσὸν τὴν τοῦ πυρὸς φλόγα ἐπὶ τὸν βλαβέντα μετενόμησεν, ἀνεύθυνος διατελεῖ ὁ τὸ πῦρ ἀνάψας.[37]

λ'. Περὶ τάφων. Ἡ ταφὴ τοῦ υἱοῦ χρέος ἐστὶν ἐπικείμενον τῷ πατρί.[38]

λα'. Εἴ τις προσπεποίηκε τῷ ῥεληγιόσῳ ῥεληγιόσον ἐστὶ· καὶ διὰ τοῦτο ἀλλότριοι λίθοι ἐνοικοδομηθέντες αὐτῷ οὐδὲ καταλυθέντος αὐτοῦ ὑποστρέφουσι πρὸς τὸν δεσπότην ὡς ἅπαξ ῥηληγιόσοι γινόμενοι. ὡς βι. ς' τί. α' διγ. μγ'.

λβ'. Ἐὰν ἀποθανούσης τῆς γυναικὸς μὴ[39] ἐκ τῆς προικὸς αὐτῆς κερδήσῃ ὁ ἀνὴρ, ὑπόκειται τὰ δαπανήματα τῆς ταφῆς αὐτῆς.[40]

λγ'. Διὰ οἱασδήποτε ἀγωγῆς τὰ τῆς ταφῆς δαπανήματα προνόμιον ἔχει ὡς βι. μβ' τί. ε'.[41]

λδ'. Ὁ τὴν γαμετὴν κληρονομῶν ἐκ τῆς προικὸς καὶ ἐκ τῆς κληρονομίας θαπτέτω αὐτήν.[42]

λε'. Τὸ τῆς ταφῆς τοῦ τεστάτορος ἀνάλωμα κληρονομιαῖον χρέος ἐστὶν ὡς βι. ιη' τί. δ' διγ. β'.[43]

λς'. Ἐάν τινα ἁρμοδίω[44] κελεύσει γενέσθαι ὁ τεστάτωρ περὶ τῆς ταφῆς αὐτοῦ, οἷον περὶ ἐσθῆτος δαπάνης, οὐκ ἔῤῥωται.[45] εἰ μὴ[46] κατασκευὴν μνημείου ὡς δ' ἂν κελεύσῃ δαπανηθῆναι, χρὴ δαπανᾶσθαι. ὡς βι. λβ.[47]

λζ'. Καὶ πιπρασκομένων τῶν ἀγρῶν ἐν οἷς οἱ τάφοι εἰσὶ φυλαττέσθω τῷ πράτῃ καὶ εἰς αὐτὸν πάροδος ἐπὶ τὸ θάπτειν.[48]

λη'. Τὰ μνημεῖα τῶν πόλεων[49] οὐκ εἰσὶ ῥεληγιόσα, ὅθεν

---

[37] Dig. 9, 2, 30 § 3. Proch. 39, 75. Epanog. 40, 81. — G addit §: *Ἐὰν ἀπό τινος τύχης οἶκός τινος ἐμπρησθῇ, κἀκεῖθεν τὸ πῦρ ἐκδραμὸν τὰ συμπαρακείμενα ἐμπρήσῃ, οὐδὲν ὑπόκειται ὁ κατ' ἀρχὰς ἐμπρησθείς.* Proch. 39, 76. [38] Cf. Dig. 11, 7, 21. [39] Dele negationem. [40] Dig. 11, 7, 16. [41] Sc. dig. 17 pr. [42] Dig. 11, 7, 22. [43] Scil. § 16. [44] *τι ἀναρμοδίως*? [45] Dig. 11, 7, 14 § 6. [46] *εἰς μέντοι*? [47] Dig. 32, 42? [48] Dig. 47, 12, 5. [49] Lege *πολεμίων*.

τοὺς ἐξ αὐτῶν ἐπαιρομένους λίθους εἰς ἑτέρας μεταφέρειν χρείας οὐκ ἐναγόμεθα τῷ ἀκουιλίῳ.[50]

λθ'. Ἐάν τις ἐν πόλει θάψῃ, δίδωσι τῷ φίσκῳ νομίσματα μ', καὶ ὁ ἀνασχόμενος ἄρχων μ', καὶ ὁ τόπος φισκοῦται καὶ τὸ λείψανον οὐ[51] μεταφέρεται, κἂν ἡ συνήθεια τῆς πόλεως ἔχει θάπτειν ἐν αὐτῇ. τοὺς γὰρ γενικοὺς νόμους ἰσχύειν δεῖ πανταχοῦ.[52]

μ'. Πᾶς τόπος τῆς ταφῆς. καὶ ὁ κληρονόμος καὶ πᾶς ἕτερος παραγνώμην τοῦ τεστάτορος εἰς τάφον ἐρεδιτάριον τουτέστιν ὑπόχρεον εἰσάγων ἔχεται ταύτῃ τῇ ἀγωγῇ. δύναται γὰρ ὁ τελευτήσας καὶ τελείως καί τινας τῶν κληρονόμων εἰσάγειν κωλῦσαι. οὐ δεῖ δὲ τὰ λείψανα τῶν τελευτησάντων ψηλαφᾶσθαι ἢ σκυλεύεσθαι. τὰ δὲ προσκαίρως ἀποτεθέντα μεταφέρειν ἔξεστιν.[53]

μα'. Οἱ τὰ λείψανα ἢ τὰ ὀστᾶ μετακινήσαντες, εὐτελεῖς μὲν ὄντες, κακαισχίστως τιμωροῦνται· ἔντιμοι δὲ δεπορτατεύονται τουτέστιν ἐξορίζονται.[54]

μβ'. Τὸ μὴ διηνεκεῖ ταφῇ δοθὲν λείψανον καλῶς μεταφέρεται εἰς ἕτερον τόπον.[55]

μγ'. Καὶ ἔσω πόλεως οὐδεὶς δύναται θάψαι νεκρόν. οὐδὲ ὑπὲρ νεκρῶν οὐδεὶς ἀπαιτεῖ[56] τέλος ὡς βι. γ' τί. μδ' διατ. α'[57], ιβ', ιδ' τοῦ κώδ.

μδ'. Βίαν ποιεῖ ὁ μετὰ κώλυσιν ποιήσας, καὶ ὁ ἀπειλήσας τῷ ἀντιδίκῳ ἵνα μὴ κωλυθῇ, καὶ ὁ ἀποκλείσας τὸν πυλῶνα αὐτοῦ ἵνα μὴ παραγγελθῇ. κωλύει δὲ καὶ ὁ λέγων κωλύειν καὶ ὁ χεῖρα ἀντιτιθεὶς καὶ ὁ λίθον ῥίπτων ὡς βι. μγ' τί. κδ' διγ. κ'.[58] — ση. ἐν καινοτομίᾳ καὶ ἔδαφος καὶ ἀὴρ μετρεῖται.[59]

με'. Ὁ ἀρχαίους ὅρους μετακινήσας ἢ καὶ τὸν ἀγρόν τινος βίᾳ σκοπελίζων κεφαλικῶς τιμωρείσθω.[60]

μϛ'. Ἐὰν δοῦλος ἢ δούλη ἀγνοίᾳ τοῦ δεσπότου ἀλλότριον ὅρον δόλῳ ἀποκινήσει, κεφαλικῶς τιμωρείσθω.[61]

μζ'. Οἱ τὰ ὁροθέσια τῶν ἀγρῶν ἀνατρέποντες, ἐὰν ἐπίσημοί εἰσιν καὶ διὰ κέρδος ἴδιον τοῦτο τολμῶσιν, τυπτόμενοι διηνεκῶς ἐξοριζέσθωσαν.[62]

---

[50] Dig. 47, 12, 4. [51] Negatio delenda est. [52] Dig. 47, 12, 3 § 5. [53] Dig. 47, 12, 3 § 2—4. [54] Dig. 47, 12, 11. [55] Cod. 3, 44, 10. [56] ἀπαιτεῖται? [57] ι'. [58] Scil. pr. § 1. [59] F addit διγ. κβ'. Nobis est dig. 21 § 2 Dig. cit. [60] Cf. Dig. 47, 11, 9. [61] Dig. 47, 21, 3 § 1. [62] Dig. 47, 21, 1. 2.

μη'. Μηδεὶς τοῖς ἀρχαίοις ἀποκεχρήσθω ὅροις δημεύσει αὐτοῦ καὶ ἐξορίᾳ ὑποκειμένου.[63]

ΤΙΤΛΟΣ μα'.

Περὶ τῶν δημευομένων ἐν τῷ φίσκῳ καὶ περὶ ἀναζητουμένων καὶ περὶ δεπορτατευομένων καὶ περὶ αἱρέσεων.

α'. Τὰ πεκούλια τῶν τέκνων οὐ συνδημεύονται τῇ τοῦ πατρὸς οὐσίᾳ εἰς τὰ δημόσια χρέη. ὡς βι. λε' τί. β' διγ. γ'.[1]

β'. Οὐ συναπάγονται τὰ τῆς γυναικὸς πράγματα τῇ τοῦ ἀνδρὸς οὐσίᾳ δημευομένου κἂν ἐξώπροικά εἰσιν.[2]

γ'. Καὶ πολίτης[3] καὶ ἰδιώτης δανειστὴς ἀρχαιοτέραν ἔχοντες τῆς τοῦ φίσκου ὑποθήκην προτιμῶνται αὐτοῦ.[4]

δ'. Ὁ φίσκος ἐπιγινώσκει τὰ ἀναγκαῖα δαπανήματα ὑπὲρ τῆς δημευθείσης προικός.[5]

ε'. Τοῦ ἐπὶ κεφαλικοῦ ἐγκλήματος καταδικασθέντος ἡ οὐσία δημεύεται. ὡς βι. κ' τί. δ'[6] διγ. κϛ'. — ση. ὅτι ὁ δημευθεὶς ἀντὶ ἀποθανόντος νοεῖται.

ϛ'. Ἐάν τις μνηστεύσηται ἣν οὐκ ἔξεστι καὶ δωρήσηται αὐτῇ τι, ὡς παρὰ ἀναξίας ὁ φίσκος τοῦτο ἀφαιρεῖται.[7]

ζ'. Ἐὰν ὁ κινήσας κατὰ διαθήκης δινοφφικιόσο ἢ πλαστὸν καὶ ἡττηθῇ, τὸ καταλειφθὲν αὐτῷ ὁ φίσκος λαμβάνει.[8]

η'. Ἐὰν ἀδιτευθῇ κληρονομία πρὶν ἐκδικηθῇ ὁ φόνος τοῦ τεστάτορος, φισκοῦται ἡ κληρονομία.[9]

θ'. Ἐπιτρόπου δημευθέντος κατὰ τοῦ φίσκου δίδοται ἡ τουτέλαε. ὡς βι. κζ' τί. γ' διγ.[10]

ι'. Οἱ ἀπὸ ναυαγίου κερδαίνοντες τὸ τετραπλοῦν ἀπαιτοῦνται καὶ δίδοται τῷ φίσκῳ. ὡς βι. μζ' τί. θ' διγ. γ'.[11]

ια'. Ὁ τῷ πομπείῳ ἐναγόμενος ἐὰν πρὸ καταδίκης ἑαυτὸν ἀνέλῃ, δημεύεται. ὡς βι. μη' τί. θ'.[12]

ιβ'. Ὅτε πατὴρ δημεύεται καὶ λάβωσιν οἱ παῖδες τὸ συγχωρηθὲν αὐτοῖς μέρος, οὐκ ἐνάγονται πρὸς τὸ μέρος ὃ ἔλαβον

---

63 In E recentior manus addit §: Ὁ δόλῳ τοὺς ὅρους μετατιθεὶς καθ' ἕκαστον ὁροθέσιον δίδωσιν γ' νομίσματα τῷ δημοσίῳ κτλ. Cf. Dig. 47, 21, 3. Basil. 60, 31, 3. 1 Dig. 4, 4, 3 § 4 in fine. 2 Theod. Cod. 4, 12, 2. 3 Lege πόλις. 4 Dig. 20, 4, 8. 5 Cf. Dig. 48, 20, 4. 6 Fortasse hic locus ad § 3 adscribi debuit. — Cf. Dig. 48, 20, 1 pr. 49, 14, 39 pr. 7 Cod. 5, 5, 4. 8 Cf. Dig. 49, 14, 13 § 9. 9 Dig. 29, 5, 5 § 2. 10 Scil. 9 § 6. 11 Scil. § 8. 12 Scil. dig. 8.

παρὰ τῶν δανειστῶν· οὐδὲ γὰρ διάδοχοι νομίζονται· ἀλλὰ μόνος ὁ φίσκος ἐνάγεται, ἐπειδὴ ἀφαιρουμένων τοῦ χρεῶν δίδωσι τοῖς παισὶ μέρος, καὶ ἐξαιρέτως ἔχουσι καὶ κανστέρσιον πεκούλιον.

ιγ'. *Ἀπελευθέρου κατακριθέντος τὰ περιττεύοντα μετὰ τὸν πάτρωνα καταλαμβάνει ὁ φίσκος.*[13]

ιδ'. *Ὁ φίσκος κληρονόμος τῶν δημευομένων, καὶ μόνη ἡ τῶν δ' χρόνων παραγραφὴ ἀντίκειται αὐτῷ ἐκδικοῦντι τὰ βακάντια. ὡς βι. μδ' τί. γ' διγ. ιβ'.*[14]

ιε'. *Ἐὰν οἱ δοῦλοι [τοῦ] περὶ μοιχείας κατηγορουμένου διὰ τὴν τῆς μοιχείας ἔρευναν βασανιζόμενοι*[15]*, ἵνα μὴ φόβῳ τοῦ ὑποστρέψαι πρὸς τὸν δεσπότην ἀποκρύψωσι τὴν ἀλήθειαν, δημόσιοι γίνονται.*[15]

ις'. *Ὅτε ὁ κληρονόμος διαῤῥάξῃ τὸν κωδίκελλον, θ' οὐγκίας τῆς κληρονομίας αὐτοῦ ἀφαιρεῖται ὁ φίσκος, ἐπειδὴ ἔνι τοσαῦτα ἐν κωδικέλλοις δεδαπανηκέναι τὸν τεστάτορα. ὡς βι. μη' τί. ιζ' διγ. α'.*[16]

ιζ'. *Πᾶσα ζήτησις παρα φίσκου ἐπαγομένη τινὶ τῇ τῶν κ' ἐνιαυτῶν παραγραφῇ ἐκβάλλεται, εἰ μὴ συντομώτερος ἐπί τινος ὥριστο χρόνος, ὡς ἐπὶ τῶν βακαντίων ἡ τετραετία. ὡς βι. μη' τί. ιζ'.*[17]

ιη'. *Ὅτε οἱ δημευόμενοι καὶ ἐγκαταλιμπάνοντες τὸν κυοφορούμενον, βοηθεῖται τὸ νόμιμον μέρος λαβεῖν· καὶ γὰρ ὁ κυοφορούμενος ἀντὶ τεχθέντος λογίζεται.*[18]

ιθ'. *Τὸν φαλκίδιον ἐν ᾧ ἀποκρύπτει ὁ κληρονόμος φισκοῦται.*[19]

κ'. *Οὐ συνδημεύονται ἅπερ φορεῖ ἱμάτια ἢ δακτυλίους ἕως ε' νομισμάτων ἀξίους καὶ ἃ λάθρα ἐπιφέρεται εἰς ἀποτροφήν, τυχὸν νούμμους, καὶ ἁπλῶς εἰπεῖν πάντα ὅσα ἐφόρει εἰσελθὼν εἰς τὸ δεσμωτήριον, ὅτε ἔμελλεν κολάζεσθαι. ταῦτα γὰρ ὡς εἴρηται οὐ τῷ φίσκῳ [διαφέρει], ἀλλ' ὁ ἄρχων δίδωσιν αὐτὰ εἰς τὰ στρατιωτικὰ πρόσωπα ἢ εἰς ἀνδραγαθήσαντας στρατιώτας.*[21]

κα'. *Πᾶσα γὰρ δημοσιά ζήτησις τῇ εἰκοσαετίᾳ σβέννυται, εἰ μήτις ἰδική ἐστι παραγραφή. καὶ ἐὰν ἐπὶ κ' ἔτη μὴ κατάσχῃ ὁ φίσκος τὰ τοῦ ἀναζητουμένου πράγματα, ἐκβάλλεται [παρα]γραφῇ παρ' αὐτοῦ καὶ παρὰ τῶν διαδόχων.*[22]

---

[13] Dig. 48, 20, 7 § 1. [14] Lege ι'. [15] *βασανίζωνται?* [16] Dig. 48, 5, 27 § 11. [17] Dig. 48, 10, 4 § 1. [18] Scil. dig. 3. [19] Dig. 48, 20, 1 § 1. [20] Dig. 34, 9, 5 § 19. [21] Dig. 48, 20, 6. [22] Dig. 48, 17, 3. 2 § 1.

κβ'. Ἐφ' ὅσον[23] σφραγίζονται τα πράγματα τοῦ ἀναζητουμένου, τῶν εὐφθάρτων καὶ τῶν καρπῶν [πιπρασκομένων], ἀποτιθεμένων τῶν τιμῶν. καὶ εἰ μὲν ἐντὸς ἐνιαυτοῦ ἐλθὼν ἑαυτὸν καθάρῃ, ἀναλαμβάνει αὐτά· εἰ δὲ μὴ ὑπακούσῃ μήτε διφενδεύσῃ τὶς αὐτὸν, φισκοῦται μετὰ τὸν ἐνιαυτόν. οὐ δεῖ δὲ τοὺς χρεώστας αὐτοῦ καταβαλεῖν αὐτῷ φεύγοντι.[24]

κγ'. Ἀπὼν τις οὐ καταδικάζεται μεγάλῳ ἐγκλήματι, τυχὸν ἐπάγοντι ποινὴν κεφαλικὴν, ἀλλὰ παραγινομένου[25], ἵνα γνοὺς τοῦτο ἔλθῃ καὶ ἑαυτὸν καθάρῃ. γίνονται δὲ καὶ γράμματα πρὸς τὸν ἄρχοντα τῆς ἐπαρχίας, ἐν ᾗ διάγει ὁ ἀναζητούμενος. ἐὰν εἴσω ἐνιαυτοῦ ἔλθῃ καὶ ἀποθάνῃ, οὐ φισκοῦται ἡ οὐσία αὐτοῦ, ἀλλὰ τοῖς κληρονόμοις ἁρμόζει.[26]

κδ'. Ἐξότε δημοσιευθῇ ἡ τοῦ ἀναζητουμένου παρασημείωσις, ἢ διὰ τοῦ ἐδίκτου ἢ διὰ τῶν εἰρημένων γραμμάτων, καὶ αὐτῷ τρέχει ὁ χρόνος τουτέστιν ὁ ἐνιαυτὸς, καὶ τῷ φίσκῳ τὰ κ'. πρὸς μέντοι τὸ διφενδεῦσαι τὸ ἔγκλημα οὐδενὶ χρόνῳ ὁ ἀναζητούμενος ἐκβάλλεται.[27]

κε'. Ὁ κατακριθεὶς καὶ ἐγκαλεσάμενος, εἰ καὶ ἀποθάνῃ τῆς[28] ἐγκλήτου ἠρτημένης, οὐ δημεύεται, τοῦ γὰρ τοιούτου καὶ ἡ διαθήκη ἔρρωται.[29]

κς'. Οὐ παντὸς τοῦ ἑαυτὸν ἀνελόντος ἡ οὐσία δημεύεται, καὶ γὰρ τοῦ τοιούτου καὶ ἡ διαθήκη ἔρρωται[30], ἀλλὰ τοῦ κατηγορηθέντος ἢ καταληφθέντος ἐν μυσαρᾷ τινι πράξει· καὶ τοῦτο οὐχ ἁπλῶς, ἀλλ' ὅτε ἡ καταδίκη τοῦ ἐγκλήματος, ᾧτινι κατηγορεῖται, τὸν θάνατον .... καὶ διὰ τὸ μῖσος τῆς ζωῆς ἢ διὰ πόνον ἢ νόσον ἢ δι' ἑτέραν αἰτίαν η διὰ τὴν λύπην τοῦ υἱοῦ τοῦτο ποιῶν, οὐ δεμεύεται ἡ οὐσία αὐτοῦ. ὡς βι. μη' τί. κ'[31] διγ. γ'.

κζ'. Ὁ χεῖρας ἐπιβαλὼν χωρὶς αἰτίας καὶ μὴ ἐπιτυχὼν τιμωρεῖται· ὁ γὰρ ἑαυτοῦ καταψηφισάμενος οὐκ ἂν ἑτέρου φείσαιτο.[32]

κη'. Τοῦ ἀνδρὸς μὴ ἐκδικοῦντος τὸν φόνον τῆς γυναικὸς ἡ προὶξ καθ' ὅσον διαφέρει αὐτῷ φισκοῦται. ὡς βι. μθ' τί. ιδ'.[33]

κθ'. Πωλῶν ὁ φίσκος κληρονομιαῖον οὐκ ἐνέχεται ἐπὶ τοῖς νερεδιταρίοις χρέεσιν. τοῦτο δέξαι ἰδικὸν τοῦ φίσκου προνό-

---

[23] Ἐντὸς ἐνιαυτοῦ? [24] Dig. eod. 5 pr. § 1. 2. [25] προγράμματος γινομένου? [26] Dig. eod. 1 § 1. 2. 4. [27] Dig. eod. 4. [28] In hoc verbo G mutilus explicit. [29] Dig. 48, 20, 11 pr. [30] Haec verba καὶ — ἔρρωται ex fine § 25 temere repetita sunt. [31] Lege κα', ubi est dig. 3 pr. — § 5. [32] Dig. ibi. § 6. Emenda ex Bas. 60, 53. [33] Scil. dig. 27.

μιον· ἐπὶ δὲ ἰδιώτου ἐὰν οἱοσδήποτε ἰδιώτης κληρονομιαῖον [πωλήσῃ], οὐ μόνον τοῖς νερεδιταρίοις δανεισταῖς ὑπόκειται, ἀλλὰ καὶ τοῖς ληγαταρίοις καὶ φιδικομισσαρίοις ἐνέχεται.[34]

λ'. Ὁ ἐν φισκαλίᾳ δίκῃ περὶ ἐγκλήματος ἐναγόμενος ἐὰν σπουδάσῃ χρήμασιν ὑποφθεῖραι τὸν δικαστὴν ἢ τὸν ἀντίδικον, πεντακόσια νομίσματα δίδωσι τῷ φίσκῳ.[35]

λα'. Τὰ πράγματα τῶν ὁμήρων ὥσπερ τῶν αἰχμαλώτων ὁ φίσκος λαμβάνει, εἰ μή τι διατίθενται δίκαιον τόδε ἐσχηκότες, ὡς ῥωμαίοις διάγουσιν· οἱ τοιοῦτοι γὰρ διατίθεσθαι δύνανται.[36]

λβ'. Ἐν ταῖς ποιναῖς οὐκ ἔχει ὁ φίσκος προνόμιον εἰς τὸ προτιμηθῆναι τῶν δανειστῶν· αὐτῶν γὰρ τὸ ἴδιον χρέος πληρουμένων ἐκ τῆς τιμῆς τῶν ἐνεχύρων ὁ φίσκος περιττὸν λαμβάνει.[37]

λγ'. Ἐπὶ τῶν τακήτων φιδικομίσσων ἰν ῥὲμ ἁρμόζει τῷ φίσκῳ.[38] τάκητον φιδικόμισσόν ἐστι τὸ μὴ γινωσκόμενον ἀπὸ τῆς ἀναγνώσεως τῆς διαθήκης.

λδ'. Τὰ εἰς περιγραφὴν τοῦ φίσκου ἐκποιούμενα ἢ μὴ κτώμενα, ἐκδίδονται τὰ πράγματα τῷ φίσκῳ καὶ ἄλλα ὅμοια αὐτοῖς.[39]

λε'. Ἐὰν πολλοὶ περιγράφωσι τὸν φίσκον, οὐχ ὡς ἐπὶ τῇ φύρτῃ τὸ πᾶν ἕκαστος χρεωστεῖ, ἀλλὰ πάντες ἀναλόγως τὸ τετραπλοῦν· ὑπὲρ τῶν ἀπόρων οἱ εὔποροι μεθοδεύονται.[40]

λϛ'. Ὁ φισκάλιος χρεώστης καλῶς αἰτεῖ προθεσμίαν ἐπὶ τῷ δυνηθῆναι καταβαλεῖν· καὶ ἐπὶ μὲν τῆς μεγάλης ποσότητος οὐ πλέον τῶν τριῶν μηνῶν δίδοται, ἐπὶ δὲ ἥττονος δύο.[41] — ση. Ἐν τοῖς ἀμφιβόλοις κατὰ τοῦ φίσκου δεῖ ἀποκρίνεσθαι.[42]

λζ'. Ὁ τὸ ἐγχειρισθὲν αὐτῷ λειτούργημα διαφθείρων δημόσιον ὂν ὑπόκειται χρυσοῦ.[43]

λη'. Λαβόντα δερεπεντούνδις ὑπόκειται. δεπορτατίων τυχεῖν ἀπόλλυσιν, οὐ μὴν φυσικὰ δίκαια, οἷον πωλεῖν, ἀγοράζειν, κληρονομίαν λαμβάνειν δωρεάς, μισθοῦν, καταλλάσσειν, δανείζειν, ἐνεχυριάζειν καὶ τὰ ὅμοια.[44]

λθ'. Ἄκουσον δὲ πάλιν γενικοῦ κανόνος· πᾶσα καταδίκη ἀφαιρουμένη ζώνην ὑπόκειται σιωπηρῶς δημεύσει, πλὴν εἰ μὴ

---

[34] Cod. 4, 39, 1. [35] Dig. 49, 14, 34. [36] Dig. ib. 31. 32. [37] Dig. ib. 11. 17. 37. [38] Dig. ib. 43. [39] Dig. ib. 45 pr. [40] Dig. ib. 46 § 9. [41] Dig. ib. 45 § 10. Cf. Synops. X, 3, 24. [42] Dig. ib. 10. [43] Adde ex § sequenti verba priora, ut sit *χρυσίον λαβὼν τῷ δε ῥεπετούνδις ὑπόκειται.* — Dig. 48, 11, 9. [44] Dig. 48, 22, 15 pr.

γυνή ἐστιν· αὕτη γὰρ ἀπὸ ε' αἰτιῶν καὶ μόνον δημεύεται, ὅτε καταδικασθῇ ἐπὶ καθοσιώσει ἢ περὶ ἀνδροκτονίας ἢ πατροκτονίας ἢ γοητείας ἢ φόνου.[45]. — ση. Ὁ καταδικαζόμενος μὴ προελθεῖν τῷ ἑαυτοῦ οἴκῳ οὐ μὴν κεχρῆσθαι τῷ ἑαυτοῦ οἴκῳ καταδικάζεται.[46] — Ὁ ἐλευθερωθεὶς ὑπὸ ἐξορίστου οὐ δύναται ἐπιβῆναι τῇ ῥώμῃ, ὥσπερ οὐδὲ ὁ πάτρων αὐτοῦ.[47]

μ'. Οἱ εἰς νῆσον ἐξοριζόμενοι τοὺς παῖδας αὐτῶν ὑπεξουσίους ἔχουσιν καὶ τὰ λοιπὰ δίκαια.[48]

μα'. Οἱ δεπορτάτοι οὐδὲ κληρονομίαν οὐδὲ ληγάτα οὐδὲ φιδικόμισσα λαμβάνουσιν. καταλιμπάνουσι δὲ αὐτοῖς ἐν διαθήκαις τὰ πρὸς ἀποτροφὴν καὶ τὰς ἄλλας ἀναγκαίας χρείας.[49] καὶ ὁ ἐξόριστος καὶ ὁ δεπορτάτος, ἐὰν ἀποκαταστῶσιν, διαδέχονται τοὺς ἰδίους ἀπελευθέρους.[50] δεπορτάτος δὲ πρὸς καιρὸν οὐκ ἐστὶν, ἀλλὰ διηνεκῶς.[51]

μβ'. Τῶν ὑποκειμένων θανάτῳ ἢ δημεύσει διά τι ἔγκλημα ἡ περιουσία τοῖς κατιοῦσιν ἢ τοῖς ἀνιοῦσιν ἁρμόζει μέχρι τρίτου βαθμοῦ. αἱ γὰρ γαμεταὶ αὐτῶν τὰς ἰδίας προῖκας καὶ τὰς πρὸ γάμου δωρεὰς λαμβάνουσιν· εἰ δὲ ἄπροικοι ὦσι, λήψονται τὸ δ' μέρος τῆς οὐσίας αὐτῶν. ἐὰν δὲ μηδεὶς τῶν εἰρημένων αὐτοῖς ὕπεστι, τότε τῷ φίσκῳ προσκυροῦται. — ση. τοῖς ἐπὶ καθοσιώσει κρινομένοις.[52]

μγ'. Ἐάν τις στρατηγὸς ἢ ἱερεὺς ἔν τινι πόλει ἢ τόπῳ κατὰ κολακείαν τοῦ δήμου γένηται, καταδικάζεται εἰς γ' νομίσματα καὶ ἀτιμοῦται. ὁμοίως καὶ ὁ συστησάμενος καινὸν τέλος τῇ αὐτῇ ποινῇ κατέχεται. καὶ ὁ κατήγορος ἢ ὁ κατηγορούμενος ἀνιὼν εἰς τὸν οἶκον τοῦ δανειστοῦ ἢ τοῦ δικαστοῦ ρ' νομίσματα τῷ φίσκῳ δίδωσιν. ὡς βι. μη' τί. ιδ' διγ. α'.[53]

μδ'. Ὅτι καὶ ἐμπορείας καὶ ἐπιτηδεύσεως καὶ συνηγορίας καὶ τόπου θέας ἀπαγόρευσις καλῶς ἐπάγεται ὡς ἐν τιμωρίᾳ καὶ διηνεκῶς καὶ προσκαίρως. ὡς βι. α' τί. ιβ' διγ.[54]

---

[45] Dig. 48, 20, 1 pr. et dig. 2. [46] Dig. 48, 22, 9. 10. [47] Dig. ib. 13. [48] Dig. 48, 22, 4. [49] Dig. 48, 22, 16. [50] Dig. 48, 23, 1 pr. [51] Dig. 48, 22, 18 § 1. [52] Theod. Nov. 134 c. 35. 36. [53] Scil. § 1. 3. 4. [54] Scil. dig. 1 § 13. — D dimidia pagina in albo relicta a recentiore manu addit nonnulla fragmenta *περὶ δένδρων φανερῶς ἢ λάθρα τμηθέντων* (Dig. 47, 7, 2. 3. 6) et *περὶ ὕβρεων* (Dig. 47, 10, 1 § 9. 10).

ΤΙΤΛΟΣ μβ'.

Περὶ ὕβρεων καὶ ἁμαρτημάτων ἐλευθέρων τε καὶ δούλων.[1]

α'. Γενικῶς μὲν ἡ ὕβρις λέγεται τὸ παράνομον, ἰδικῶς δὲ ἡ καταφρόνησις καὶ ἡ ζημία, ὡς ἐπὶ τοῦ ἀκουιλίου τουτέστι τοῦ διπλοῦ, καὶ ἡ ἀδικία, ὡς ἐπὶ τοῦ ἀδίκως καὶ παρανόμως ψηφισαμένου.[2]

β'. Ἡ ὕβρις ἢ ἐν λόγῳ ἢ ἔργῳ γίνεται· καὶ εἰς σῶμα καὶ εἰς ἀξίαν· εἰς σῶμα ὡς ἐπὶ τοῦ πληγέντος, εἰς ἀξίαν ὡς ὅταν ὁ ἀκολουθῶν τὴν οἰκοδεσποίνην ἀφέληται, εἰς ἀτιμίαν ὅταν ἀποπειρᾶται τῆς σωφροσύνης.[3]

γ'. Εἰ δὲ καί τις βουλόμενος τὸν υἱὸν αὐτοῦ πωλῆσαι, αὐτῷ μὲν οὐχ ἁρμόζει ἡ ὕβρις, ὕβρις γὰρ οὐκ ἔστιν ἐν γένει πρὸς τὸν γινόμενον, ἀλλ' εἰς τὸν μὴ βουλόμενον τουτέστιν ἐμοὶ ἁρμόζει.[4]

δ'. Καὶ ἐν τῇ ταφῇ ἡ τῶν λειψάνων ὕβρις τῷ κληρονόμῳ γίνεται ὕβρις. τῆς γὰρ γυναικός μου ὑβρισθείσης καὶ αὐτὴ καὶ ὁ πατὴρ αὐτῆς κἀγὼ ἔχομεν τὴν ἀγωγήν.[5]

ε'. Ὁ κωλυόμενος ἐν θαλάσσῃ πλεῦσαι ἢ ἐν δημοσίῳ κάμπῳ γυμνάσασθαι ἢ ἐν δημοσίῳ λουτρῷ λούσασθαι ἢ ἐν θεάτροις θεωρῆσαι ἢ παῖξαι τὴν ἐνιουριάρουμ ἔχει.[6]

ϛ'. Ἐὰν παίζων ἢ ἀγωνιζόμενος κρούσῃς τινά, οὐκ ἔχεις τὴν ὕβριν, οὔτε μὴν ὁ τὸν ἐλεύθερον ὡς δοῦλον τύπτων.[7]

ζ'. Ἐὰν πολλοὶ δοῦλοί μου ὑβρίσωσιν, ὑπὲρ ἑκάστου ἐνάγομαι, καὶ οὐχὶ ὡς περὶ ἑνὸς ἐλευθέρου ὡς ἐπὶ τῆς κλοπῆς.[8]

η'. Ὁ πάτρων φραγγελίῳ τύπτων τὸν ἀπελεύθερον τὴν περὶ ὕβρεως ἐνάγεται.[9]

θ'. Σκαιῶν ὕβρεων ἁμαρτηθέντων χρὴ τὸν ἄρχοντα ἐποπτεύειν τὰς πληγάς.[10]

ι'. Ὅτι ὁ ἐλεύθερος μὲν ὑβρίζων εἰς χρήματα καταδικάζεται, ὁ δὲ οἰκέτης μαστιγοῦται.[11] — ση. Ἡ ὕβρις κατὰ πάτρωνος οὐ δίδοται.[12] — ση. Ἡ ὕβρις εἰς τοὺς κληρονόμους τοῦ

---

[1] F addit: *ἀνάγν. βι. μζ' τί. ι'. ια' τῶν διγέστων.* [2] Dig. 47, 10, 1 pr. [3] Dig. ib. § 1. 2. [4] Dig. ib. § 5. [5] Dig. ib. § 6. 9. [6] F *βι. μγ' τί. η'.* Recte: scil. dig. 2 § 9. [7] Dig. 47, 10, 3 § 3. 4. [8] Dig. ib. 34. Vide etiam Dig. 2, 1, 9. [9] F *ὡς βι. β' τί. δ' διγ. γ'.* Est autem dig. 10 § 12. [10] Dig. 47, 10, 15 § 39. [11] Cf. Dig. 47, 10, 9 § 3. [12] Cf. Dig. ib. 7 § 2.

ὑβρισθέντος οὐ διαβαίνει προκατάρξεως μὴ γενομένης. οὐδὲ κληρονόμοις οὐδὲ κατὰ κληρονόμων δίδοται ὕβρις.[13]

ια΄. Τὸ κατὰ θερμότητα ἢ ὀργὴν λεγόμενον οὐκ ἔστι βέβαιον, εἰ μὴ λογισμὸς ἐπιβαίνων αὐτὸ βεβαιώσει.[14]

ιβ΄. Ὁ μείζω τοῦ ὡρισμένου τιμωρίαν ὑποστὰς[15] ἐπὶ ἀτιμοποιῷ ἀγωγῇ οὐκ ἀτιμοῦται. αἱ γὰρ πληγαὶ μείζονές εἰσι τῆς χρηματικῆς καταδίκης.[16] — Ἐπὶ τῆς ὕβρεως τὴν καταφρόνησιν δηλοῖ οὐ τὴν ἀδικίαν. καὶ ὅτι διατίμησις γίνεται ὕβρεως. ὡς βι. θ΄ τί. β΄ διγ. ε΄.[17]

ιγ΄. Ἡ ὕβρις τῇ συγχωρήσει τοῦ ὑβρισθέντος σβέννυται[18], κἂν ἐλάττων ὑπάρχῃ καὶ συνεχώρησε τῷ ὑβρισθέντι.

ιδ΄. Δούλου πληγέντος πρὸς τῇ ὕβρει καὶ ὁ ἀκουίλιος κινεῖται.[19]

ιε΄. Ὁ τὸν ἀλλότριον δοῦλον παρὰ τοὺς ἀγαθοὺς τρόπους μαστίζων ἢ ἀγνοοῦντος τοῦ δεσπότου ἐξετάζων ὑπόκειται τῇ ὕβρει.[20]

ις΄. Ἀτιμωρητὶ τύπτουσι διδάσκαλοι μαθητὰς καὶ πατέρες τέκνα. κἂν σφοδρότερον τύψωσιν οἱ διδάσκαλοι οὐκ ἀτιμοῦνται· ἐπειδὴ οὐχ ὡς ὑβρίζων τύπτει, ἀλλ᾽ ὡς διδάσκων.[21]

ιζ΄. Ἐὰν λείψανον ἢ ὀστέα τεθέντα ἐν τῷ ἐμῷ τόπῳ παρὰ γνώμην ῥίψω ἢ ἀνασκάψω χωρὶς βασιλικῆς κελεύσεως, τῇ ὕβρει ἐνάγομαι ὡς ὑβρίζων τὸν τεθνεῶτα. ὡς βι. ια΄ τί. ζ΄.[22]

ιη΄. Ὁμοίως καὶ ὁ τὴν παρακατατεθεῖσαν αὐτῷ διαθήκην ἐπὶ ὕβριν τοῦ παραθεμένου ἀφανίζων ἢ παρόντων ἐπὶ τούτων[23] ἀναγινώσκων ἐπὶ τῷ διαλυθῆναι τὴν βούλησιν [τοῦ] διατιθεμένου τὴν ἰνιουριάρουμ ἐνάγεται. ὡς βι. ις΄ διγ. α΄[24] τί. γ΄.

ιθ΄. **Περὶ ἁμαρτημάτων.** Ἐπὶ τῶν τραχέων ὕβρεων ἔξεστι τῷ ἀπελευθέρῳ κατὰ τοῦ πάτρωνος κινῆσαι τὴν ἰνιουριάρουμ.[25]

κ΄. Τοὺς μηδὲν ἡμαρτηκότας παῖδας τὰ τῶν πατέρων ἁμαρτήματα οὐ καταβλάπτει.[26]

κα΄. Εἰ καὶ ἀγνοεῖ ὁ δεσπότης ἡμαρτηκέναι τὸν δοῦλον κατ᾽ αὐτοῦ οὐ συγγινώσκεται εἰς τὸ δυνηθῆναι κινῆσαι κατ᾽

---

[13] Dig. 47, 10, 13 pr. [14] Dig. 50, 17, 48. [15] Ita F. DV ἐπιστάς. [16] F βι. μθ΄ (lege μη΄) τί. ιθ΄ διγ. ι΄ (§ 2) βι. ν΄ τί. α΄ διγ. ιδ΄ (nobis dig. 15 pr.). [17] Scil. § 1. [18] Dig. 47, 10, 17 § 6. [19] F ὡς βι. μα΄ (lege μζ΄) τί. ι΄ διγ. ζ΄ (scil. § 1). [20] Dig. 47, 10, 15 § 34. [21] Dig. 9, 2, 5 § 3. [22] Scil. dig. 8 pr. [23] ἐνίων? [24] Scil. § 38. [25] Dig. 47, 10, 7 § 2. [26] Dig. 48, 19, 26.

αὐτοῦ μετὰ ἐλευθερίαν περὶ ὧν ἥμαρτεν ἐν δουλείᾳ. ὡς βι. ζ'.[27] τί. δ'.

κβ'. Αἱ ἐξ ἁμαρτημάτων ποεναλίαι τῇ τελευτῇ τῶν ἡμαρτηκότων σβέννυνται, ἡ δὲ ἰνιουριάρουμ καὶ τῷ θανάτῳ τοῦ ὑβρισθέντος ἀπόλλυται· ἑκάτερον δὲ πρὸ κατάρξεως. ὡς βι. λε' τί. β'. διγ. β'.[28]

κγ'. Ἀπὸ τῶν [ἐν] ὑπεξουσιότητι ἁμαρτηθέντων κἂν ἐνμαγκιπάτοι εἰσὶν αὐτεξούσιοι κἂν ἐξερεδάτοι γίνονται οἱ παῖδες, εἰς ὁλόκληρον ἐνάγονται.

κδ'. Ἐπὶ τῶν ἁμαρτημάτων οἱ ἐλεύθεροι ὑπεξούσιοι αὐτοὶ ὑπὲρ αὑτῶν ἐνάγονται καὶ ἑαυτοῖς διφενδεύουσι. ὡς βι. θ' τί. δ' διγ. μ'.[29]

κε'. Τὰ ἐγκλήματα τῇ τῶν ἁμαρτησάντων τελευτῇ σβέννυνται, τὰ δὲ ἐκ τῶν ἁμαρτιῶν κέρδη οἱ κληρονόμοι ἀπαιτοῦνται. ὡς βι. γ' τί. ϛ' διγ. ε'.[30]

κϛ'. Γυνὴ ἀπατηθεῖσα καὶ κεκωλυμένον γάμον γαμηθεῖσα ἁμαρτάνει μέν, συγγινώσκεται δέ. — ση. τοῦτο δοκεῖ λέγειν· ἡ τὸν ἐπίτροπον ἀγομένη.[31]

κζ'. Ὁ τὸν βλαπτικὸν ἀτιμάσας ἤγουν φανερώσας οὐ καταδικάζεται· συμφέρει γὰρ τὰ τῶν βλαπτικῶν ἁμαρτήματα φανεροῦσθαι. ὡς βι. μζ' τί. ι'.[32] ἐπὶ τῶν ἁμαρτημάτων ἐξέστω δὲ κατὰ τρόπους ταῦτα ἑπτὰ ἀπὸ τῆς αἰτίας ἀπὸ προσώπου.[33]

κη'. Οὐχ ὑφίσταται σπῖλον ὁ υἱὸς ἀπὸ πατρῴου ἐγκλήματος ἢ ποινῆς.[34]

κθ'. Οὐδ' ἕτερός τις ἐξ ἁμαρτήματος ἑτέρου.[35]

λ'. Εἰς τὰ μέτρια ἁμαρτήματα συγγινώσκονται οἱ δοῦλοι ὑπουργοῦντες τοῖς δεσπόταις, ἐπὶ δὲ φόνου οὐ συγγινώσκονται. ὡς βι. μγ' τί. κδ' διγ. α'.[36]

λα'. Ἐν τοῖς ἁμαρτήμασιν ἡ βούλησις σκοπεῖται, οὐχὶ ἡ ἀπόβασις.[37]

λβ'. Μετάμελος οὐκ ἐλευθεροῖ τὸν ἁμαρτήσαντα. ὡς βι. μ[ζ]' τί. [β'] διγ. ξα'.[38]

λγ'. Τὸν ἐν εἰδήσει μου ἁμαρτάνοντα δοῦλον οὐ δύναμαι ἐκδιδόναι εἰς νόξαν, ἀλλ' εἰς θεραπείαν τῆς ζημίας πάντως τὰ

---

[27] Lege μζ'. Est enim Dig. 47, 4, 2. [28] Lege λβ'. Est dig. 32 pr. [29] dig. 34. [30] Scil. pr. [31] F addit ὡς βι. λ' διγ. κθ' (ρκθ'? nobis dig. 128). [32] Scil. dig. 18 pr. [33] Dig. 48, 19, 16 § 1. [34] Dig. 48, 19, 26. [35] Dig. ibid. [36] Lege ια'. Est dig. 11 § 7. [37] Dig. 48, 8, 14. [38] Nobis dig. 65.

ἀργύρια ἀπαιτοῦμαι.[39] — ση. Ὁμοίως καὶ ὑπὲρ τοῦ δούλου τοῦ δούλου μου.

λδ'. Οἱ δοῦλοι ἐν δημοσίᾳ αἰτίᾳ οὐκ ἀπολιμπάνονται.[40] καὶ οὔτε ἐνάγειν οὔτε ἐναχθῆναι δύνανται, ἐπειδὴ οὐδὲ πρὸς τὴν τοῦ πραίτορος νομοθεσίαν ἔχουσί τινα μετουσίαν οἱ δοῦλοι, οὐδὲ κατὰ τὴν δικαιοδοσίαν τοῦ πραίτορος δύναται γενέσθαι ἐνοχή.[41] — Ὁ πρώτως τύπτων καὶ ἀντιτυφθεὶς σφοδρότερον οὐ δύναται ἐγκαλεῖν.[42] ὡς βι. μη' τί. γ' διγ. γ'. — ση. Καὶ τὸ εἰς φυλακὴν βληθῆναι ποινή ἐστιν.[43]

λε'. Ἐὰν πολλοὶ ἀπὸ τοῦ αὐτοῦ ἁμαρτήματος χρεωστοῦσιν, εἰ μὲν ἓν ἐνομίζετο εἶναι τὸ ἁμάρτημα, ὡς ἐπὶ τῆς κλοπῆς, εἷς καταβάλλων ἐλευθεροῖ τοὺς ἄλλους· εἰ δὲ πολλὰ νομίζεται εἶναι τὰ ἁμαρτήματα, ὡς ἐπὶ τῆς ἰνιουριάρουμ καὶ τοῦ ἀκουϊλίου, καταβαλὼν ὁ εἷς οὐκ ἐλευθεροῖ τοὺς ἄλλους.[44]

λϛ', Οὐδεὶς ὑπὲρ ψιλῆς ἐννοίας ὑφίσταται ποινήν. καὶ πάλιν· ἡ ποινὴ τοῦ καταδικασθέντος οὐχ ἁρμόζει κατὰ τῶν αὐτοῦ κληρονόμων.[45]

λζ'. Οἱ χρονίσαντες ἐν τῷ ἐγκλήματι ἐλαφρότερον τιμωροῦνται τοῦ παραχρῆμα καταδικαζομένου.[46]

λη'. Οὐδεὶς ἐπὶ τὸ κατακρημνισθῆναι καταδικάζεται.[47]

λθ'. Οὐ χρὴ τοὺς οἰκέτας πείθεσθαι τοῖς δεσπόταις ἐπιτάττουσιν αὐτοῖς ἁμαρτάνειν. ἀλλ' ἔνθα μηδὲν τραχὺ μηδὲ μίσους ἄξιον ἁμαρτάνουσιν οἱ δοῦλοι, κελευόμενοι παρὰ τῶν δεσποτῶν ἢ τοῦ δεσπότου τάξιν ἐχόντων συγγινώσκονται.[48] — ση. Ὅτε βοηθῶν τῷ δεσπότῃ ἐποίησε τοῦτο οὐκ ἔστιν ὑπὸ μέμψιν, ἀλλὰ καὶ παραγραφὴ ἀντίκειται τῷ κινοῦντι.[49]

μ'. Ἔνθα ἥμαρτον οἱ οἰκέται, ἐκεῖ χρὴ διφενδεύεσθαι αὐτοὺς ὑπὸ τῶν δεσποτῶν καὶ ἐκεῖ παρίστασθαι.[50]

μα'. Δύναται ὁ οἰκέτης ἐξαιτεῖν τὸν ἄρχοντα διασκοπῆσαι τῇ χαλεπότητι τοῦ δεσπότου ἐὰν λιμῷ συνθλίβῃ ἢ πρὸς αἰσχρότητα συνωθῇ αὐτόν· ἐπειδὴ ἀναγκάζεται πωλῆσαι αὐτὸν ἐπὶ ὅρῳ τοῦ μηδέποτε κτήσασθαι αὐτόν. — ση. Ὅτι οὐκ ἔξεστι τῷ δεσπότῃ ἀμέτρως χαλεπαίνειν κατὰ τοῦ ἰδίου δούλου χωρὶς

---

[39] Cf. Dig. 2, 7, 1 § 1. [40] Dig. 50, 17, 211. [41] Dig. 48, 10, 7. 4, 5, 7 § 2. — Vide infra tit. 43 § 27, ubi rectius: *δοῦλος δύν. γεν. ἔνοχος.* [42] Dig. 9, 2, 52 § 1. [43] F addit: *Ἐν ταῖς ποιναῖς ἡ μέθη πόσεως συγγινώσκεται. ὡς βι. β' τί. ζ' διγ. ε'.* (Locus citatus potius ad § 33 pertinet.) [44] Cf. Dig. 2, 1, 9. [45] Dig. 48, 19, 18. 20. [46] Dig. ib. 25 pr. [47] Dig. l. l. § 1. [48] Dig. 50, 17, 157 pr. [49] Dig. 47, 10, 17 § 8. [50] F addit *βι. μη' τί. β' διγ. ζ'* (scil. § 4). Cf. etiam Dig. 9, 4, 43.

αἰτίας ἐννόμου διεγνωσμένης.[51] — *σχόλ. Ἐπὶ τῆς βίας καὶ δεσπότης καλῶς ἐμποδίζεται.*

μβ'. Ἐναγόμενος τὴν νοξαλίαν ὁ δεσπότης ἢ τὴν διατίμησιν τοῦ ἐπιζητουμένου πράγματος ἢ τὸν οἰκέτην ἐκδίδωσιν. ἐὰν δὲ πολλοὶ οἰκέται τὸ αὐτὸ ἁμαρτάνουσιν εἰς κλοπὴν, τοσοῦτον ὑπὲρ ὅλων δίδοται τῶν οἰκετῶν ὅσον εἷς ἐλεύθερος κλέψας παρέχει, ἐὰν τὸ ἁμάρτημα ἠγνόει ὁ δεσπότης· εἰ γὰρ ἠπίστατο, ὑπὲρ ἑκάστου οἰκέτου ἐνάγεται καὶ οὐ δίδωσι μίαν ποινήν.[52]

μγ'. Ἐάν τις θέλῃ κινῆσαι νοξαλίαν καὶ εἰ αὐτὸ τὸ σῶμα τοῦ ἡμαρτηκότος ἀγνοεῖ οἰκέτου ἢ τὴν προσηγορίαν αὐτοῦ, χρὴ παραγενέσθαι αὐτῷ πάντας τοὺς οἰκέτας τοῦ ἐναγομένου καὶ ἀναγραφὴν δίδοσθαι τῶν ὀνομάτων αὐτῶν.[53] *τὸ αὐτὸ καὶ ἐπὶ τοῦ κοινοῦ οἰκέτου δεσπότης ἐνάγεται.*

μδ'. Ὁ τὸν ἡμαρτηκέναι λεγόμενον δοῦλον ἐκδιδοὺς εἰς βασάνους οὐ δύναται διατιμᾶσθαι, ἵνα εἰ μὲν ἀθῶος εὑρεθῇ, ἀναλάβῃ αὐτὸν ἢ τὸ διατίμημα ἀναδίδωσιν αὐτῷ.[54]

με'. Ὁ τὸν δοῦλον τοῦ κατηγορουμένου[55] *περὶ μοιχείας ἐξαιτήσας βασανισθῆναι, ἐὰν ἀθῶος εὑρεθῇ, τὸ τίμημα τοῦ βασανισθέντος ἀπαιτεῖ ὁ δεσπότης εἰς τὸ διπλάσιον.*[56]

μς'. Ὁ ἀπρομήθευτον ἐάσας τὸν ἑαυτοῦ δοῦλον ἐκπίπτει τῆς ἐπ' αὐτῷ δεσποτείας.[57]

μζ'. Δοῦλος ἴδια χρήματα ἔχειν οὐ δύναται. ὅθεν ὁ ἀγορασθεὶς ἐκ τῶν ἐμῶν χρημάτων προσφέρων μοι τὸ τίμημα καὶ ἀξιῶν ἐλευθερωθῆναι οὐκ ἀκουσθήσεται.[58]

μη'. Ὑπὲρ τοῦ βικαρίου[59] *οὐχ ὁ ὀρδινάριος ἐνέχεται, ἀλλ' ὁ δεσπότης.*[60]

μθ'. Ὁ ἐπὶ τὸ φυγεῖν τὸν πεπεδημένον οἰκέτην τὰ δεσμὰ αὐτοῦ λύων κλοπὴν ἁμαρτάνει. ὡς βι. δ' τί. δ'[61] *διγ. ζ'.*

ν'. Καὶ δοῦλοι καὶ ἐλεύθεροι, ἔνθα ἥμαρτον, ἐκεῖ καὶ παραπέμπονται. ὡς βι. μη' τί. β' διγ. ζ'.[62]

να'. Ὁ αὐθαιρέτως ὁμολογήσας περὶ ἁμαρτήματος εὐχερῶς οὐ πιστεύεται. πολλάκις γὰρ ἢ φόβῳ ἢ ἑτέρᾳ αἰτίᾳ καθ' ἑαυτὸν βλάπτεται.[63] *ὅθεν [ἐὰν] δοῦλος φοβούμενος τὸ ὑποστρέψαι πρὸς τὸν δεσπότην βλαπτῶς*[64] *καθ' αὐτοῦ εἴπῃ, καὶ μετὰ κατα-*

[51] Cf. Theoph. 1, 8, 2. [52] Dig. 47, 6, 1 pr. § 1. [53] Dig. 10, 4, 3 § 7. [54] Cf. Dig. 48, 18, 3. [55] *τὸν κατηγορούμενον*? [56] Dig. 48, 5, 27 pr. [57] Theod. Nov. 22 § 11. Cf. Basil. 43, 3, 36. [58] Dig. 40, 1, 4 § 1. 2. [59] V addit *ὁ δοῦλος τοῦ δούλου.* [60] Cf. Dig. 15, 1, 23. [61] Lege *γ'*, ubi est dig. 7 § 7. [62] Scil. § 4. [63] Lege *πλάττεται.* [64] Lege *πλαστῶς.*

δίκην τῆς ἀληθείας γινωσκομένης ἐλευθεροῦται τῆς ποινῆς, καὶ διὰ τῆς τάξεως πιπράσκεται ἐφ' ᾧ μὴ ὑποστρέψαι πρὸς τὸν δεσπότην, καὶ τὸ τίμημα δίδοται τῷ δεσπότῃ.[65]

νβ'. Ὁ τῶν πολλῶν δοῦλος κατ' οὐδενὸς αὐτῶν βασανίζεται. καὶ ἐπὶ τῶν ἰγκέστων γάμων δοῦλοι κατὰ δεσποτῶν [οὐ] βασανίζονται.[66]

νγ'. Ἐὰν ὁ δεσπότης ἐπὶ τὸ βασανισθῆναι προσάγῃ τὸν δοῦλον, ἐὰν πρὸ δίκης καὶ δοκιμασίας τινὸς βασανισθῇ, οὐκ ἀκούεται. ὡς βι. μζ' τί. ι' διγ. ιζ'.[67]

νδ'. Προσώπου καὶ πράγματος δεῖ γενέσθαι τὴν ἐμβάσανον ζήτησιν, ἀλλὰ καὶ ὅτε τὰ προσωπικὰ καὶ τραχέα ἄλλως οὐ δύνανται δεῖξαι.[68]

νε'. Καὶ ἐπὶ τῶν χρηματικῶν αἰτιῶν ἐν ἀπορίᾳ ἀποδείξεων βασανίζονται οἱ δοῦλοι.[69] καὶ πάντες οἱ καλούμενοι πρὸς μαρτυρίαν ἐν τῇ πρὸς βασιλέα φερομένῃ καθοσιώσει.[70] — ση. Δοῦλος κατὰ υἱοῦ [71] οὔτε κατὰ πατρὸς υἱὸς βασανίζεται. οὐχ ὅσους θέλει βασάνους ὁ κατήγορος ἐπιφέρειν δεῖ, ἀλλ' ὅσας ἡ χρεία ἀπαιτεῖ.[72]

νς'. Οὔτε τὴν ἀρχὴν τῶν ἀποδείξεων ἀπὸ τοῦ οἴκου τοῦ ῥέου λαμβάνει καὶ ἐπιζητεῖ ἀπελευθέρους ἢ δούλους αὐτοῦ πρὸς μαρτυρίαν. καὶ ἀπὸ τῆς φωνῆς καὶ ἀπὸ τῆς ἐνστάσεως καὶ τῆς ἐν τῇ πόλει τοῦ ἐρωτωμένου προλήψεως ἡ ἀλήθεια καταλαμβάνεται. τὸν περὶ τῆς οἰκείας καταστάσεως ἀγωνιζόμενον ἐν τῇ περὶ αὐτῆς ζητήσει οὐ δεῖ βασανίζεσθαι. καὶ ὁ ἀναδοθεὶς παρὰ τοῦ ἀγοραστοῦ οὐ βασανίζεται κατ' αὐτοῦ.[73]

νζ'. Ἐάν τις διὰ τὸ [μὴ] βασανισθῆναι ἑαυτὸν ἐλεύθερον λέγῃ, οὐ βασανίζεται ἕως ὅτου περὶ τῆς ἐλευθερίας σκοπηθῇ.[74]

νη'. Ὁ φυγὰς λέγων ἑαυτὸν ἐλεύθερον ἐκεῖ ἐνάγεται ὅπου τὸ πρῴην ἐδούλευσεν τουτέστιν ὅθεν ἔφυγεν. ὡς βι. γ' τί. κβ' διατ. α' τοῦ κώδ. καὶ ἡ δ' διάτ. τοῦ παρόντος [τί.]· ὡς δοῦλος ἀναβοῶν εἰς ἐλευθερίαν ἐν τῷ φόρῳ τοῦ λεγομένου αὐτοῦ δεσπότου καταδικάζεται· πλὴν ἴσθι ὡς δηλοῖ ἡ γ' διάτ. τοῦ αὐτοῦ τί. ὅτι ὁ θέλων καταδουλῶσαι ἐλεύθερον ἐν τῷ φόρῳ ἐκείνου καταδικάζεται. — ση. Ὁ ἐναγόμενος περὶ τύχης εἰ μὲν ἐν νομῇ δουλείας ἐστὶν, αὐτὸς βαρεῖται τῇ ἀποδείξει ὅτι εὐγε-

---

[65] Dig. 48, 18, 1 § 27. [66] Dig. 48, 18, 3. 4. [67] Scil. § 6. [68] Dig. 48, 18, 8 pr. [69] Dig. 48, 18, 9 pr. [70] Dig. ib. 10 § 1. [71] Ita E. F Δοῦλος κατὰ αὐθέντου. — Legendum Δοῦλος οὔτε υἱοῦ κατὰ πατρὸς οὔτε πατρὸς κατὰ υἱοῦ βασ. [72] Dig. ib. § 2. 3. [73] Dig. eod. 10 § 4—6 et dig. 11. [74] Dig. eod. 12.

νής ἐστιν. εἰ δὲ ἐν νομῇ ἐλευθερίας ἐστὶν, τότε ὁ ἐνάγων ὀφείλει δεῖξαι ὅτι δοῦλός ἐστιν.[75] — σχόλ. Ἐὰν ὑποδεξάμενης τὸν φυγάδα δοῦλον λέγῃ αὐτὸν ἴδιον δοῦλον, ὀφείλει ὁ οἰκέτης βασανίζεσθαι καὶ εἰπεῖν τὸ ἀληθές.[76]

νθ΄. Ὁ μέλλων ἐλευθεροῦσθαι ἐν τῷ περὶ μοιχείας καλῶς βασανίζεται.[77] καὶ ὅτε περὶ πλαστῆς διαθήκης ζητεῖται, καὶ ὁ κληρονομιαῖος δοῦλος βασανίζεται.[78]

ξ΄. Τότε γὰρ οἱ δοῦλοι βασανίζονται ὅτε καὶ ὕποπτός ἐστιν ὁ ῥέος καὶ εἰσὶ τεκμήρια, ὥστε μόνον τὴν τῶν δούλων ἐκλείπειν κατάθεσιν. πρῶτοι δὲ βασανίζονται οἱ ὕποπτοι, δι᾿ ὧν δύναται γνωσθῆναι τὸ ἀληθές. οὐ δεῖ φέρεσθαι δέ τινας ἀπὸ τοῦ οἴκου τοῦ κατηγόρου πρὸς ζήτησιν. ὡς βι. μη΄ τί. μη΄ διγ. α΄.[79]

ξα΄. Ὁ τοῦ κληρονόμου δοῦλος οὐ βασανίζεται διὰ πρᾶγμα κληρονομιαῖον, εἰ καὶ εἰκονικῶς αὐτὸ ἠγόρακεν.[80] ὁ δὲ τοῦ ἀνδρὸς δοῦλος βασανίζεται κατὰ τῆς γυναικός. καὶ οἱ δοῦλοι τοῦ καταδικασθέντος βασανίζονται κατ᾿ αὐτοῦ· ἐπαύσαντο γὰρ αὐτοῦ εἶναι.[81]

ξβ΄. Οὐ δεῖ τοὺς δούλους τοὺς λεγομένους συγκλέψαι τῷ δεσπότῃ βασανίζεσθαι κατ᾿ αὐτοῦ, οὔτε λέγοντας ἑκουσίως βλάπτειν αὐτόν.[82]

ξγ΄. Ἐάν τις ἐπὶ τὸ γενέσθαι ζημίαν ὠθήσῃ τὸν δοῦλόν μου καὶ θορύβου γενομένου ἀπολέσῃ τὶ ὁ δοῦλος, ἐνέχεταί μοι ὁ ὠθήσας.[83]

ξδ΄. Οὐ δεῖ τοὺς δούλους κατὰ τῶν δεσποτῶν βασανίζεσθαι. εἰ δὲ καὶ βασανισθῶσι, οὐ δεῖ τοῖς παρ᾿ αὐτῶν ἀκολουθεῖν τὸν δικαστήν. πολλῷ δὲ πλέον οὔτε τοῖς τεκμηρίοις αὐτῶν.[84]

ξε΄. Ὁσάκις ὑποδέξεται δοῦλον φυγάδα τὶς παραγνώμην τοῦ δεσπότου αὐτοῦ, τοσαυτάκις ἀναγκάζεται αὐτὸν ἀποδοῦναι μετὰ καὶ ἄλλου ὁμοίου οἰκέτου ἢ μετὰ κ΄ νομισμάτων.[85]

ξς΄. Ὁ ἄρχων τῇ σέρβι κορύπτῃ δικάζων ἐὰν εὕρῃ τίμιον οἰκέτην φθαρέντα ἢ κόρην διαπαρθενευθεῖσαν ἤ τινα ϛροῦπτον ὑπομείναντα, καὶ ὑπὲρ τὴν φύσιν τῆς ἀγούσης τιμωρίαν ἐπάγει.[86]

ξζ΄. Ἐὰν βλαβῇ σῶμα ἐλεύθερον, ἡ καταδίκη γένηται εἰς τὴν δαπάνην τῆς ἰατρείας καὶ τὴν ἀπώλειαν τῆς ἐργασίας, οὐ

[75] Theod. Cod. 4, 19, 5. [76] Cod. 6, 1, 6. [77] Dig. 48, 18, 8 § 1. [78] Dig. eod. 6 § 1. [79] Scil. § 1—3. [80] Dig. eod. § 6. [81] Dig. eod. § 11. 12. [82] Dig. 48, 18, 1 § 5. [83] Dig. 47, 8, 4 § 13. [84] Dig. 48, 18, 1 § 16. [85] Theod. Cod. 6, 1, 4. [86] Dig. 1, 18, 21.

μὴν τῆς ἀμορφίας· σῶμα γὰρ ἐλεύθερον οὐ διατιμᾶται. ὁ δὲ σῶμα δούλου βλάψας ἀπαιτεῖται πρὸς τοῖς εἰρημένοις καὶ εἴ τι ἐλαττώθη.[87]

ξη΄. Ὁ παρθένον δούλην[88] ἄνακμον φθείρας τῷ ἀκουϊλίῳ ἐνάγεται.[89]

ξθ΄. Καὶ ἐὰν δοῦλος ἀλλοτρίᾳ δούλῃ συναφθῇ, τῇ ἰδίᾳ τύχῃ ἀναδίδοται. ὑπέξελε τὸν πολιτικὸν δοῦλον, ὅτι ἂν τέχνης μετέχῃ, ἀναδίδοται σὺν τῇ γυναικὶ καὶ τοῖς τέκνοις αὐτοῦ.[90] — σῃ. Ἐάν τις νομίσας ἐλευθέραν εἶναι τὴν ἐμὴν δούλην προικῷα ὑπὲρ αὐτῆς ἐπιδῷ ὡς δωρούμενος αὐτῇ, ἐγὼ γίνομαι τῶν δεδομένων δεσπότης καὶ αὐτῆς.[91]

ο΄. Εἰ καὶ δούλην τὶς διαπαρθενεύσῃ ἢ εἰς δοῦλον στροῦπτον ἁμαρτάνει διὸ ὁ οἰκέτης χαλεπωτάτῃ ὑπόκειται τιμωρίᾳ· ὅτι μὴ εἰς μόνην ζημίαν ὁ τοῦ ἀνδραπόδου δεσπότης, ἀλλὰ περὶ παντὸς τοῦ οἴκου αὐτοῦ.[92]

οα΄. Ὁ τὴν ἀλλοτρίαν θεράπαιναν ἡδονῆς ἕνεκεν πόρνην οὖσαν ἀποκρύπτων οὐκ ἐνάγεται κλοπῇ· εἰ δὲ μή ἐστι πόρνη, ὑποπίπτει.[93]

οβ΄. Ὁ τὸν οἰκέτην μου τὸν ὄντα ἐν φρουρᾷ τὸν φυγάδα ὡς ἴδιον λαβὼν καὶ ἀπαιτήσας τὸν ἄρχοντα πλαγιάριος καλεῖται.[94]

ογ΄. Ἀπὸ δόλου καὶ ἁμαρτήματος ἐν δουλείᾳ ἁμαρτηθέντος ἐνάγονται καὶ μετὰ ἐλευθερίαν οἱ οἰκέται. — σῃ. Τοῦτο νόει ἐπὶ ἐξωτικοῦ. ἐπὶ δὲ τοῦ πάτρωνος, ἐὰν μετὰ τὴν ἐλευθερίαν ἐπέμεινεν ἐν ταῖς αὐταῖς διοικήσεσιν, ἀπαιτεῖται τοὺς λόγους τῆς διοικήσεως· εἰ δὲ ἔφυγε μετὰ τὴν ἐλευθερίαν τὴν διοίκησιν, οὐκ ἀπαιτεῖται τοὺς λόγους ἐν δουλείᾳ ἁμαρτηθέντας.[95]

οδ΄. Βδελυκτόν ἐστι τὸ ἀνασχέσθαι πραθῆναι ἢ τέχνην ἐπιτηδεῦσαι παιγνικήν.[96] μάλιστα ἐπὶ στρατιώτου αὔξεται ἡ τιμωρία σκοπούντων ἡμῶν τὰς ἀξίας καὶ τοὺς βαθμούς.[97] ἐπὶ γὰρ παγανικῶν τὸ ἀνάπαλιν. ὁμοίως καὶ ὁ προπετής. οἱ ὀλισθηρὰν γλῶσσαν ἔχοντες ἄξιοι μέν εἰσι ποινῆς, ὅμως ὡς ἀνοήτων φειδόμεθα, καὶ οὐ χρὴ ἑτοίμως τὸ τῆς γλώττης ὀλισθηρὸν τιμωρεῖσθαι, εἰ μὴ μέγα ἐντεῦθεν τὸ ἁμάρτημα. ὡς βι. μη΄ τί. δ΄ διγ. ζ΄.[98]

---

[87] Dig. 9, 1, 3. [88] V κόρην. [89] Dig. 47, 10, 25. [90] Cod. 6, 1, 8. [91] Dig. 23, 3, 59 § 2. [92] Dig. 1, 18, 21. [93] Dig. 47, 2, 39. Cf. etiam ibid. 82 § 2. [94] Dig. 47, 2, 52 § 12. [95] Dig. 3, 5, 17. [96] Dig. 48, 19, 14. [97] Dig. 49, 16, 2 § 1. [98] Scil. § 3.

οε'. Ἀεὶ τὸ γῆρας σεβάσμιον ἐνομίσθη καὶ πάσης τιμῆς ἄξιον, ὡς βι. ν' τί. β' διγ. ια'.[99]

ος'. Ὁ μείζων τῶν ο' ἐτῶν καὶ ὁ ι' παίδων πατὴρ ἐξκουσατιόνα σιτωνίας καὶ τῶν ἄλλων λειτουργημάτων ἔχει.[100]

οζ'. Πάνυ ἁπαλὴ λέγεται ἡλικία ὁ ἐλάττων τῶν εἰκοσιπέντε ἐτῶν, καὶ πάνυ γεγηρακέναι λέγεται ὁ μείζων τῶν πεντήκοντα[101] *ἐτῶν, διγ. ια'.*[102]

οη'. Ὁ πορνεύων εἰς δούλην ἀλλοτρίαν ἔντιμος ὢν παρεχέτω ὑπὲρ τοῦ τοιούτου πταίσματος τῷ αὐθέντῃ τῆς δούλης νομίσματα λς', εὐτελὴς δὲ ὢν τυπτέσθω καὶ εἰς ὅσον εὐπορεῖ πρὸς ἀναλογίαν τῶν λς' νομισμάτων διδότω.[103]

ΤΙΤΛΟΣ *μγ'.*

Περὶ συκοφαντῶν καὶ κατηγόρων καὶ περὶ δηλατόρων καὶ περὶ πλαστοῦ καὶ περὶ δούλου διπλασιαζομένου καὶ περὶ θησαυροῦ.

α'. Κατὰ τρεῖς τρόπους ἡ συκοφαντία γίνεται καὶ τριπλῶς ἡ ἐπεξέλευσις· ἢ γὰρ συκοφαντεῖ τις πλαστῶς κατηγορῶν, ἢ συμπαίζων γίνεται τὰ ἀληθῆ ἐγκλήματα κρύπτων, ἢ φυγοδικεῖ τελείως ἀναχωρῶν τῆς κατηγορίας.[1]

β'. Οὐ πάντως δὲ συκοφάντης ἐστὶν ὁ μὴ ἀποδεικνὺς ὅπερ κατηγόρησεν, ἀλλ' ἐν τῇ κρίσει τοῦ δικαστοῦ ἐστι μετὰ τὸ ἐλευθερῶσαι τὸν ῥέον ζητῆσαι περὶ τούτου. καὶ ἐπειδὴ οὐ κατέδειξεν, ἐφείσατο αὐτοῦ· εἰ δὲ εἴπῃ περὶ τῆς ποινῆς, ἐπακολουθεῖ. ἡ μὲν γὰρ τοῦ φάκτου ζήτησις ἐπιτέτραπται τῷ δικαστῇ, οὐ μὴν ἡ τοῦ νόμου ἐπεξέλευσις. εἰ δὲ εἴπῃ· προπετῶς ἐκίνησε, οὐ ποιεῖ αὐτὸν συκοφάντην, οὐδὲ ποινὴν ὑφίσταται. ὡς βι. μη' τί. ις' διγ. α'.[2]

γ'. Τῶν κεφαλικῶν ἐγκλημάτων αἱ συκοφαντίαι κεφαλικὰς ἔχουσι τὰς τιμωρίας.[3]

---

[99] Dig. 50, 6, 5 pr. [100] Dig. 50, 5, 2 pr. 8 pr. [101] V *τεσσαράκοντα.* [102] Dig. 50, 2, 11. [103] ~~Proch.~~ Ecloga! 39, 61. — Hanc § nec F nec V habet: cf. infra 45, 95. F eius loco haec addit: *Ὁ εἰδὼς ποῦ ἐστὶν ὁ ἁμαρτήσας καὶ μὴ μηνύσας αὐτὸν οὐ πταίει. ὁ δὲ κρύπτων αὐτὸν τῷ αὐτῷ ἁμαρτήματι ὑπόκειται. βι. ιδ' διγ. ιγ'.* (Dig. 47, 2, 48 § 1) — *Οὐδεὶς κρύπτων ἀλλότριον χρεώστην ἀναγκάζεται αὐτὸν παραγαγεῖν.* (Dig. 43, 29, 4 § 3) — *Παντὶ ἔξεστιν ἐπιθάλπειν τὴν ἐλευθερίαν* (Dig. 43, 29, 3 § 9). [1] Dig. 48, 16, 1 pr. § 1. [2] Scil. § 3—5. [3] Cod. 9, 12, 7. 46, 5.

δ'. Ἐπίσκοπος εἰ συκοφαντήσει τινὰ ἐν πουβλίκῳ δικαστηρίῳ, λ'[4] λίτρας δίδωσι χρυσίου τῷ δημοσίῳ.[5]

ε'. Ὡς συκοφάνται τιμωροῦνται οἱ ἐπὶ βλάβην τινὸς χάρτην ἢ μαρτυρίαν συσκευάσαντες ἢ γράψαντες ἢ ἐν δικαστηρίῳ προσαγάγοντες.[6]

ϛ'. Ὁ κατὰ συκοφαντίαν κινῶν τὸ τῆς ἐλευθερίας δικαστήριον ἐξορίζεται. ὡς βι. μ' τί. ιβ' διγ. λθ'.[7]

ζ'. Τὰ δεδομένα παρά τινος χρήματα ἐπὶ τὸ συκοφαντηθῆναί με οὐχ ὁ δεδωκὼς αὐτὰ ῥεπετητεύει τουτέστι λαμβάνει, ἀλλὰ ἐγὼ καθ' οὗ ἐδόθησαν. ἐπὶ αἰσχρᾷ γὰρ αἰτίᾳ εἰσὶ δεδομένα.[8] — ση. Οἱ συκοφάνται τῇ ταὐτοπαθείᾳ ὑπόκεινται.[9]

η'. Ὁ πατὴρ θάνατον παιδὸς διεκδικῶν κἂν συκοφάντης ἀποφανθῇ, οὐκ ἀτιμοῦται. ἀλλὰ καὶ ὁ κουράτωρ διεκδικῶν τὰ τοῦ πουπήλου πράγματα καὶ οἱ ἐπίτροποι οὐκ ἀτιμοῦνται, κἂν ἀποφανθῶσι συκοφάνται. ὡς βι. μη' τί. α' διγ. ιδ'.[10]

θ'. Εἴσω ξ' ἡμερῶν μετὰ τὸ ῥεπούδιον κατηγορῶν μοιχείαν ὁ ἀνὴρ τῆς γυναικὸς αὐτοῦ οὐκ ἀπαιτεῖται ὡς συκοφάντης, ὡς βι. δ' τί. [δ' διγ.] λζ'. μετὰ δὲ τὰς ξ' κατηγορῶν ὑπόκειται τιμωρίᾳ τῷ ἰουλίῳ ἀδουλτερΐις.[11]

ι'. Ὁ κατηγορηθεὶς ἀντικατηγορεῖν οὐ δύναται.[12] οὔτε ὁ ἐπὶ συκοφαντίᾳ τιμωρηθείς, οὔτε ὁ παιγνικὴν τέχνην μετιών, οὔτε ὁ καταδικασθεὶς χρήματα λαβὼν ἐπὶ τῷ κατηγορῆσαί τινος.[13]

ια'. Οὐτήλιός ἐστιν ὁ χρόνος τουτέστι τέλειος τῶν λ' ἡμερῶν τοῦ ἀνανεῶσαι τὴν κατηγορίαν ἐν αἷς ὁ κατηγορηθεὶς ἠδύνατο προσελθεῖν τῷ ἄρχοντι. ἀριθμοῦνται δὲ μετὰ τὴν περαίωσιν τῶν ἐμφερίων.[14] ὁ δὲ μὴ ἔχων οὐσίαν γ' νομισμάτων οὐ δύναται κατηγορεῖν.[15]

ιβ'. Ὁ κατηγορηθεὶς ἀντικατηγορεῖν οὐ δύναται πρὶν ἐλευθερωθῆναι. ὁ δὲ ἀπὸ καταδίκης τὴν πολιτείαν ἢ τὴν ἐλευθερίαν ἀπολέσας προκατάρξασθαι κατηγορίας οὐ δύναται, τὴν δὲ προκαταρχθεῖσαν πρὸ καταδίκης πληροῖ.[16]

ιγ'. Ἀποθανόντος τοῦ ῥέου ἡ μὲν ποινὴ καὶ τὸ ἔγκλημα σβέννυται, τὸ δὲ χρηματικὸν σκοπεῖται.

ιδ'. Οἱ ψευδομαρτυρήσαντες προλήψει συκοφάνται νοοῦνται. ὡς βι. μη' τί. β' διγ. θ'.

---

[4] V δέκα. [5] F ὡς βι. α' τοῦ κώδ. τί. γ' διατ. κε' (lege κβ'). [6] Dig. 48, 16, 6 § 4. [7] Scil. § 1. [8] Dig. 3, 6, 3 § 3. [9] Proch. 39, 15. [10] Dig. 48, 5, 14 § 3. [11] Dig. 48, 5, 14 § 2. 3. [12] Dig. 48, 1, 5 pr. [13] Dig. 48, 2, 4. [14] Dig. 48, 16, 10 § 2. [15] Dig. 48, 2, 10. [16] Dig. 48, 1, 5.

ιε΄. Τὸ περὶ καλουμνίας ἰνφάκτουμ ἀγωγὴ κινεῖται, τουτέστιν ἐντὸς μὲν ἐνιαυτοῦ τὸ διπλοῦν ἀπαιτεῖται, μετὰ δὲ ἐνιαυτὸν τὸ ἁπλοῦν.[17] ἀλλ' ἐνταῦθα εἰ μὲν ὑπὲρ αὐτῆς[18] δέδωκεν ἵνα μὴ συκοφαντηθῇ, ἀπὸ τοῦ καιροῦ τῆς δόσεως ψηφίζεται αὐτῷ ὁ ἐνιαυτός.[19]

ιϛ΄. Καὶ ὁ κουράτωρ[20] ἐπὶ τῷ προδοῦναι τὴν δίκην ἣν ἐπιστεύθη λαμβάνων χρήματα οὐ κερδανεῖ αὐτά· ἐπὶ αἰσχρᾷ γὰρ αἰτίᾳ ἐδόθησαν.[21]

ιζ΄. Γυνὴ πούβληκον οὐ κινεῖ πλὴν ἐπὶ ἀναιρέσει γονέων ἢ παίδων ἢ πατροκτονίας[22] ἢ τέκνων ἢ ἐγγόνων.[23]

ιη΄. Ὁ γραφὴν κατηγορίας ἀποτιθέμενος ὀφείλει σαφηνίζειν καὶ τὸ ἁμάρτημα καὶ τὸν χρόνον καὶ τὸν μῆνα ἐν ᾧ ἡμαρτήθη τυχὸν ἡ μοιχεία ἢ μετὰ ποίου προσώπου· τὴν δὲ ἡμέραν ἢ ὥραν οὐκ ἀναγκάζεται λέγειν. ὀφείλει καὶ ὑπογράφειν [ἢ] ἕτερος ὑπὲρ αὐτοῦ, εἰ οὐκ οἶδεν γράμματα. ἐὰν δὲ μὴ οὕτως συντεθῇ ὁ λίβελλος, οὐ δύναται κατηγορεῖσθαι.[24] ἐὰν δὲ ἀποθάνῃ ὁ κατήγορος ἢ ἐξ ἄλλης αἰτίας μὴ δυνηθῇ κατηγορῆσαι, καὶ ἕτερος ἀντ' αὐτοῦ δύναται κατηγορεῖν ἐντὸς λ΄ ἡμερῶν. καὶ συντίθεται ὁ λίβελλος οὕτως· ὁ δεῖνα ὁμολογῶ παρὰ τῷδε τῷ ἄρχοντι δεικνύειν τήνδε πλημμελήσασαν μοιχείαν πρὸς τόνδε ἐν τῷδε τῷ οἴκῳ ἐπὶ τῆσδε τῆς ὑπατείας μηνὶ καὶ ἰνδικτιόνι.[25]

ιθ΄. Ἐν τῷ αὐτῷ καιρῷ δύο κατηγορίας οὐδεὶς δύναται κινεῖν, εἰ μὴ περὶ οἰκείας ἀδικίας ποιεῖται. ὡς βι. μη΄ τί. β΄.[26]

κ΄. Ὁ ἄρχων διασκοπείτω πότερον ὁ κατηγορούμενος ὀφείλει φυλακῇ ἐμβάλλεσθαι ἢ στρατιώταις παραδίδοσθαι ἢ ἐγγυηταῖς ἢ ἑαυτῷ καταπιστεύεσθαι. τοῦτο γίνεται ἐκ τῆς ποιότητος τῶν ἐγκλημάτων καὶ τοῦ ἐναγομένου ἢ διὰ τὴν ἀξίαν αὐτοῦ ἢ διὰ τὸ μηδὲν αὐτὸν ἡμαρτηκέναι.[27] — ση. Ὁ κατηγορῶν ἀποτιθέσθω γραφὴν καὶ ἀσφαλιζέσθω παραμένειν μέχρι ψήφου.[28]

κα΄. Ὁ ἔχων ἐγγύας οὐ δεσμεῖται, εἰ μὴ βαρύ ἐστι τὸ παρ' αὐτοῦ ἁμαρτηθὲν, ὥστε μήτε ἐγγυηταῖς μήτε στρατιώταις αὐτὸν ὀφείλειν παραδοθῆναι.[29]

κβ΄. Ὁ δεσπότης διφενδεύων τὸν δοῦλον δίδωσι τὴν ἀσφάλειαν τῆς παραστάσεως αὐτοῦ.[30] ὁμοίως καὶ ὁ προκουράτωρ

[17] Dig. 3, 6, 1 pr. [18] χρήματά τις? [19] Dig. ib. 6. [20] προκουράτωρ? [21] Imo Dig. 44, 4, 9. [22] Lege πατρώνων. [23] Dig. 48, 2, 1. [24] Imo δύναται κατηγ. ἄνωθεν. [25] Dig. ibi. 3 pr. § 1. 4. [26] Scil. dig. 12 § 2. [27] Dig. 48, 3, 1. [28] Dig. 48, 2, 7 pr. [29] Dig. 48, 3, 3. [30] Dig. 48, 2, 17.

αὐτοῦ δύναται διφενδεύειν.[31] καὶ ἐὰν μὴ ὁ δεσπότης μήτε τὶς ἄλλος δίδωσιν ἀσφάλειαν [ὑπὲρ] τῆς τοῦ κατηγορουμένου δούλου παραστάσεως, [ἀπὸ] φυλακῆς διάγεται.[32]

κγ΄. Ὁ ἐγγυησάμενος τὸν κατηγορηθέντα χρηματικὴν δίδωσι ποινὴν μὴ παριστῶν αὐτόν.[33] — Καὶ δοῦλος κατηγορεῖ δεσπότην τὴν δημοσίαν εὐθηνίαν ἀδικοῦντα. ὡς βι. μη΄ τί. ιβ΄ διγ. α΄.

κδ΄. Ἔξεστι τῷ δεσπότῃ κεφαλικῶς κατηγορούμενον μὴ διφενδεύειν τὸν ἑαυτοῦ οἰκέτην.[34]

κε΄. Μὴ χρῆναι προπετῶς πιστεύειν τοῖς οἰκέταις λέγουσι κατὰ τῶν δεσποτῶν· φύσει γὰρ ὁ δοῦλος τοῦ δεσπότου πολέμιος.[35] — Οἱ δοῦλοι πολιτικοῖς ὀφφικίοις οὐ λειτουργοῦσιν.[36] ὥς φησιν ὁ ἑρμονιανός[37], ἐφ᾽ ᾧ καὶ δικάζεσθαι καὶ κατηγορεῖν δύνανται τοῖς ἰδίοις δεσπόταις.

κϛ΄. Ὅτε ἐξετάζεται ὁ δοῦλος περὶ τοῦ ἰδίου φάκτου, δύναται καὶ περὶ τοῦ ἰδίου δεσπότου λέγειν, ἐὰν ἐπακολουθῶσιν αὐτῷ καὶ τὰ τεκμήρια τῶν ἐπ᾽ αὐτῷ ἀνακρινομένων πραγμάτων.[38]

κζ΄. Οἱ δοῦλοι ἐν δημοσίᾳ αἰτίᾳ οὐκ ἀπολιμπάνονται[39], οὔτε ἐνάγειν οὔτε ἐναχθῆναι δύνανται, ἐπειδὴ οὐδὲ πρὸς τὴν πολιτικὴν οὐδὲ πρὸς τὴν τοῦ πραίτορος νομοθεσίαν ἔχουσί τινα οἱ δοῦλοι μετουσίαν.[40] οὐδὲ κατὰ τὴν δικαιοδοσίαν τοῦ πραίτορος δύναται δοῦλος γενέσθαι ἔνοχος.[41]

κη΄. Οἱ δοῦλοι δηλατορεύοντες τοὺς δεσπότας οὐκ ἀκούονται, ἀλλὰ τιμωροῦνται[42], ὁμοίως καὶ ἀπελεύθεροι. συγγινώσκονται δὲ ὅτε κατὰ πλάνην ἑαυτῶν προσαγγέλλουσιν, ὥσπερ καὶ ἡ γυνὴ καὶ ἄγροικος τὸ ἴδιον ἀγνοήσαντες δίκαιον.[43]

κθ΄. Οὐ πᾶς δηλάτωρ ἀτιμοῦται, ὡς ὁ μὴ διὰ κέρδος τοῦτο ποιῶν καὶ ὡς ὁ [δι᾽] ἐκδίκησιν καταμηνύων καὶ ὡς ὁ κινῶν διὰ πρᾶγμα τῆς ἰδίας πόλεως, καὶ ὡς ὁ αἰτῶν δικαιώματα συμβαλλόμενα τῷ φίσκῳ.[44]

λ΄. Ἐάν τις οἰκειακὸς [ἢ] δοῦλος ἐγκληματικῶς κατηγορήσῃ τοῦ ἔχοντος αὐτὸν, ἀποτεμνέσθω, ἐξῃρημένων τοῦ ἐπὶ καθοσιώσει κατηγοροῦντος. ὁμοίως καὶ ὁ ἀπελεύθερος ἐγκληματικῶς ἐπιφέρων τῷ πάτρωνι [ἢ] τοῖς κληρονόμοις αὐτοῦ τὴν αὐτὴν ὑπομενέτω ποινήν.[45]

---

31 Dig. 48, 1, 11. 32 Dig. 48, 3, 2 pr. 33 Dig. ib. 4. 34 Dig. 48, 1, 9. 35 Cf. Dig. 48, 18, 18 § 5. 36 Cf. Dig. 50, 17, 175. 37 Hermogenianus in Dig. 5, 1, 53 pr.? 38 Cf. Dig. 48, 18, 1 § 22. 39 Dig. 50, 17, 211. 40 Dig. 48, 10, 7. 41 Dig. 4, 5, 7 § 2. 42 F citat διγ. β΄. Est Dig. 49, 14, 2 § 6. 43 Dig. l. l. § 7. 44 Dig. 49, 14, 2 pr. § 1. 45 Cod. 9, 1, 20. 21. — Cf. Proch. 39, 41.

λα΄. Ὅτι ἐκ πολλῶν αἰτιῶν γίνεται προσαγγελία, οἷον ὅτι κληρονόμος ἐστὶν ὁ βασιλεὺς καὶ ἀπεκρύβη ἡ διαθήκη, ἢ ὅτι ἀνάξιός ἐστιν ὁ κληρονόμος, ἢ ὅτι πολύτιμον πρᾶγμα παρὰ τοῦ φίσκου ὀλίγου ἠγόρακεν, ἢ ὅτι κατὰ προδοσίαν ἡττήθη ὁ φίσκος, ἢ ὅτι ἀπέθανέ τις ὑποκείμενος ἐγκλήματι κεφαλικῷ, ἢ ὅτι μετὰ θάνατόν τις ὑπόκειται, ἢ ὅτι κατηγορίας ἀπέστη τὶς, ἢ ὅτι ἀπὸ ἰδιωτικοῦ συναλλάγματος ποινὴ τῷ φίσκῳ κεχρεώστηται[46], ἢ ὅτι κληθεὶς ὁ δηλάτωρ οὐχ ὑπήκουσε. καὶ ἐὰν ὁ δηλάτωρ μὴ κατεμήνυσε τὸν ἐπιτρέψαντα αὐτῷ προσαγγεῖλαι δεσμεῖται καὶ τοσοῦτον δίδωσιν ὅσον ἔμελλεν ὁ ἡττηθεὶς διδόναι.[47] ὁμοίως καὶ ὁ ὑποβαλὼν καὶ ἡττηθείς.

λβ΄. Ἡ τῶν βακαντίων προσαγγελία τετραετίᾳ περαιοῦται, ἀρχομένη ἀφ᾽ οὗ γένηται δῆλον μὴ ἔχειν τὸν τελευτήσαντα κληρονόμον. ἡ δὲ τῶν κ΄ ἐτῶν ἁρμόζουσα καὶ ἐπὶ τοῖς πράγμασι τοῦ ῥεκουιρένδου ἄρχεται ἐξ ὅτου τὶ ἁρμόσαι τῷ φίσκῳ ἠδύνατο. αἱ δὲ προκαταρχθεῖσαι καὶ ὑπερτεθεῖσαι ἢ προδοθεῖσαι δύνανται καὶ μετὰ τὴν εἰκοσαετίαν προσαγγέλλεσθαι.[48]

λγ΄. Γυνὴ οὐ δηλατορεύει, οὔτε οἱ λαμπρότεροι οὔτε οἱ κατακριθέντες δύνανται δημόσιον πρᾶγμα καταμηνύειν, οὔτε οἱ γενόμενοι κηδεμόνες ἢ προκουράτορες δηλατορεύσουσιν αὐτὸ, ἀλλὰ τοῦτο ἐγχειροῦντες σφοδρῶς τιμωροῦνται.[49]

λδ΄. Ὁ ἑαυτὸν προκαταμηνύων τῷ φίσκῳ ὡς ἔχων πρᾶγμα ὅπερ οὐ δύναται λαβεῖν δίδωσι τὸ ἥμισυ καὶ τὸ ἥμισυ κρατεῖ ὡς ἔπαθλον.[50] τοῦτο δὲ ἁρμόζει καὶ γυναιξὶ καὶ ἀνήβοις τοῖς καταμηνύουσι τὸ ἔπαθλον.[51]

λε΄. Ἐὰν τὸ ἐμοὶ καταλειφθὲν τάκητον καταμηνύσω, τὸ ἥμισυ λαμβάνω (τάκητόν ἐστι τὸ κείμενον ἔξω τῆς διαθήκης καὶ τοῦ κωδικέλλου καὶ ἀγνοούμενον τίνι κατελείφθη), οὐ μὴν ἐὰν τὸ καταλειφθὲν τῷ δούλῳ μου μηνύσω, τοῦτο τὸ ἔπαθλον οὐ δύναται λαβεῖν ἐκεῖνος.[52]

λϛ΄. Ὁ δηλάτωρ βαρεῖται ταῖς ἀποδείξεσι καὶ οὐχ ὁ δηλατορευόμενος.[53] ἐὰν πρὸ μὲν τῆς ἀνοίξεως τῆς διαθήκης ὁ ἀξιωθεὶς δοῦναι τὸ τάκητον καταμηνύσῃ, αὐτὸς λαμβάνει τὸ διδόμενον ποσὸν, μετὰ δὲ τὸ ἀνοιγῆναι ὁ φιδικομισσάριος αὐτὸς λαμβάνει τὸ ἔπαθλον.[54]

λζ΄. Περὶ πλαστῶν. Ὁ ποιήσας ἐκμαρτύρια πλαστὰ, ἢ διαθήκας, ἢ ἐκδεδωκὼς ἢ ὑποβαλὼν εἰς ἀνάγνωσιν, τῷ κορ-

---

[46] Dig. 49, 14, 1 pr. [47] Dig. ibi. dig. 2 § 4. 5. [48] Dig. ib. 1 § 2—5. [49] Dig. ib. 18 pr. — § 2. 8. [50] Dig. ib. 15 § 3. [51] Dig. ib. 16. [52] Dig. ib. 13 pr. § 8. [53] Dig. ib. 25. [54] Dig. ib. 13 § 7.

νελίῳ ὑπόκειται· καὶ ὁ χρήματα λαβὼν ἢ συμφωνήσας ἢ κοινωνίαν ποιήσας ἐπὶ τὸ συνθῆναι συνηγορίαν ἢ μαρτυρίαν κατὰ τῶν ἀνευθύνων· καὶ ὁ λαβὼν χρήματα ἐπὶ τὸ κατηγορῆσαι ἢ μαρτυρῆσαι· καὶ [ὁ] ὑποφθείρας ἢ ὑποφθαρῆναι τὸν δικαστὴν ποιήσας· καὶ ὁ δικαστης μὴ φυλάξας τὸν νόμον· καὶ ὁ ἐν λογισμοῖς ἢ διφθέραις ἢ πινακιδίοις ἀσφραγίστοις ποιήσας τὶ πλαστὸν ἢ ὁ ἀπαλείψας· καὶ ὁ ἄρχων πλαστὸν ποιήσας ἐπὶ τοῖς παρ᾽ αὐτῷ πραχθεῖσιν ὑπομνήμασι· καὶ ὁ ἀνοίξας τὴν τοῦ ζῶντος διαθήκην· καὶ ὁ προδοὺς τὰ παρακατατεθέντα αὐτῷ δικαιώματα τῷ ἀντιδίκῳ τοῦ παραθεμένου τῷ φάλσης ὑπόκειται.[55] — σχόλ. Ὁ ἐπὶ τὸ κινηθῆναι κατά τινος δικαστήριον ἐνοχοποιησάμενος τῷ δὲ φάλσης ὑπόκειται.[56]

λη΄. Ὁ κλέψας διαθήκην[57] ἢ κρύψας ἢ ἁρπάσας ἢ ἀπαλείψας ἢ ὑποβαλὼν ἢ ἀποσφραγίσας ἢ κατὰ δόλον ἀναγινώσκων ἢ δολερῶς παρασκευάσας ταῦτα γενέσθαι τῷ δὲ φάλσης ὑπόκειται.[58]

λθ΄. Ὁ ἀγνοῶν πλαστὴν εἶναι τὴν διαθήκην ἐὰν ἀδιτεύσῃ ἢ ληγάτον λάβῃ ἢ ἄλλως πως ἐπιγνῷ, οὐ[59] κωλύεται κατηγορεῖν αὐτῆς ὡς πλαστῆς.[60]

μ΄. Ἡ διάταξις κελεύει· ἐξουσίαν ἔχει ἕκαστος χρηματικῶς διελέγξαι τὸ πλαστὸν ἢ ἐγκληματικῶς. φησὶν δὲ ὅτι ἐπὶ παντὸς συμβολαίου ζητοῦμεν πρότερον τὰς ἀποδείξεις ἐκ τοῦ προενεγκόντος, καὶ μετὰ ταῦτα ἐκ τοῦ λέγοντος πλαστὸν εἶναι τὸ συμβόλαιον.[61]

μα΄. Καὶ ἡνίκα μένῃ τὸ τῆς πλαστογραφίας ἔγκλημα, εἰ μὲν μέγιστόν τι ἐκ τούτου ἁμαρτάνεται, ἀποτεμνέτω αὐτὸν, εἰ δὲ μὴ, περιοριζέτω αὐτόν.[62] — σχόλ. Τυχὸν διαθήκη ἦν τινος ἑτέρου συμβολαίου, ἐπιλαμβάνεταί τις αὐτοῦ ὡς πλαστοῦ, οὐ χρὴ εὐθὺς τὸ ἔγκλημα κινεῖσθαι, ἀλλὰ διδόσθω προθεσμία, ἵνα ἐγκληματικῶς ἢ χρηματικῶς κινήσῃ. δῆλον δὲ ὅτι χρηματικὴ κατηγορία πρᾳότερον ἐξετάζει.[63]

μβ΄. Ὅταν μὲν ἕτερον ἡ παράθεσις τῶν γραμμάτων εἴπῃ ἕτερον δὲ αἱ μαρτυρίαι, τηνικαῦτα ἡμεῖς εἰώθαμεν τὰ διὰ ζώσης λεγόμενα φωνῆς μεθ᾽ ὅρκων ἀξιοπιστότερα εἶναι αὐτῆς τῆς συγγραφῆς. ἀλλ᾽ ἔστω τοῦτο τῆς τοῦ δικαστοῦ ἀγχινοίας τὸ τοῖς

---

[55] Dig. 48, 10, 1 pr. — § 6. [56] Dig. ib. 20. [57] Hoc verbum in E a recentiori manu supra lineam scriptum, in FV plane omissum est. [58] F *βι. μη΄ τί. ι΄ διγ. ις΄* (lege *β΄*). [59] E *ὕστερον* rec. manus ante *οὐ* addit. [60] F *ὡς βι. μη΄ ια΄ διγ. δ΄*. Imo tit. 10 dig. 3. [61] Cod. 9, 22, 24. [62] Cod. ib. 22. [63] Cod. ibid. 23.

ἀληθέσι μᾶλλον πιστεύειν ἀντὶ τῶν τοιούτων.[64] — σχόλ. Ὁ ἅπαξ κινήσας τὸ πλαστὸν οὐ δύναται μεταφεύγειν τὴν τούτου κατηγορίαν, ὅτι οὐ κέχρημαι αὐτῷ.[65]

μγ΄. Ὁ προσφέρων ἐν δίκῃ δικαιώματα καὶ πιστούμενος αὐτὰ πρὸς τὸ ἁμάρτημα τιμωρεῖται. εἰ δὲ μείζονός ἐστιν ἄξιος τιμωρίας, ὁ βασιλεὺς αὐτὴν ἐρωτώμενος ὁρίζει. συγγινώσκεται δὲ ὁ προκομίζων ἐν ἀγνοίᾳ.[66]

μδ΄. Ἐὰν ὁ ῥέος πρὸ κατηγορίας ἢ ψήφου τελευτήσῃ, ἀργεῖ μὲν ὁ κορνέλιος, τὸ δὲ περιποιηθὲν ὁ κληρονόμος οὐ κερδαίνει.[67]

με΄. Ὁ δοῦλος τῷ δεσπότῃ οὐ δύναται καταδικάζεσθαι.[68] καλῶς δὲ αὐτῷ κατηγορεῖ, λέγων αὐτὸν ἀποκρύψαι τὴν διαθήκην, ἐν ᾗ ἐλευθερία αὐτῷ κατελείφθη.[69]

μς΄. Ὁ πάτρων ἑαυτῷ προσγράφων ἐν τῇ διαθήκῃ τοῦ ἀπελευθέρου ληγάτον καὶ αἰτῶν συγγνώμην καὶ κελευόμενος ἀποστῆναι τὸ ληγάτον, οὐκ ἔχει τὴν κοντραβούλας τουτέστι περὶ ἐναντίας βουλήσεως. εἰ δὲ γυνὴ προῖκα χρεωστουμένη ἢ ἄλλος δανειστὴς πράξει τὰ προγεγραμμένα, τῆς ἰδίας ἀγωγῆς ἐκπίπτει.[70]

μζ΄. Ὑπόκειται τῷ νόμῳ τούτῳ ὁ μίξας ἐπίψογόν τι τῷ χρυσῷ, ἢ νόθους ἀργυροὺς νούμμους ποιήσας, καὶ ὁ δυνάμενος τοῦτο αὐτὸ κωλῦσαι, καὶ ὁ κατὰ δόλον κασσιτερίνους ἢ μολιβδίνους νούμμους πωλῶν ἢ ἀγοράζων, καὶ ὁ ἔξωθεν διαθήκης ἄλλο τὶ πλαστὸν σφραγίζων, καὶ οἱ ποιοῦντες πλαστὰ ἐκμαρτύρια ἢ πλαστῶς ἄλλως μαρτυροῦντες. εἰς[71] χρηματικὴν αἰτίαν τῇ αὐτῇ ποινῇ ὑπόκεινται.[72] καὶ ὁ τὸ αὐτὸ πρᾶγμα δύο τισὶν ἐξ ὁλοκλήρου ἐν διαφόροις συναλλάγμασι πωλῶν, καὶ ὁ δικαστὴν ὑποφθείρων τούτῳ τῷ νόμῳ ὑπόκειται.[73]

μη΄. Κατέχονται τῷ δὲ φάλσης καὶ οἱ διὰ τὸ συσκευάσαι τινὶ [δίκην] διὰ συνηγορίας ἢ διὰ μαρτυρίας χρήματα λαμβάνοντες ἢ ἐνοχὴν συστησάμενοι ἢ συμφωνήσαντες ἢ κοινωνίαν ποιήσαντες ἐφ᾽ ᾧ τι τοῦτο γενέσθαι.[74]

μθ΄. Πλαστόν ἐστι τὸ μιμήσασθαι χειρόγραφον ἑτέρου ἢ διαῤῥῆξαι ἢ μεταγράψαι.[75] καὶ ὁ ἐξ ὀνόματος ἄρχοντος ἀποδιδοὺς πλαστὰ γράμματα ἢ προτιθεὶς ἐκδικοῦνται.[76] καὶ ὁ διὰ

---

[64] c. XCIII (Nov. 73) c. 3. [65] Cod. 9, 22, 8. [66] Dig. 48, 10, 31. [67] Dig. ib. 12. [68] Lege *δικάζεσθαι*. [69] Dig. ib. 7. [70] In Basil. rectius est *οὐκ ἐκπίπτει*. — Dig. ib. 6 § 3. [71] Supple *καὶ οἱ μηνυτὴν ὑποβάλλοντες εἰς κτλ.* [72] Dig. ib. 9. [73] Dig. ib. 21. [74] Dig. ib. 20 [75] Dig. ib. 23. [76] Dig. ib. 25.

πλαστοῦ συνθήματος τῷ δρόμῳ χρησάμενος[77] καὶ ὁ σφραγίδα πλαστὴν ποιῶν ἢ γλύφων ὑπόκειται τῷ πλαστῷ.[78]

ν΄. Ὁ διαφθείρων τὸ προτεθὲν ἔδικτον ὑπόκειται τῷ πλαστῷ. ὁ πλαστεύσας δημόσια μέτρα [ἢ] στάθμια καὶ τὸ διπλοῦν τοῦ διαφέροντος δίδωσι καὶ ἐξορίζεται.[79]

να΄. Ὁ ἐν ὑπομνήμασιν ἢ λιβέλλῳ συναρπάζων ἄρχοντα ἢ ἐν εἰδήσει μὴ λέγων τὸ ἀληθὲς καὶ τῷ πλαστῷ ὑπόκειται καὶ οὐ κέχρηται τῇ ἀντιγραφῇ.[80] ὁμοίως καὶ οἱ ἐναντία μαρτυρήσαντες ἀλλήλοις καὶ ὁ ἐναντιούμενος τῇ οἰκείᾳ ὑπογραφῇ, καὶ ὁ δύο τισὶν ἐναντία προσμαρτυρῶν ὑπόκειται τῷ πλαστῷ.[81]

νβ΄. Ὁ παραγνώμην τῶν ἐχόντων τὰς ἰδίας πύκτας δημοσίως παραγράφων αὐτὰς ἢ ἐπισκεπτόμενος ἢ ἀπαλείφων τῷ δὲ πεκουλάτους κατέχεται.[82] ὁμοίως καὶ ὁ τοῖχον τρώσας καὶ ἀφελόμενός τι ἐξ αὐτοῦ.[83]

νγ΄. Ἐὰν υἱὸς ἀπαλείψῃ τὴν πατρῴαν διαθήκην καὶ ἐξ ἀδιαθέτου κληρονομήσῃ καὶ τελευτήσει, ἀφαιρεῖται τοῦ κληρονόμου αὐτοῦ πᾶσα ἡ τοῦ πατρὸς κληρονομία.[84] ἐπὶ γὰρ τῆς ἀσφραγίστου χώραν ὁ νόμος οὐκ ἔχει, ὥσπερ οὐδὲ τὸ δὲ ταβούλις ἐξιβένδις.[85]

νδ΄. Ὁ πλαστὴν μονήταν ποιῶν μετὰ τῶν ὑπουργησάντων αὐτῷ χειροκοπείσθωσαν·[86] μετὰ τῶν ὑποδεξαμένων κἄντε δοῦλοί εἰσι κἄντε ἐλεύθεροι.

νε΄. Ὁ προσγράφων ἑαυτῷ ληγάτον ἢ κλῆρον ἐν ἀλλοτρίᾳ διαθήκῃ ὡς πλαστογράφος τιμωρεῖται.[87]

νϛ΄. Οὐ δύναται ὁ υἱὸς κινεῖν κατὰ τῆς μητρὸς τῷ κορνελίῳ ὡς ἄλλον υἱὸν ὑποβολιμαῖον ποιήσασαν.[88]

νζ΄. Οὐ προκριματίζεται ὁ κληρονόμος ἐξ ὧν διεῖλεν ἀπὸ τῆς πλαστῆς διαθήκης, ἐὰν δείξῃ ὅτι οὐδὲ ὅλως ἐγένετο διαθήκη, ἢ ἐγένετο μέν, ἄχρηστος δέ ἐστιν. ὡς βι. α΄ τί. ιη΄ διατ. δ΄ τοῦ κώδ.

νη΄. Ὁ τὴν τοῦ ζῶντος διαθήκην ἀνοίγων ἢ ἀποσφραγίζων ἢ ἀναγινώσκων τῷ κορνελίῳ δὲ φάλσης ὑπόκειται.[89]

νθ΄. Ἐάν τις κατὰ δόλον ζημιώσῃ με ἐν θορύβῳ, εἴσω μὲν ἐνιαυτοῦ εἰς τὸ διπλοῦν [ἐνέχεται], μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν. θόρυβος δὲ γίνεται ἀπὸ ι΄ ἀνθρώπων ἢ καὶ πλειόνων·

---

[77] Dig. ib. 27 § 2. [78] Dig. ib. 30 pr. [79] Dig. ib. 32 pr. § 1. [80] Dig. ib. 29. [81] Dig. ib. 29. 27 pr. § 1. [82] Dig. 48, 13, 9 § 5. [83] Dig. ib. 11 pr. [84] Dig. 48, 10, 26. [85] Dig. ib. 6 pr. [86] Proch. 39, 14. [87] Dig. 48, 10, 6 pr. [88] Dig. 48, 2, 11 § 1. [89] Dig. 48, 19, 38 § 7.

ἡ γὰρ τῶν ἡττόνων μάχη καὶ οὐ θόρυβος λέγεται· οὐ μόνος δὲ καὶ ὁ ἐν θορύβῳ ζημιώσας με ἐνέχεται, ἀλλὰ καὶ ὁ ποιήσας δόλον ἐφ᾽ ᾧ ἕτερον ζημιῶσαι, εἴτε παρῆν αὐτὸς τῷ θορύβῳ εἴτε μή. εἰ καὶ μὴ αὐτὸς συναγάγῃ τὸν θόρυβον, ἀλλὰ διὰ τῶν παρ᾽ αὐτοῦ γενομένων ἢ λεγομένων συνήχθη, ἢ καὶ ἕτερος αὐτὸ συνήγαγεν, ἐνέχεται.[90]

ξ'. Ὁ ἅρπαξ οὐκ ἀπαλλάττεται τῆς ποινῆς πρὸ τῆς δίκης προσαγαγὼν τὸ πρᾶγμα. ἔχει μὲν [ἡ] ἀγωγὴ ἐντὸς ἐνιαυτοῦ εἰς τὸ διπλοῦν, μετὰ δὲ ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν.[91]

ξα'. Πᾶσα ἀγωγὴ δόλου μεμνημένη ἀνναλία ἐστὶ τουτέστι πρόσκαιρος, καὶ κατὰ κληρονόμων οὐ διαβαίνει· τὰ δὲ κερδηθέντα ἀναδίδοται.[92] καὶ ὁ ἀκουίλιος περὶ συμβάσης ἤδη ζημίας ζητεῖται, οὐ περὶ μελλούσης· τῇ δὲ ἀρνήσει διπλασιάζεται. ἐπὶ δὲ τῶν συναλλαγμάτων ἀπὸ δόλου τοῦ τεστάτορος οἱ κληρονόμοι ἐνάγονται οὐ μόνον εἰς τὸ περιελθὸν εἰς αὐτούς, ἀλλὰ καὶ εἰς τὸ διαφέρον.[93]

ξβ'. Ἡ τοῦ δόλου παραγραφὴ περπετουά ἐστιν τουτέστι διηνεκής, καὶ οὐχ ὡς ἐπὶ τῇ δε δόλῳ συμβαίνει χρόνῳ περικέκλεισται.[94] ἡ κατὰ δόλον γινομένη[95] τὴν δε δόλῳ τίκτει κατὰ τοῦ συμβουλεύοντος.[96]

ξγ'. Ἐὰν ἐν τῷ πραθέντι οἴκῳ θησαυρὸς εὑρεθῇ, τῷ ἀγοραστῇ διαφέρει· εἰ δὲ ἐν δημοσίῳ τόπῳ ἢ ἐν μνημείῳ, τὸ ἥμισυ τῷ φίσκῳ διαφέρει καὶ τὸ ἥμισυ αὐτῷ τῷ εὑρόντι· εἰ δὲ ἀποκρύψει, ὅλον φισκοῦται.[97]

ξδ'. Ὁ καταμηνύων θησαυρὸν πέντε λίτρας χρυσίου ἐγγυᾶται ἕως ὅτε τὰ προσαγγελθέντα ἀγράφως διακριθῇ.[98]

ΤΙΤΛΟΣ μδ'.

Περὶ κλεπτῶν καὶ ὑποδεκτῶν καὶ ἱεροσύλων καὶ ἐξανδραποδιστῶν.

α'. Πάντες οἱ κινδυνεύοντες ἐπ᾽ ἀλλοτρίῳ πράγματι κλαπέντος αὐτοῦ ἔχουσι τὴν φύρτη. ὡς βι. μζ' τί. β' διγ.[1]

---

[90] Dig. 47, 8, 4 pr. § 3. 4. 6. [91] Dig. 47, 8, 5 et dig. 4 § 8. [92] F addit ὡς βι. ιζ' τί. α' διγ. ιγ' (?). Cf. Dig. 44, 7, 35 pr. [93] Dig. 50, 17, 157 § 2. [94] Dig. 44, 4, 5 § 6. [95] Deest συμβουλή. [96] Dig. 50, 17, 47 pr.? [97] Dig. 6, 1, 67. 49, 14, 3 § 10. 11. [98] Cod. 1, 33, 5 § .2 — In E recentior manus addit Cod. 9, 22, 15 et 23, 3 ea recensione, quam praestant Bas. 60, 41, 50. 61. [1] Scil. dig. 14 § 16.

β'. Ἐάν τις μὴ νέμηται, οὐ γίνεται φύρτη· κληρονομία δὲ οὐ νέμεται· φάκτον γὰρ καὶ ψυχῆς ἡ νομὴ χρηματίζει. ὡς βι. μζ' τί. δ' διγ. α'.[2]

γ'. Ὁ χειρὶ ἰδίᾳ παραδοὺς τὸ πρᾶγμα οὐκ ἔχει περὶ αὐτοῦ τὴν φύρτη ἀλλὰ τὴν ἀδεξιβένδουμ.[3]

δ'. Καὶ ἡ γυνὴ τὰ τοῦ ἰδίου ἀνδρὸς ὑποκλέψασα πράγματα, οὐκ ἔχει περὶ αὐτῆς ὁ ἀνὴρ τὴν φύρτη ἀλλὰ τὴν ἀδεξιβένδουμ.

ε'. Κλοπὴν δίχα κακίστης[4] διαθέσεως μηδέποτε ἁμαρτάνεσθαι· ἄνευ γὰρ πονηρᾶς διαθέσεως οὐχ ἁμαρτάνεται κλοπή. ἐνδέχεται διάθεσις πονηρὰ ἔχοντος γνώμην ἀγαθὴν καὶ διάθεσις ἀγαθὴν ἔχοντα γνώμην[5] πονηράν.[6]

ς'. Ὁ κλέπτης μὴ ἀποκαθιστῶν ὅπερ ἔκλεψε κινδυνευέτω εἰς τὰ τυχηρά.[7] ὡς βι. δ' τί. η' διατ. β' τοῦ κώδ.

ζ'. Ἐὰν τὰ δοθέντα τῷ πατρὶ ἐνέχυρα ὑποκλέψῃ γυνή, τῷ φυρτήβῳ κονδικτικίῳ ἐνάγεται.[8]

η'. Ὅτι ἡ μὲν φύρτη τὸ διπλοῦν ἔχει, ὁ δὲ κονδικτίκιος τὸ ἁπλοῦν ἀπαιτεῖται. καὶ ὁ ἁρπάζων τῷ κονδικτικίῳ ἐνάγεται εἰς εἴτι εὐπορώτερος γέγονεν.[9]

θ'. Ὁ σπουδὴν ἢ κλοπὴν εἰσαγαγὼν τῷ φυρτήβῳ κονδικτικίῳ ἐνάγεται, ὁ δὲ συμβουλεύσας οὐχ ὑπόκειται.[10] ἀρέσκει δὲ μήτε ἔργον δίχα κακῆς γνώμης μήτε γνώμην[11] δίχα ἔργου ἀγαθοῦ.[12]

ι'. Ὅτι ὁ φυρτήβος κονδικτίκιος τὴν ἐν καιρῷ προκατάρξεως διατίμησιν ἀπαιτεῖ.[13]

ια'. Ἐὰν ἀπὸ βώλου[14] ἀργυροῦ κλαπέντος γένηται σκεῦος ἢ ἀπὸ σταφυλῶν κλοπιμαίων γένηται μόστος, καὶ ἐπὶ τῷ μόστῳ καὶ ἐπὶ τοῖς σκεύεσι κινεῖται ὁ φυρτήβος κονδικτικίων.[15]

ιβ'. Ἐὰν ὁ κλαπεὶς οἰκέτης κληρονόμος ὑπό τινος γραφεὶς τελευτήσῃ πρὶν ἀδιτεῦσαι, κινούμενος ὁ κονδικτίκιος τὸ τῆς κληρονομίας διαφέρον ἀπαιτεῖ τὸν ἐναγόμενον.[16]

ιγ'. Οὐκ ὀφείλει δὲ σκοπεῖν τί γέγονεν ἐν ῥώμῃ, ἀλλὰ τί δέον πραχθῆναι· φροντιζέτω τῆς ἐπαρχίας ὁ ἄρχων ζητῶν τοὺς ἱεροσύλους καὶ ἀνδραποδιστὰς καὶ κλέπτας καὶ ὑποδοχεῖς καὶ

---

[2] Scil. § 15. [3] Cf. infra § ν'. [4] F κακῆς. [5] In aliis verba ἀγαθὴν καὶ — γνώμην desunt. [6] F addit βι. β' τῶν ἰνστ. Vide Theophil. 4, 1, 7. [7] W et F addunt: καὶ ἃ ἔλαβεν ὑπὲρ τοῦ φανερῶσαι τὰ κλαπέντα ἀναστρέφεται. [8] Cf. Dig. 25, 2, 17 § 3. [9] Dig. 47, 8, 2 § 27. [10] Cf. Dig. 13, 1, 6. [11] F κακὴν γνώμην. [12] Cf. Dig. 47, 2, 50 § 2. [13] Dig. 47, 1, 2 § 3. [14] Alii βῆλον. [15] Dig. 47, 2, 52 § 14. [16] Dig. ib. § 28.

πρὸς τὸ πλημμέλημα ἐπεξιὼν αὐτούς. καὶ τοὺς μαινομένους ἐν εἱρκτῇ βαλλέτω, εἰ μὴ διὰ τῶν συγγενῶν φυλαχθῆναι δύνανται ἢ δεσμείτω· εἰ δὲ φονεύσωσι, δεῖ ζητεῖν πότε[17] προσεποιήθησαν τὸ μαίνεσθαι ἢ ἐν τῷ καιρῷ τῶν ἀνακωχῶν ἐφόνευσαν, καὶ τιμωροῦνται. δεῖ δὲ καὶ τοῖς φύλαξιν αὐτῶν ἐπεξιέναι ῥαθυμοῦσιν.[18] οὐ γὰρ μόνον διὰ τὸ μὴ ἑαυτοὺς βλαβῆναι φυλάττεσθαι, ἀλλὰ καὶ διὰ τὸ μὴ βλάψαι ἄλλους.[19] ὡς βι. γ' τί. δ'.

ιδ'. Ὁ τὸν μὴ κεχρεωστημένον τόπον ὑπεισελθὼν ἱεροσυλίᾳ ὑποκείσθω μὴ δυνάμενος ἄγνοιαν προβάλλεσθαι.[20]

ιε'. Ὁ κλέπτης μήτε μέλους ἀποκοπὴν ὑφιστάσθω μήτε ἀποθνησκέτω. κλέπτης δὲ νοεῖται ὁ λάθρα καὶ χωρὶς ὅπλων ἁμαρτάνων· ὁ γὰρ βίᾳ πλημμελῶν μετὰ ὅπλων ἢ χωρὶς ὅπλων ἐν οἱῳδήποτε τόπῳ τὰς ἀπὸ τῶν νόμων ὑπομένει ποινάς.[21]

ις'. Μὴ τεμνέσθωσάν τινος ἢ δύο χεῖρες ἢ δύο πόδες διὰ οἱονδήποτε ἁμάρτημα, μήτε μὴν διαλυέσθωσαν τὰ ἄρθρα αὐτῶν· ἀλλὰ καὶ ἐὰν τὸ ἔγκλημα ἀπαιτεῖ μέλους ἀποκοπὴν, μίαν μόνον ἢ χεῖρα ἢ πόδα τοῦ πλημμελήσαντος ἀποτεμνέτω.[22]

ιζ'. Ὁ πωλῶν ἐξωτικὸς τὸν φυγάδα δοῦλον τῷ φαβίῳ ὑπόκειται. ὡς βι ς' τί. α' διατ. α' τοῦ κώδ.[23]

ιη'. Ὁ ὑποδεξάμενος ἀπελεύθερον καταβαλλέτω τὰς ὑπὲρ αὐτοῦ ὀπέρας τουτέστι δουλείας καὶ καμάτους.[24]

ιθ'. Ὁ φυγὼν δοῦλος πρὸς τοὺς βαρβάρους ἀποτεμνέσθω τὸ σκέλος ἢ ἄλλως τιμωρείσθω.[25]

κ. Ζητείτω ὁ ἄρχων τοὺς φεύγοντας οἰκέτας καὶ ἀναδιδότω αὐτοὺς τοῖς οἰκείοις δεσπόταις.[26]

κα'. Καὶ πατὴρ καὶ δεσπότης τοῦ κλέψαντος καὶ υἱὸς ὑπεξούσιος ἐνάγονται εἰς τὸ περιελθὸν εἰς αὐτούς· καὶ ἢ αὐτὸ τὸ πρᾶγμα δίδωσιν ἢ τὴν διατίμησιν αὐτοῦ.[27]

κβ'. Ὁ κλέπτων ἐκ τῆς ἀπροσελεύστου κληρονομίας εἰ καὶ τῇ φύρτῃ οὐκ ἐνάγεται, τῇ δὲ ἐξιβένδουμ ἐνάγεται τουτέστι περὶ ἀποκρυβῆς.[28]

---

[17] μήποτε? [18] Dig. 1, 18, 12—14. W addit §: Ὁ πρεσβευτὴν ἔθνους ὠθήσας ἐκδίδοται τῷ ἔθνει· κἂν αὐτὸν μὴ δέξηται, παύεται εἶναι ῥωμαῖος ὡς ὑποστὰς περιορισμόν. ἱεροὶ γάρ εἰσιν οἱ πρεσβευταὶ καὶ τὴν ἐλευθερίαν παρ' ἡμῖν ἔχουσι κἂν πόλεμός ἐστιν ἡμῖν καὶ τῷ ἔθνει αὐτῶν (Dig. 50, 7, 17). [19] Dig. 1, 18, 14. [20] Cod. 12, 8, 1. [21] Theod. Nov. 134 § 34. [22] Theod. Nov. 134 § 33. [23] Theod. Cod. l. l. [24] Cod. 6, 3, 13. [25] Cod. 6, 1, 3. [26] Cod. 6, 1, 2. [27] Dig. 13, 1, 4. 5. [28] Dig. 47, 19, 2 § 1.

κγ'. Οὐδεὶς τὸ ἴδιον πρᾶγμα ἀπαιτεῖ διὰ τοῦ κονδικτικίου ἀλλὰ τῇ φύρτῃ εἰ μὴ παρὰ μόνου κλέπτου.[29] — ση. οὐ δύναται ὅρκον ἀντεπιφέρειν τῷ ἐπάγοντι αὐτῷ ὅτι ὤμοσον, ὅτι κλέπτης ἐστίν.[30]

κδ'. Κλέπτης ἀπὸ μόνης διαθέσεως οὐδεὶς γίνεται.[31] καὶ μόνη ψυχὴ χωρὶς σώματος κλοπὴν οὐχ ὑφίσταται· κλοπὴ γὰρ μόνῳ λογισμῷ οὐ κρίνεται.[32]

κε'. Πρὸ τῆς παραδόσεως ὁ πράτης ἔχει τὴν φύρτη, καὶ ὁ μὲν κίνδυνος τοῦ ἀγοραστοῦ ἐστιν, ἡ δὲ παραφυλακὴ τοῦ πράτου. καὶ αὐτὸς δὲ ὁ πράτης κλέπτων τὸ πραθὲν παρ' αὐτοῦ εἰ μὲν μετὰ τὸ καταβαλεῖν τὸ τίμημα, οὐκ ἐνέχεται τῇ φύρτῃ· εἰ δὲ πρὸ τοῦ καταβαλεῖν τὸ τίμημα, ἐνέχεται, ὥσπερ ὁ χρεώστης ὁ κλέπτων τὸ ἐνέχυρον[33], ἢ ὁ ἐπὶ τῇ χρήσει δοὺς πρᾶγμα καὶ κλέψει αὐτό.

κϛ'. Ἐὰν ἀπὸ δύο δούλων ὁ εἷς κλαπῇ, ἁρμόζει μοι ἡ φύρτη, καὶ ὁ μείνας παρ' ἐμοὶ ἀνάξιός ἐστι τοῦ ποσοῦ τοῦ χρέους· εἰ δὲ οἱ δύο δοῦλοι κλαπῶσιν, ἐπὶ τοὺς δύο ἔχω τὴν φύρτη οὐκ εἰς ὁλόκληρον, ἀλλὰ πρὸς ἀναλογίαν τοῦ χρεωστουμένου.[34]

κζ'. Οὔτε ἡμεῖς κατὰ τῶν ὑπεξουσίων ἔχομεν τὴν φύρτη οὔτε αὐτοὶ καθ' ἡμῶν.[35]

κη'. Ὁ τοῦ κλέπτου δούλου δεσπότης ἢ τὸ ἀζήμιον τῷ τὴν κλοπὴν ὑποστάντι ποιείτω· εἰ δὲ μὴ βούλοιτο τοῦτο ποιεῖν, τὸν δοῦλον εἰς τελείαν δεσποτείαν παραδίδωσιν τῷ τὴν κλοπὴν ὑποστάντι.[36]

κθ'. Ὁ ἐν δουλείᾳ κλέψας καὶ μετὰ ἐλευθερίαν ὑπόκειται τῇ κλοπῇ.[37]

λ'. Ὁ ὑπονοθεύων δοῦλον ἀλλότριον ἢ κλέψαι ἢ φυγεῖν τῇ φύρτῃ καὶ τῇ servi corrupti ἐνάγεται.[38] — ση. ἀγωγὴ ἡ χείρονα ποιοῦσα τὸν ἀλλότριον δοῦλον καὶ ἀπαλείφουσα τοὺς ἀγαθοὺς αὐτοῦ τρόπους.

λα'. Ἐὰν διὰ οἰκέτην κλαπέντα ἁρμόσῃ μοι ἡ κλοπή, μένει παρ' ἐμοὶ ἡ ἀγωγή, κἂν πραθῇ κἂν ἐλευθερωθῇ κἂν ἀποθάνῃ ὁ οἰκέτης.[39]

λβ'. Ὁ φυγὰς οὐδαμοῦ διατρίβειν πιστεύεται. οὐ δοκεῖ διατρίβειν ἐκεῖ ὅπου ἐστὶν, ἀλλ' ὅπου ὁ δεσπότης αὐτοῦ ἐστιν.

---

[29] Dig. 7, 9, ult. [30] Dig. 25, 2, 12. [31] F addit *ὡς βι. μζ' τί. διγ.* — Est Dig. 47, 2, 1 § 1. [32] Dig. 50, 16, 225. [33] Dig. 47, 2, 14 pr. § 1. [34] Dig. 47, 2, 14 § 5. 7. [35] Dig. ib. 16. [36] Proch. 39, 55. [37] Dig. 9, 4, 6. [38] Dig. 11, 3, 1. [39] Dig. ib. 5 § 4.

λγ'. Ἐὰν ὁ δεσμοφύλαξ τὸν ὀφείλοντα ἀποδοθῆναι τῷ δεσπότῃ δοῦλον τὸν φυγάδα[40] ἀπολέσῃ, ἀπαιτεῖται τὸ τίμημα αὐτοῦ.[41]

λδ'. Ὁ τὸν ἀλλότριον δοῦλον ὑποδεξάμενος καὶ ἀποκρύψας οὐκ ἐκφεύγει τὴν ποινὴν προφάσει τοῦ δικάζεσθαι περὶ τῆς αὐτοῦ δεσποτείας.[42] — ἀλλ' ὀφείλει ὁ οἰκέτης βασανίζεσθαι [καὶ] εἰπεῖν τὸ ἀληθές. ὡς βι. ϛ' τί. γ' τοῦ κώδ. ὅτε καὶ ἄλλα πάλιν δίκαια ὑπέστη τῆς τοῦ δούλου φυγῆς ὁ δεσπότης.[43]

λε'. Ἐὰν φυγάδες εὑρεθῶσι παρ' ἐμοί, μισθωσάμενοί μοι τὰς ὀπέρας αὐτῶν ἐπὶ τὸ τρέφεσθαι, οὐκ εἰμι ἀνδραποδιστής.[44]

λϛ'. Ὁ τὸν φυγάδα δοῦλον ὑποδεξάμενος ἢ δίδωσιν αὐτὸν μετὰ καὶ ἑτέρου ὁμοίου ἢ κ' νομισμάτων. ὁσάκις δὲ αὐτὸν ὑποδέξηται, τοσαυτάκις αὐξάνεται ἡ ποινή.[45]

λζ'. Ὁ κινῶν τὴν κλοπὴν περὶ σκεύους καὶ τὸ εἶδος αὐτοῦ καὶ τὴν ὕλην ὀφείλει λέγειν, οὐ μὴν τὸν σταθμὸν αὐτοῦ.[46]

λη'. Ἐάν τις ἀπὸ σωροῦ ἢ πίθου ἢ σκεύους μέρος ἀφέληται, ἐπ' αὐτὸ μόνον ἐνέχεται· εἰ δὲ τέλειον ἁρμάριον ὅπερ οὐκ ἠδύνατο βαστάσαι ὑπανοίξει, καὶ πάντα τὰ ἐν αὐτῷ ψηλαφήσας ἀναχωρήσῃ, καὶ ὑποστρέψας ἓν ἐξ αὐτῶν ἄρῃ καὶ συλληφθῇ, καὶ μανιφέστι καὶ νεκμανιφέστι ἐστίν.[47]

λθ'. Ὁ τὸ χρησθὲν ὑποζύγιον μακρότερον ἐπαγαγὼν ἢ ἐφ' ἑτέρων πραγμάτων ἄκοντος τοῦ δεσπότου χρησάμενος κλοπὴν ἁμαρτάνει.[48]

μ'. Ὁ τὸ ἀλλότριον πρᾶγμα ἔρημον[49] λαμβάνων ἐπὶ τὸ κερδᾶναι, κἂν ἀγνοεῖ τίνος ἐστὶν, ὑπόκειται τῇ κλοπῇ.[50]

μα'. Ὁ κοινωνός μου κλέπτων τὸ κοινὸν πρᾶγμα ὑπόκειται τῇ κλοπῇ.[51]

μβ'. Ἐναλλασσομένης τῆς δεσποτείας τοῦ κλαπέντος πράγματος τῷ κοινῷ δεσπότῃ ἁρμόζει ἡ κλοπή.[52] τὸ αὐτὸ καὶ ἐὰν συληθῇ τὸ πρᾶγμα ἢ ἀποθάνῃ ὁ κλαπεὶς δοῦλος.

μγ'. Ὁ γινώσκων τὸν κλέπτην καὶ μὴ μηνύων αὐτὸν οὐκ ἔστι κλέπτης· ὁ δὲ κρύπτων τὸν κλέπτην κλέπτης ἐστὶν.[53] ὁμοίως καὶ ὁ λαμβάνων τὶ ἐπὶ τὸ μὴ καταμηνύσαι αὐτὸν κλοπὴν ἁμαρτάνει.[54]

---

[40] Alii *φυγάδα δοῦλον.* [41] F addit *βι. μη' τί. γ' διγ. ια'* (lege *ιδ'* scil. § 7). [42] Dig. 48, 15, 5. [43] Cod. 6, 1, 6. [44] Dig. 48, 15, 6 § 1. [45] Cod. 6, 1, 4. Proch. 39, 24. [46] Dig. 47, 2, 19 § 1. [47] Dig. ib. 21 pr. [48] Dig. ib. 40. [49] Basil. *ἐῤῥιμένον.* [50] Dig. ib. 43 § 4. [51] Dig. ib. 45. [52] Dig. ib. 47. [53] Dig. ib. 48 § 1. [54] Cf. Dig. 12, 5, 4 § 4. — F inserit §: *Ὁ λαβὼν κλέπτης τὶ ἐπὶ τὸ φανερῶσαι τὰ*

μδ΄. Ὁ δοῦλον ἀλλότριον ὑποδεχόμενος παρὰ γνώμην τοῦ δεσπότου κλέπτης ἐστὶ καὶ ὑποδέκτης.[55]

με΄. Ὁ πωλῶν καὶ ἀγοράζων φυγὴν οἰκέτου δόγμα συγκλήτου προσκρούει.[56]

μς΄. Ὁ δικαιώματα κλέπτων εἰς τὸ περιεχόμενον ἐν αὐτοῖς ποσὸν ἐνέχεται, κἂν ἦσαν περικεκλουβισμένα τουτέστιν καταχαραχθέντα.[57]

μζ΄. Καὶ οἱοσδήποτε δεσπότης εἰ ἀγνοεῖ[58] τὴν παρὰ τοῦ δούλου αὐτοῦ γινομένην αὐτῷ κλοπὴν ἢ ζημίαν, οὐ δύναται μετὰ τὴν ἐλευθερίαν ἀγωγὴν ἔχειν κατ᾽ αὐτοῦ.[59]

μη΄. Ὁ νεμόμενος ἀλλότριον φυγάδα οἰκέτην οὐδὲ διὰ τῆς δεκαετίας οὐδὲ διὰ τῆς εἰκοσαετίας μεταφέρει τὴν δεσποτείαν ἐπ᾽ αὐτόν.[60]

μθ΄. Ὁ τὴν ἀπὸ τῶν πολεμίων ληφθεῖσαν αἰχμαλωσίαν ὑφελόμενος τῷ δὲ πεκουλάτου κατέχεται τουτέστιν εἰς το τετραπλοῦν.[61]

ν΄. Ὁ χειρὶ οἰκείᾳ παραδοὺς τὸ πρᾶγμα οὐκ ἔχει περὶ αὐτοῦ τὴν φύρτη. ὁ δὲ ἅρπαξ καὶ ὁ ἀπὸ χειρὸς ἁρπάζων ἐνέχεται τῇ κλοπῇ. ὡς βι. δ΄ τί. β΄ διγ. δ΄.[62]

να΄. Κἂν πολλοὶ ἅμα κλέψωσι μία νομίζεται εἶναι ἡ κλοπή. ὡς βι. β΄ τί. α΄ διγ. θ΄.

νβ΄. Καὶ ὁ πατρυιὸς καὶ ἡ μητρυιὰ κλέπτουσα τὰ τῶν προγόνων αὐτῶν πράγματα τῇ φύρτῃ κατέχεται.[63]

νγ΄. Ἐαν παρά τινι γνωσθῶσι τὰ κλαπέντα, ὀφείλει ἐκεῖνος δοῦναι αὐτὰ μὴ λαμβάνων τὸ τίμημα ὅπερ δέδωκεν ὑπὲρ αὐτῶν· ἐπεὶ καὶ κλέπτης νομίζεται.[64]

νδ΄. Ἔνθα φησὶν, ὅτι ὁ ἀναδιδοὺς τὰ κλαπέντα οὐκ ἀπαιτεῖ ἃ δέδωκεν ὑπὲρ αὐτῶν τιμήματα.[65]

νε΄. Ὁ λαβὼν νομίσματα ἐφ᾽ ᾧ ἀποφέρειν ἄλλῳ, εἰ ἀποκρύψει αὐτὰ ἢ παρακρατήσει τινὰ ἐξ αὐτῶν ἢ χρήσηται αὐτοῖς, ὡς κλέπτης κατέχεται.[66]

νς΄. Ἐὰν διαλύσηταί τις ἐπὶ τῇ φύρτῃ, οὐκέτι αὐτὴν κινεῖ. εἰ δὲ μέρος λάβοι τῶν κλαπέντων αὐτῷ πραγμάτων, δύναται κινῆσαι τὴν φύρτη ἐπὶ τοῖς λοιποῖς. — ση. Καὶ ἐπὶ ἐγκλήματος

ἀπολόμενα ὑπόκειται ἀναλήψει τουτέστιν ἀναδίδωσιν αὐτό. ὡς βι. δ΄ τί. ν΄ τοῦ κώδ. (Cod. 4, 7, 6?). [55] Cf. Dig. 47, 2, 48 § 3. [56] Dig. 48, 15, 2 § 3. [57] Dig. 47, 2, 82 § 3. [58] Alii ἀγάγει. [59] Cf. Cod. 3, 41, 1. [60] Cf. Cod. 6, 1, 1. [61] Dig. 48, 13, 13. [62] Lege ιδ΄, scil. § 12. [63] Cod. 6, 2, 11. [64] Theod. Cod. 6, 2, 2. [65] Cf. Cod. 3, 32, 23. [66] Cod. 6, 2, 7.

καλῶς διαλύεται ἕκαστος, δηλονότι χωρὶς χρημάτων.[67] — Ὁ νεμόμενος βόνα φίδε τουτέστι καλῇ πίστει ἀλλότριον δοῦλον κατέχεται τῇ νοξαλίᾳ καὶ τῇ φύρτῃ κλέψαντος ἐξωτικόν. εἰ δὲ αὐτὸς κλαπῇ ὑπ᾽ αὐτοῦ τοῦ οἰκέτου, οὐ κινεῖ τὴν νοξαλίαν κατὰ τοῦ ἀληθοῦς αὐτοῦ δεσπότου, εἰ μὴ ἄρα μετὰ τὸ ἐκπεσεῖν αὐτὸν τῆς νομῆς ἐκλάπη ὑπ᾽ αὐτοῦ.[68]

νζ΄. Οἱ ἀπελεύθεροι ἀνδραποδίζοντες τυπτόμενοι καὶ κουρευόμενοι χειροκοπείσθωσαν.[69] ἀπαγορεύει ἡ διάταξις ἀμφοτέρας τὰς χεῖρας ἢ τοὺς πόδας ἀποτέμνεσθαι.[70]

νη΄. Ὁ κλέψας τὸ τῷ θεῷ μὲν ἑτοιμασθὲν, μήπω δὲ ἀφιερωθὲν, κατέχεται τῇ φύρτῃ καὶ οὐ τῇ ἱεροσυλίᾳ.[71]

νθ΄. Τοὺς ἐν οἱᾳδήποτε πόλει κλέπτοντας ἅπαξ μὲν τοῦτο ποιοῦντες τυπτέσθωσαν· εἰ δὲ εὔποροί εἰσιν, πρὸς τῇ ἀποκαταστάσει τοῦ κλαπέντος πράγματος διπλὴν ποσότητα καταλείψῃ τῷ τὴν κλοπὴν ὑπομείναντι. ἐκ δευτέρου δὲ διαπραττόμενοι ἐξοριζέσθωσαν. εἰ δὲ καὶ τρίτον φωραθῶσιν τοιοῦτό τι κατατολμῶντες, χειροκοπείσθωσαν.[72]

ξ΄. Περὶ ἱεροσύλων. — Ἱερόσυλοι δὲ εἰσὶν οἱ τὰ δημόσια [ἢ] ἱερὰ συλοῦντες. οἱ δὲ ἀπὸ ἰδιωτικῶν ἢ. μικρῶν ἢ ἀφυλάκτων κλέπτοντες πλέον μὲν τῶν κλεπτῶν, ἧττον δὲ τῶν ἱεροσύλων τιμωροῦνται.[73]

ξα΄. Κατέχεται καὶ ὁ δημόσια χρήματα λαβὼν εἴς τινα χρείαν καὶ μὴ δαπανῶν αὐτά.[74] ὁμοίως καὶ ὁ ἀπὸ μισθώσεως ἢ ἀγορασίας καὶ τοὺς λόγους τῆς εὐθηνίας χρεωστῶν.[75] καὶ ὁ ἱερὰ ἢ ῥεληγιόσα χρήματα λαμβάνων ἢ τὰ δωρηθέντα θεῷ.[76] καὶ ἱερόσυλοι καὶ λησταὶ καὶ ἀνδραποδισταὶ πρὸς τὸ ποιὸν τοῦ ἁμαρτήματος ἐξστραορδίνως τιμωροῦνται.[77]

ξβ΄. Ἡ τοῦ ἱεροσύλου ποινὴ ἀπὸ τῆς ποιότητος τῶν προσώπων καὶ τοῦ ἁμαρτήματος καὶ τοῦ καιροῦ καὶ τῆς ἡλικίας καὶ τῆς φύσεως ἢ βαρυτέρα ἢ ἐλαφροτέρα ἐπιφέρεται. τινὲς μὲν γὰρ θηρίοις παραδίδονται, τινὲς δὲ καίονται, τινὲς δὲ φουρκίζονται· μεμετρημένη δέ ἐστι τὸ θηρίοις παραδοθῆναι.[78] — ση. Τὸ ἀφελέσθαι ἀπὸ ἱεροῦ χρήματα[79] οὐκ ἔστιν ἱεροσυλία, ἀλλὰ κλοπή.[80] κἂν φθαρῇ τὸ κλαπὲν, ἐκφέρεται ἡ ἐπ᾽ αὐτῷ ψῆφος. ὡς βι. μζ τί. β΄ διγ. ν΄.[81]

---

[67] Theod. Cod. 6, 2, 13. [68] Theod. Cod. 6, 2, 21. [69] Cod. 9, 20, 15. Proch. 39, 22. [70] Proch. 39, 23. [71] Theod. Cod. 6, 2, 3. [72] Proch. 39, 54. (Ecloge 17, 11.) [73] Dig. 48, 13, 9 § 1. [74] Dig. ib. 2. [75] Dig. ib. 4 § 3. [76] Dig. ib. 4 pr. § 1. [77] Dig. ib. 4 § 2. [78] Dig. ib. 6 pr. [79] Alii πράγματα. [80] Dig. ib. 5. [81] Scil. pr.

ξγ΄. Ὁ ἐν θυσιαστηρίῳ ἐν ἡμέρᾳ ἢ ἐν νυκτὶ εἰσιὼν καὶ τῶν ἐν αὐτῷ τι ἀφελόμενος τυφλούσθω. ὁ δὲ ἔξω τοῦ θυσιαστηρίου ἀφελόμενος ἐκ τοῦ ἄλλου ναοῦ τυπτόμενος καὶ κουρευόμενος ἐξοριζέσθω.[82]

ΤΙΤΛΟΣ με΄.

Περὶ κεφαλικῶν ἐγκλημάτων καὶ περὶ φόνων ἑκουσίων καὶ ἀκουσίων καὶ περὶ εὐνουχιζομένων καὶ περὶ αἰσχρότητος.

α΄. Ὁ κατὰ σάκτου τόπου ἁμαρτάνων κεφαλικὴν ὑπομένει τιμωρίαν· ὥσπερ καὶ ὁ τοῖχον[1] διασκελίσας ἢ ἄλλως πως ὑπερβαίνων καὶ μὴ διὰ τῆς πόρτης. ὡς βι. α΄ τί. η΄ διγ. ια΄.

β΄. Ἐὰν δυνάμενος ἐπισχεῖν τὸν ἐπιόντα μοι ἀνέλω αὐτόν, τῷ κορνελίῳ ἐνάγομαι.[2] ὥσπερ καὶ ὁ τὸν ἴδιον δοῦλον ἀναιτίως φονεύων ὅμοιός ἐστι τῷ φονεύοντι τὸν ἀλλότριον δοῦλον.[3] καὶ κολάζεται ὡσαύτως καὶ ὁ ἐκδύσας ἀλλότριον οἰκέτην καὶ ἀπὸ κρύους[4] τελευτήσει.[5]

γ΄. Ὁ φονεύων τὸν ἴδιον δοῦλον προσφεύγοντα μεθ' ὅπλων αὐτῷ ἐπερχόμενον οὐκ εὐθύνεται.[6]

δ΄. Τὸν κλέπτην ὅπλον ἐπιφερόμενον ἀκινδύνως ἀναιρεῖ αὐτόν τις, ὁμοίως καὶ τὸν ἐν νυκτὶ μετὰ ἀκοντίου κλέπτοντα[7], διὰ τὸν κανόνα τὸν λέγοντα ὁ τὸν ἐπελθόντα φονεύσας ἐν ᾧ περὶ τὴν ζωὴν ἐκινδύνευεν ἀνεύθυνός ἐστιν. ὡς βι. θ΄ τοῦ κώδ. τί. ις΄ διατ. α΄[8], ἔνθα εἴρηται καὶ πάντα λῃστὴν ἀδεῶς τις φονεύει.

ε΄. Ἀνευθύνως ἕκαστος φονευέτω τὸν νυκτερινὸν κλέπτην κἂν στρατιώτης ἐστίν. — ση. Ἐν τοῖς κινδύνοις ὀφείλει πᾶς ἄνθρωπος ἑαυτῷ βοηθεῖν καὶ μὴ τὴν ἐκ τῶν νόμων ἀναμένειν βοήθειαν. ὡς βι. γ΄ τί. κζ΄ διατ. [α΄] τοῦ κώδ.

ς΄. Τὸν κατὰ πατρίδος ἐπιόντα ἀκινδύνως τὶς ἀναιρεῖ, καὶ ἔπαθλον ἀξιοῦται ὁ τοῦτο ποιῶν.

ζ΄. Ἡ ἐξεπίτηδες ἐκτρώσκουσα φονεύειν πιστεύεται τὸ ἐγκυμονούμενον.[9] ὥσπερ καὶ ὁ ποιῶν ἀμβλῶναι γυναῖκα[10] καὶ

---

[82] Dig. 48, 13, 11 § 1. [1] F τεῖχος. [2] Dig. 9, 2, 5 pr. [3] F οἰκέτην. [4] F κρυμοῦ. [5] Dig. 19, 5, 14 § 1. [6] F ὡς βι. ιβ΄ τοῦ κώδ. τί. με΄ διατ. ις΄. Non quadrat: potius est Cod. 1, 12, 4. [7] Dig. 47, 2, 54 § 2. [8] Potius β΄ et δ΄. [9] Dig. 47, 11, 4. [10] Dig. 48, 19, 38 § 5.

ὁ ὀφείλων θρέψαι τὸ τεχθὲν καὶ μὴ τρέφων αὐτὸ, καὶ ὁ ἐκτιθέμενος βρέφος.[11]

η'. Ὁ τὸ νήπιον φονεύσας τιμωρεῖται καὶ φόνῳ ὑπόκειται.[12]

θ'. Ὁ ὑποδεξάμενος ἢ κρύψας φονέα ὡς φονεὺς τιμωρεῖται.[13]

ι'. Ὁ ἐπὶ μοιχείᾳ καταληφθεῖσαν γυναῖκα φονεύων ἀνὴρ συγγινώσκεται.[14] τοῖς ὑπουργοῖς ἢ μετόχοις φόνου γενομένοις, εἰ καὶ ἄνηβοί εἰσιν, ἐνθύνται[15] δὲ ὅμως τῆς τῶν πραττομένων ἀτοπίας, οὐ συγγινώσκονται.[16]

ια'. Ὁ φονεύων ἑκουσίως οἵας ἂν ᾖ ἡλικίας ξίφει τιμωρείσθω.[17]

ιβ'. Ὁ ἐντειλάμενός τινι φονεῦσαι φονεύς ἐστιν.[18] ὡς βι. μγ' τί. ις'[19], ὅτι οὐ διαφεύγει τὴν τοῦ φόνου τιμωρίαν ὁ κατὰ κέλευσίν τινος ἕτερον φονεύων. — Ὁ πατὴρ τῆς μοιχευθείσης ἐὰν αὐτὴν ἀνελὼν φείσηται τοῦ μοιχοῦ ἢ τὸν μοιχὸν ἀνελὼν φείσηται αὐτῆς, τῷ δε σικάριις ὑπὲρ τοῦ ἀναιρεθέντος ἐνάγεται. εἰ μὴ ἄρα αὐτοὺς μὲν τοὺς δύο ὁμοίως ἔπληξεν, εἰ δὲ αὐτὸς[20] παρ' ἐλπίδας ἔζησεν, οὐκ ἐνάγεται.[21]

ιγ'. Ἐὰν ἐν μάχῃ μετὰ χειρὸς τύψῃ τὶς καὶ φονεύσει, τυπτόμενος ἐξορίζεται. [21]

ιδ'. Μάχης μεταξύ τινων γινομένης ἐὰν συμβῇ θάνατος προελθεῖν, τηρείτωσαν τὰ ὄργανα οἱ ἀκροαταὶ δι' ὧν ἐπράχθη ὁ θάνατος, καὶ εἰ μὲν εὕρωσι διὰ ξύλων τελείων ἢ λίθων μεγάλων ἢ λακτισμάτων τὸν φόνον γινόμενον, χειροκοπείσθωσαν· εἰ δὲ ἐλαφροτέρων, τυπτέσθωσαν καὶ ἐξοριζέσθωσαν.[22]

ιε'. Ὁ μετὰ ξίφους πλήττων τινὰ ἐὰν φονεύσῃ, ξίφει τιμωρείσθω· εἰ δὲ ὁ πληγεὶς οὐ τελευτήσει, ὁ τὴν πληγὴν δεδωκὼς χειροκοπείσθω, διότι ὅλως μετὰ ξίφους δοῦναι ἐτόλμησεν.[23]

ις'. Ὁ εἰς βλάβην ἀνθρώπων δαίμονας ἐπικαλούμενος θηρίοις παραδιδόσθω, εἰ μὴ κατὰ ἄγνοιαν τοῦτο πράξει.[24]

ιζ'. Ἐὰν γυνὴ λαβοῦσα χρήματα παρὰ τῶν ἰνστιτούτων[25] κληρονόμων ἐπὶ τὸ ἀμβλῶναι τὸν ἐγκυμονούμενον παρ' αὐτῆς ἰνστιτοῦτον ὄντα κληρονόμον, καὶ διά τινος φαρμακίας ἐκτρώσει, κεφαλικῶς τιμωρεῖται.[26]

---

[11] Dig. 25, 3, 4. [12] Cod. 9, 16, 8. [13] Dig. 29, 5, 3 § 12. [14] Dig. 29, 5, 3 § 3. [15] ἤσθηνται? [16] Dig. 29, 5, 14. [17] Proch. 39, 79. [18] Dig. 48, 8, 15 § 1. [19] Innuit dig. 1 § 13. [20] εἷς δὲ αὐτῶν? [21] Proch. 39, 84. [22] Proch. ib. 83. [23] Proch. ib. 82. [24] F ὡς βι. θ' τοῦ κώδ. Scil. 18, 6. [25] Imo ὑποκαταστάτων. [26] Dig. 48, 19, 39.

ιη΄. Ὁ φάρμακα ἀντὶ ἰατρείας δόλῳ δεδωκὼς ὑπόκειται τὸ ἔργον[27] ὡς αἰτίαν θανάτου παρασχών· καὶ ὁ προπετῶς δοὺς φάρμακον.[28]

ιθ΄. Ἰατρίνη εἰ μὲν τῇ δούλῃ δῷ φάρμακα, ἡ δὲ λαβοῦσα τελευτήσει, χρᾶται τὸ ἔργον.[29] εἰ δὲ χερσὶν οἰκείας ἡ ἰατρίνη τὸ φάρμακον ἐπιδέδωκεν, ὁ ἀκουίλιος ἁρμόζει. ὡς ὅτε τὶς ἀλείψει τινὰ φάρμακον ἢ ἐμβάλῃ αὐτὸ διὰ στόματος ἢ κλυστῆρος βίᾳ ἢ συμβουλῇ. ὡς βι. θ΄ τί. β΄.[30]

κ΄. Οἱ ἐπὶ τὸ ἐκτρῶσαι παρέχοντες πόμα ἢ ἐρωτικὸν, εἰ καὶ μὴ κατὰ δόλον τοῦτο ποιοῦσιν, ἐπειδὴ κάκιστόν ἐστι τὸ ὑπόδειγμα, εὐτελεῖς μὲν ὄντες μετάλλῳ παραδίδονται, σεμνότεροι δὲ εἰς νῆσον ἐξορίζονται, δημευόμενοι εἰς μέρος. εἰ δὲ ἐκ τούτου τελευτήσει ἡ γυνὴ ἢ ὁ ἀνὴρ, τὴν ἐσχάτην ὑπομένουσι τιμωρίαν.[31]

κα΄. Τῷ περὶ ἀνδροφόνων νόμῳ κατέχεται καὶ ὁ διὰ τὸ φονεῦσαι ἄνθρωπον φάρμακον ποιῶν ἢ πιπράσκων ἢ ἔχων. εἰ καί τις κακῷ λογισμῷ δώσει γυναικὶ συλληπτικὸν καὶ ἀποθάνῃ ἡ συλλαβοῦσα, δημεύσεως ἐσχάτης τιμωρεῖται καὶ ἐξορίζεται. ὁ δὲ πιμεντάριος προπετῶς διδοὺς τὸ κόνειον ἢ σαλαμάνδραν ἢ ἀκόνιτον ἢ πιτυοκάμπην ἢ μανδραγόραν ἢ κανθαρίδα κατέχεται τῷ δε σικάρις.[32] — σῃ. Ὁμοίως καὶ ὁ δεδωκὼς πόμα πρὸς φίλτρον κἂν χωρὶς δόλου μεταλλίζεται, τίμιος δὲ ὢν ἐξορίζεται μετὰ μερικῆς δημεύσεως. ἐσχάτῃ δὲ τιμωρίᾳ ὑπόκειται ἐάν τις ἐκ τούτου ἀποθάνῃ.[33] — σῃ. Οὔτε δὲ τὸ ἀποτέλεσμα τοῦ θανάτου κινδυνεύεται τοῖς ἰατροῖς, οὔτε ἡ ἀπειρία αὐτῶν συγγινώσκεται.[34]

κβ΄. Οὐ δεῖ τὸν ἐξετάζοντα ὀνόματι ἐρωτᾶν, εἰ ὁ δεῖνα φόνον ἐποίησεν· τοῦτο γὰρ ὑποβάλλειν ἐστίν· ἀλλὰ τίς τὸν φόνον ἐποίησεν. ὡς βι. μη΄ τί η΄ διγ. α΄.[35]

κγ΄. Ὁ ἐπὶ πατροκτονίᾳ ἐναγόμενος διηνεκῶς ἐνάγεται.[36] τοῦτο λέγει· ὁ ἀνελὼν ἀνιόντα ἢ κατιόντα ἢ συγγενῆ πυρὶ παραδίδοται.[37] — Ὁ πατροκτόνος ῥάβδοις ᾑμαγμένοις τυπτόμενος εἰς σάκκον ἐῤῥάπτεται μετὰ κυνὸς καὶ ἀλεκτρυόνος καὶ ἐχίδνης καὶ πίθηκος[38] καὶ εἰς θάλασσαν ῥίπτεται. εἰ δὲ μὴ πλησιάζῃ ἡ θάλασσα, θηρίοις παραδίδοται.[39]

[27] I. e. in factum actioni. [28] Dig. 9, 2, 7 § 6 et dig. 8 pr. [29] Lege χώρα τῇ ἰν φάκτουμ. [30] Scil. dig. 9 pr. § 1. [31] Dig. 48, 19, 38 § 5. [32] Dig. 48, 8, 3 pr. § 2. 3. [33] Dig. 48, 19, 38 § 5. [34] Dig. 1, 18, 6 § 7. — E laudat βι. μγ΄ τί. γ΄ διγ. λβ΄. [35] Scil. § 21. [36] Dig. 48, 9, 10. [37] Proch. 39, 35. [38] F πιθήκου. [39] Dig. 48, 9, 9 pr.

κδ΄. Οἱ πατροκτόνοι πάντοτε κατηγοροῦνται.[40] οὐ μόνον οἱ φονεύοντες ἀλλὰ καὶ οἱ συνιστοροῦντες, καὶ ἐὰν ὦσιν ἐξωτικοὶ, τιμωροῦνται τιμωρίᾳ τῶν πατροκτόνων.[41]

κε΄. Ὁ φονεύων τὴν γυναῖκα αὐτοῦ οὐ κερδαίνει τὴν προῖκα ὡς ἐν συνεστῶτι τῷ γάμῳ τῆς γυναικὸς τελευτώσης.[42]

κς΄. Ἀδελφὸς κατὰ ἀδελφοῦ μέγα ἔγκλημα κινεῖν οὐ δύναται, ἐπείτοιγε καὶ οὐκ ἀκουσθήσεται καὶ ἐξορίᾳ ὑποβληθήσεται.[43]

κζ΄. Ὁ κατὰ μανίαν φόνον γονέων ποιῶν συγγινώσκεται· οἱ δὲ φύλακες τιμωροῦνται.[44]

κη΄. Ὁ ἀκουσίως φόνον ποιήσας ἐπὶ πενταετίαν ἐξορίζεται.[45] καὶ ὁ ἐλάττων τῶν κε΄ ἐτῶν φονεύσας ἐνάγεται ὡς φονεύς.[46]

κθ΄. Τὸν λῃστὴν ἔξεστιν ἑκάστῳ ἀκινδύνως φονεύειν.[47]

λ΄. Ὁ κατὰ τῆς σωτηρίας τοῦ βασιλέως μελετήσας φονεύεται καὶ δημεύεται.[48]

λα΄. Εἴ τις τὸν ἴδιον οἰκέτην ῥάβδοις ἢ λώροις τύψῃ καὶ ἐκ τούτων συμβῇ ἐκεῖνον τελευτῆσαι, οὐ κατακρίνεται ὡς ἀνδροφόνος. εἰ δὲ ἀμέτρως αὐτὸν ἐβασάνισεν, ὡς φόνον πεποιηκὼς τιμωρεῖται.[49]

λβ΄. Ὁ σκοπὸν ἐσχηκὼς τοῦ φονεῦσαι, κἂν μὴ φονεύσῃ, ἀλλὰ τραυματίσῃ, φονεύς ἐστιν. ὁμοίως καὶ ὁ μὴ φονεῦσαι θελήσας ἐὰν φονεύσῃ, οὐκ ἔστι φονεύς. ἡ δὲ διάθεσις ἐκ τοῦ πλήξαντος ὀργάνου κανονίζεται.[50]

λγ΄. Ἀκινδύνως τὶς φονεύει τὸν βιαζόμενον αὐτὸν ἢ τοὺς αὐτὸν πρὸς ἀσέλγειαν ὠθοῦντας. εἰ δὲ καί τις τὴν ἑαυτοῦ γαμετὴν συλλαβὼν μοιχευομένην φονεύσῃ, εὐτελὴς μὲν εἰς ἐξίλιον πέμπεται, εἰ δὲ καὶ τίμιός ἐστι, προσκαίρως ἐξορίζεται.[51]

λδ΄. Ὁ διὰ ἡδονὴν ἢ δι᾽ ἐμπορείαν εὐνουχίσας τινὰ, ἐπὶ μὲν τῶν ἐντίμων δεπορτατίων ἐστὶν καὶ τελεία δήμευσις, ἐπὶ δὲ τῶν εὐτελῶν ξίφει καὶ θηρίοις ὑποβάλλεται.[52]

λε΄. Ὁ δεδωκὼς δοῦλον εἰς τὸ εὐνουχισθῆναι δημεύεται εἰς τὸ ἥμισυ τῆς ὑποστάσεως αὐτοῦ. εἰ δὲ δοῦλός ἐστιν ὁ εὐνουχίσας, κεφαλικῶς τιμωρεῖται· καὶ ὁ ἰατρὸς ὁ ἐκτεμὼν καὶ ὁ

---

[40] Dig. 48, 9, 10. [41] Dig. ib. 6. — W: κἂν ἀξιωματικοὶ τιμωρίᾳ τῶν πατρ. ὑπόκεινται. [42] Dig. 24, 3, 10 § 1. [43] Cod. 9, 1, 13. [44] Dig. 48, 9, 9 § 2. [45] Dig. 48, 8, 4 § 1. [46] Cod. 9, 16, 6. [47] Cod. ib. 4. [48] Cod. 9, 8, 5. Proch. 39, 10. [49] Cod. 9, 14. Proch. 39, 85. [50] Dig. 48, 8, 1 § 3. [51] Dig. 48, 8, 1 § 4. 5. [52] Dig. eod. 3 § 4. 5.

Bas. 60, 39, 1, 4.

ἑαυτὸν ἑκουσίως εἰς ἐκτομὴν δεδωκώς. τὰ αὐτὰ πάσχουσι καὶ οἱ θλιβίας ποιοῦντες.[53]

λς'. Ὁ συμβουλεύων παιδὶ ἢ γυναικὶ αἰσχρότητα ἢ ὑπονοθεύων ἢ ἀφελὼν τὸν ἀκόλουθον ἢ διδοὺς ἐπὶ αἰσχρότητι δῶρα, πραχθέντος μὲν τοῦ ἁμαρτήματος κεφαλικῶς κολάζεται, μὴ πραχθέντος δὲ δεπορτατεύεται. καὶ ὁ ὑποφθείρας[54] ἀκόλουθος ἄκρως τιμωρεῖται.[55]

λζ'. Ὁ περὶ αἰσχρότητος φόβος μείζων ἐστὶ τοῖς καλοῖς ἀνθρώποις τοῦ περὶ θανάτου κινδύνου, τυχὸν ἵνα μὴ ὑπομείνῃ στοῦπρον. εἰ δὲ διὰ τοὺς παῖδας τοὺς ἑαυτοῦ ἑαυτὸν δέδωκέν τις ἑτέρῳ. μᾶλλον γὰρ περὶ τῶν παίδων οἱ γονεῖς ἢ περὶ ἑαυτῶν εὐλαβοῦνται τῇ περὶ τοὺς παῖδας διαθέσει εὐλαβούμενοι.[56]

λη'. Ὁ διὰ θυσιῶν μαντευόμενος καιέσθω, ὁ δὲ μετακαλεσάμενος αὐτὸν ἐν τῷ ἰδίῳ οἴκῳ δημευέσθω καὶ ἐξοριζέσθω.[57]

λθ'. Ὁ μάγος κἂν μηδὲν ποιῶν ἐξ αὐτοῦ τοῦ εἰδέναι κολάζεται.[58]

μ'. Οἱ μάγοι θηρίοις παραδιδόσθωσαν.[59]

μα'. Οἱ ἐν κωνσταντινουπόλει ὁπωσοῦν μαντευόμενοι εἰ καὶ ἀξιωματικοί εἰσιν ἐν ξύλῳ ἀναρτάσθωσαν καὶ ξεέσθωσαν.[60]

μβ'. Ἡνίοχος ἢ τοιοῦτος γόητι κολλώμενος ἐσχάτως τιμωρεῖται.[61]

μγ'. Μηδεὶς ἰουδαῖος ἢ ἕλλην ἢ αἱρετικὸς ἀνδράποδον ἐχέτω, εἰ δὲ ἔχῃ καὶ περιτέμῃ αὐτὸ, ἐλευθεροῦται, αὐτὸς δὲ κεφαλικῶς τιμωρεῖται.[62]

μδ'. Ἕλλην καὶ ἰουδαῖος καὶ σαμαρείτης καὶ πᾶς μὴ ὢν ὀρθόδοξος οὐ δύναται χριστιανόν ἀνδράποδον ἔχειν, ἐπεὶ καὶ αὐτὸ ἐλευθεροῦται καὶ ὁ κτησάμενος δίδωσι τοῖς πριβάτοις λ' λίτρας χρυσίου.[63]

με'. Ὁ ἐρεθίζων τοὺς πολεμίους ἢ παραδιδῶν πολεμίοις ῥωμαῖον κεφαλικῶς κολάζεται.[64]

μς'. Μηδεὶς πιπρασκέτω βαρβάροις ὅπλα εἰργασμένα ἢ ἀνέργαστα ἢ σίδηρον, ἐπεὶ κεφαλικῶς τιμωρεῖται.[65]

---

[53] Dig. eod. 4 § 2 et dig. 5. 6. [54] Lege ὑποφθαρείς. [55] Dig. 47, 11, 1 § 2. — F addit §§: Οἱ ἀκούσαντες δοῦλοι τῆς φωνῆς τοῦ φονευθέντος αὐτῶν δεσπότου καὶ μὴ βοηθήσαντες αὐτὸν τιμωροῦνται. ὡς βι. ς' τί. λε' διατ. ιβ' τοῦ κώδ. — Ὁ ἄρχων ἀπὸ θυμοῦ φονεύων ἢ ἀναίτιον ἢ ἀνάξιον κεφαλικῶς τιμωρεῖται ἢ εἰς νῆσον δεπορτατεύεται. — Reliqua desunt in F et W. [56] Dig. 4, 2, 8 § 2. 3. [57] Cod. 9, 18, 3. [58] Cod. ib. 4 [59] Cod. ib. 6. [60] Cod. ib. 7. [61] Cod. ib. 9. [62] Cod. 1, 10, 1. [63] Cod. ib. 2. [64] Dig. 48, 4, 3. [65] Cod. 4, 41, 2.

μζʹ. Καὶ ὁ τὸ νήπιον φονεύσας τιμωρίᾳ φόνου ὑπόκειται.[66]

μηʹ. Ὁ συνειδώς τινι γοητείαν καὶ κατασχὼν αὐτὸν τῇ δημοσίᾳ ὄψει παραδιδότω. εἰ δέ τις οἱοσδήποτε ἄνθρωπος συλλαβόμενος τοῦτον μὴ παραδίδωσιν, ἐσχάτην ὑπομενέτω τιμωρίαν.[67]

μθʹ. Οἱ ἐπίσημοι λῃσταὶ ἐν τοῖς τόποις ἐν οἷς ἐπλημμέλησαν φουρκίζονται, ἵνα διὰ τῆς θέας καταπτοηθῶσιν οἱ ἐγχειροῦντες τοῖς τοιούτοις, καὶ ἵνα γένηται παραμυθία τοῖς συγγενέσι τοῦ ἀναιρεθέντος.[68]

νʹ. Οἱ πρὸς τοὺς πολεμίους αὐτομολοῦντες καὶ τὰς ἡμετέρας βουλὰς ἐπαγγέλλοντες εἰς φοῦρκαν ἀναρτῶνται ἢ καίονται.[69]

ναʹ. Οἱ διδάσκοντες τὰ ἀσεβῆ δόγματα ἐσχάτην ὑπόκεινται τιμωρίαν.[70]

νβʹ. Οἱ ἀξιωθέντες τοῦ ἁγίου βαπτίσματος καὶ πάλιν ἑλληνίζοντες ἐσχάτῃ ὑπόκεινται τιμωρίᾳ.[71]

νγʹ. Οἱ μανιχαῖοι χριστιανοὶ γινόμενοι καὶ μετὰ ταῦτα τὰ τῶν μανιχαίων διαπραττόμενοι ἢ τοῖς τοιούτοις ἐντυγχάνοντες καὶ μὴ παραδιδόντες τοῖς ἄρχουσιν ἐσχάτῃ ὑπόκεινται τιμωρίᾳ.[72]

νδʹ. Καὶ οἱ ἀξίας ἢ στρατείας ἢ συστήματος ὄντες ὀφείλουσι φροντίζειν, μή τις αὐτῶν ἐστὶ τοιοῦτος· ἐπείτοιγε ἐὰν ἴσασιν αὐτὸν καὶ μὴ παραδώσωσιν κἂν ὀρθόδοξοι ὦσιν ἐσχάτῃ ὑπόκεινται τιμωρίᾳ.[73]

νεʹ. Οἱ μανιχαῖοι καὶ μετὰ θάνατον ἐλέγχονται. ὅτι οὐδεὶς κληρονομεῖ αὐτὸν ἐκ διαθήκης ἢ ἐξ ἀδιαθέτου, εἰ καὶ οἱ συγγενεῖς εἰσιν ὀρθόδοξοι, ἀλλ' εἰσκομίζονται τὰ πράγματα αὐτοῦ. μόνοι γὰρ οἱ παῖδες αὐτῶν ὀρθόδοξοι ὄντες κληρονομοῦσιν αὐτούς. τὰ αὐτὰ δὲ καὶ ἐπὶ τῶν δονατιστῶν.[74]

νςʹ. Ὁ ποιῶν θυσίας ἑλληνικὰς ἢ τιμῶν εἴδωλα ἢ θυσιάζων ἢ λίβανον αὐτοῖς καίων ἐσχάτῃ ὑποβάλλεται τιμωρίᾳ.[75]

νζʹ. Οἱ τοὺς νεκροὺς ἐν τοῖς τάφοις ἐκδύοντες χειροκοπείσθωσαν.[76]

νηʹ. Οἱ λεγόμενοι κτηνοβάται καυλοκοπείσθωσαν.[77]

νθʹ. Οἱ τὰ λεγόμενα ποιοῦντες φυλακτὰ τὸ δοκεῖν ἐπὶ φιλίᾳ ἀνθρώπων δημευόμενοι ἐξοριζέσθωσαν.[78]

ξʹ. Οἱ συγκλητικοὶ μὴ ἀγαγέσθωσαν ἀπεῤῥιμένας γυναῖκας,

---

[66] Cod. 9, 16, 8. [67] Cod. 9, 18, 9. [68] Dig. 48, 19, 28 § 15. [69] Dig. ib. 38 § 1. [70] Cod. 1, 5, 2. [71] Cod. 1, 11, 10.. [72] Cod. 1, 5, 16. [73] Cod. l. l. [74] Cod. ib. 15. [75] Cod. 1, 11, 7. [76] Proch. 39, 57. [77] Proch. 39, 74. [78] Proch. 39, 78.

Proch. 39, 29.

οἷον δούλην ἢ θυγατέρα ταύτης, ὁμοίως ἢ ἀπελευθέραν ἢ ταύτης παῖδα ἢ σκηνικὴν ἢ ἀργαστηριάρχισσαν ἢ θυγατέρα τούτων, ἢ πορνοβοσκοῦ ἀῤῥεναρίου θυγατέρα.[79]

ξα΄. Ὁ ἔχων βιβλία μανιχαϊκὰ καὶ μὴ φανερῶν αὐτὰ ἐπὶ τὸ καυθῆναι τιμωρείσθω.[80]

ξβ΄. Ὁ σαμαρείτης ἢ ἰουδαῖος τῆς τῶν χριστιανῶν πίστεως ἀποστῆναί τινα πειραθεὶς καὶ δημεύσει ὑποβάλλεται καὶ τὴν κεφαλὴν ἀποτέμνεται.[81]

ξγ΄. Οἱ τὸν οὐρανὸν θρησκεύοντες τοῖς κατὰ αἱρετικῶν ὑπόκεινται νόμοις, καὶ τὰ συνακτήρια αὐτῶν ἡ ἐκκλησία λαμβάνει. τὸ γὰρ ἀπᾷδον τῆς χριστιανικῆς πίστεως ἐναντίον ἐστίν.[82] — ση. Αἱρετικός ἐστιν καὶ ὁ μικρὸν ἐκκλίνων τῆς ὀρθοδόξου πίστεως.[83]

ξδ΄. Τοὺς ἐκ τῶν ῥωμαϊκῶν πρὸς τοὺς πολεμίους ἀποφεύγοντας ὡς πολεμίους ἔξεστιν ἀκινδύνως φονεύειν.[84]

ξε΄. Ἐὰν τὸν ἐν νυκτὶ κλέπτοντα φονεύσῃ τὶς, τότε ἀτιμώρητος μένει, ὅτε μὴ ἠδύνατο δίχα κινδύνου ἰδίου φείσασθαι αὐτοῦ.[85]

ξϛ΄. Ἐάν τις εἰδὼς ἐλεύθερόν τινα ἀγοράσῃ ἢ πωλήσῃ αὐτὸν ἢ δωρήσηται ἢ εἰς προῖκα δώῃ ἢ καταλλάξῃ, μιᾶς τούτων τῶν αὐτῶν ἀποδεικνομένης ὁ τοιοῦτος χειροκοπείσθω.[86]

ξζ΄. Οἱ λεγόμενοι νεωτερικοὶ καὶ θορύβους ἐν τῷ δήμῳ ποιοῦντες, εἰ μὲν ὑπομνησθέντες παρὰ τοῦ ἄρχοντος τοῖς αὐτοῖς ἐπιμείνοιεν, ἐξορίζονται. εἰ δὲ πολλοὺς θορύβους καὶ ἀταξίας ἐποίησαν καὶ πολλάκις κρατηθέντες καὶ πρότερον κολασθέντες ἐπὶ τῆς αὐτῆς ἐπέμειναν προπετείας, τυπτόμενοι διηνεκῶς ἐξορίζονται. εἰ δὲ οὐχ ὑπεμνήσθησαν παρὰ τοῦ ἄρχοντος, ῥοπαλίζονται μόνον καὶ ἀπολύονται.[87]

ξη΄. Ὁ τὸν προσφεύγοντα εἰς τὴν ἁγίαν ἐκκλησίαν ἰδίᾳ χρώμενος αὐθεντίᾳ ἀποσπάσας δερόμενος καὶ κουρευόμενος διηνεκῶς ἐξορίζεται.[88]

ξθ΄. Ὁ κατὰ τῆς σωτηρίας τοῦ βασιλέως μελετήσας φονεύεται καὶ δημεύεται.[89]

ο΄. Ὁ τὸν νήπιον φονεύσας τιμωρίᾳ φόνου ὑπόκειται. καὶ ὁ ἔλαττον τῶν κε΄ ἐνιαυτῶν φονεύσας ἐνάγεται ὡς φονεύς.[90]

---

[79] Cod. 5, 5, 7. [80] Cod. 1, 5, 16. [81] Cod. 1, 9, 18. [82] Cod 1, 9, 12. [83] Cod. 1, 5, 2. Explicit tit. 45 in H. [84] Quae sequuntur omnia ex Prochiro, tit. 39 hausta esse videntur. § 64 est Proch. 39, 3 ex Dig. 48, 8, 3 § 6. [85] Proch. ib. 4 ex Dig. cit. 9. [86] Proch. ib. 5 ex Dig. 48, 15, 4. [87] Proch. ib. 6 ex Dig. 48, 19, 28 § 3. [88] Proch. ib. 7. [89] Proch. ib. 10. Cf. supra § 30. [90] Proch. ib. 12. Cf. supra § 28. 47.

οα΄. Ὁ πλαστὴν μονήταν ποιῶν μετὰ τῶν ὑπουργησάντων αὐτῷ χειροκοπείσθωσαν. ὁ δὲ τοῦ ἀγροῦ διοικητὴς ἐν ᾧ γέγονεν ἡ πλαστὴ μονήτα, εἴτε γεωργὸς εἴτε δοῦλος εἴτε ἔνοικος ἢ καὶ ἐργαστηριακὸς, ὑπηρετήσας τῷ ἁμαρτήματι καὶ ὁ τοιοῦτος χειροκοπείσθω.[91]

οβ΄. Ὁ συκοφάντης τῇ ταυτοπαθείᾳ ὑπόκειται.[92]

ογ΄. Ἐάν τις εἰδὼς οἰκήματα ἐμπρήσῃ ἢ σωρὸν σίτου πλησίον οἰκήματος κειμένην, ἐλεγχόμενος πυρὶ παραδίδοται. εἰ δὲ ἔξω πόλεως τὸ τοιοῦτον διαπράξηται, χειροκοπείσθω.[93]

οδ΄. Οἱ πολέμιοι καὶ οἱ πρὸς αὐτοὺς αὐτομολοῦντες ξίφει τιμωρείσθωσαν.[94]

οε΄. Τὸ διὰ τῶν θυσιῶν μαντεύεσθαι κεκώλυται. ὁ δὲ τοιοῦτος ξίφει τιμωρείσθω.[95]

ος΄. Κατὰ τοῦ ἁρπάσαντος πρᾶγμα ἀπὸ ἐμπρησμοῦ ἢ καταπτώσεως ἢ ναυαγίου ἢ κατὰ τοῦ ὑποδεχομένου κατὰ δόλον τὰ τοιαῦτα πράγματα ἐντὸς ἐνιαυτοῦ εἰς τὸ τετραπλάσιον δίδοται ἡ ἀγωγὴ, μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ διπλοῦν.[96]

οζ΄. Ἐὰν ἰουδαῖος χριστιανὸν ἀνδράποδον κτήσηται καὶ περιτέμῃ αὐτὸ, κεφαλικῶς τιμωρεῖται.[97]

οη΄. Ἐὰν ἰουδαῖος τολμήσῃ διαστρέψαι χριστιανικὸν λογισμὸν, ὑπόκειται κεφαλικῇ τιμωρίᾳ.[98]

οθ΄. Οἱ ἀποστάντες ἐκ τῆς τῶν ὀρθοδόξων πίστεως καὶ αἱρετικοὶ γενόμενοι ἢ θῦσαί τινι ἐπαγγειλάμενοι οὐ δύνανται διαθέσθαι, οὔτε ἐκ διαθήκης οὔτε ἐξ ἀδιαθέτου λαμβάνειν τὶ δύναται.[99]

π΄. Ὁ ἀνελὼν ἀνιόντα ἢ κατιόντα ἢ συγγενῆ πυρὶ παραδιδόσθω.[100]

πα΄. Δοῦλος συνειδὼς καὶ συμπράττων τῇ ἁρπαγῇ τῆς ἰδίας δεσποίνης καίεται.[101]

πβ΄. Πυρὶ παραδίδονται οἱ δοῦλοι, οἵτινες τῇ σωτηρίᾳ τῶν οἰκείων δεσποτῶν ἐπεβούλευσαν. κἀκεῖνοι τιμωρείσθωσαν τῶν οἰκετῶν ἀναιρεθέντος τοῦ δεσπότου, ὅσοι τοῦ φόνου αὐτοῖ ἢ τῆς κατ᾽ αὐτοῦ ἐπιβουλῆς αἰσθόμενοι μὴ συνέδραμον, εἴτε ἐν οἴκῳ εἴτε ἐν ὁδῷ ἢ ἀγρῷ τοῦτο συνέβη.[102]

---

[91] Proch. ib. 14. Cf. supra 43, 54. [92] Proch. ib. 15 ex Cod. 9, 46, 10. [93] Proch. ib. 18 ex Dig. 48, 19, 28 § 12. Cf. supra 40, 28. [94] Proch. ib. 19 ex Dig. 49, 16, 7. [95] Proch. ib. 20 ex Cod. 9, 18, 3. [96] Proch. ib. 25 ex Dig. 47, 9, 1 pr. Cf. supra 40, 25. [97] Proch. ib. 31 ex Cod. 1, 10, 1. [98] Proch ib. 32 ex Cod. 1, 9, 18. [99] Proch. ib. 34 ex Cod. 1, 7, 4. [100] Proch. ib. 35 ex Dig. 48, 9, 1 pr. [101] Proch. ib. 36 ex Cod. 9, 13, 1 § 3. [102] Proch. ib. 37 ex Cod. 6, 35, 12.

πγ'. Ὁ διδάσκων τοὺς βαρβάρους ναῦς κατασκευάζειν κεφαλικῇ τιμωρίᾳ ὑπόκειται.[103]

πδ'. Ὁ τὸν ἐπελθόντα φονεύσας ἐν ᾧ περὶ τῆς ζωῆς ἐκινδύνευεν ἀνεύθυνος ἔστω.[104]

πε'. Οἱ ἁρπάσαντες γυναῖκα ἢ μεμνηστευμένην ἢ ἀμνήστευτον ἢ χήραν, εἴτε εὐγενής ἐστιν εἴτε δούλη ἢ ἀπελευθέρα, καὶ μάλιστα ὅτε γυναῖκές εἰσι θεῷ καθιερωμέναι, κἂν τὴν ἰδίαν τὶς μνηστὴν ἥρπασεν, εἰ μὲν μεθ' ὅπλων ἤτοι ξίφων ἢ ῥοπάλων τὴν ἁρπαγὴν ἐποιήσατο, ὁ τοιοῦτος ξίφει τιμωρείσθω, οἱ δὲ συνυπουργοῦντες αὐτοῖς ἢ συνειδότες ἢ ἑκόντες ὑποδεξάμενοι ἢ οἱανδήποτε σπουδὴν εἰσενεγκόντες τυπτόμενοι καὶ κουρευόμενοι ῥινοκοπείσθωσαν. εἰ δὲ χωρὶς οἱωνδήποτε ὅπλων τὴν ἁρπαγὴν ἐποιήσαντο, ὁ μὲν τὴν ἁρπαγὴν ποιήσας χειροκοπείσθω, οἱ δὲ βοηθήσαντες τοῖς τοιούτοις ἐν τῇ ἁρπαγῇ καὶ συνειδότες καὶ ὑπηρετήσαντες ἢ ἑκόντες ὑποδεξάμενοι ἢ οἱανδήποτε σπουδὴν εἰσενεγκόντες τυπτόμενοι καὶ κουρευόμενοι ἐξοριζέσθωσαν.[105]

πϛ'. Ὁ τὸν μοιχὸν μετὰ τῆς ἰδίας γυναικὸς ἐν συμπλοκῇ καταλαβὼν, εἰ συμβῇ αὐτὸν ἀνελεῖν, οὐκ εὐθύνεται ὡς ἀνδροφόνος. εἰ δέ τις ὡς εἰκὸς ὑποπτεύσῃ τινὰ βουλεύεσθαι τῇ τῆς ἰδίας γαμετῆς συμπαῖξαι σωφροσύνῃ, καὶ παραγγελίας αὐτογράφους τρεῖς ἐκπέμπει ἐχούσας μαρτυρίας ἀνδρῶν ἀξιοπίστων, καὶ μετὰ ταύτας τὰς τρεῖς ἐγγράφους μαρτυρίας εὕρῃ αὐτὸν συντυγχάνοντα τῇ αὐτοῦ γαμετῇ, εἰ μὲν εἰς τὸν ἴδιον οἶκον ἢ τὸν ταύτης τῆς γυναικὸς ἢ τὸν τοῦ μοιχοῦ ἢ ἐν προπίναις ἢ ἐν προαστείοις, εἶναι ἄδειαν τῷ ἀνδρὶ ταῖς οἰκείαις χερσὶ τοῦτον ἀνελεῖν, οὐδένα κίνδυνον ἐντεῦθεν εὐλαβουμένῳ. εἰ δὲ ἐν ἄλλῳ τόπῳ τὸν τοιοῦτον εὕρῃ μετὰ τῆς γαμετῆς διαλεγόμενον ἢ ἐν ἐκκλησίᾳ, οὐκ ἔλαττον τῶν γ' μαρτύρων ἀξιοπίστων συγκαλουμένων, δι' ὧν ἀποδεῖξαι δύναται ὅτιπερ αὐτὸν μετὰ τῆς αὐτοῦ γαμετῆς εὗρεν, τῷ ἄρχοντι παραδιδόναι τῷ τὰ ἐγκλήματα ἐξετάζοντι, ἐκεῖνον δὲ ταῖς ἀληθείαις γινώσκοντα μετὰ γ' ἐγγράφους διαμαρτυρίας τῇ τοιαύτῃ γυναικὶ τὸν τοιοῦτον συνευρεθέντα τὸν μὲν τοιοῦτον ἐκ μόνου τούτου τῷ τῆς μοιχείας ἐγκλήματι ὑποπεσόντα μηδεμιᾶς ἄλλης ζητουμένης ἀποδείξεως τιμωρεῖσθαι. ἄδειαν δὲ τῷ ἀνδρὶ ὡς ἂν βούληται τῆς ἰδίας γαμετῆς κατηγορεῖν καὶ κατὰ τοὺς νόμους τῷ ἐγκλήματι ὑπεξιέναι.[106]

---

[103] Proch. ib. 38 ex Cod. 9, 47, 25. [104] Proch. ib. 39 ex Cod. 9, 16, 2. Cf. supra § 4. [105] Proch. ib. 40. [106] Proch. ib. 42 ex const. CXLI (Nov. 117) c. 15 pr.

πζ'. Γυνὴ ὕπανδρος τῷ ἰδίῳ δούλῳ μοιχευθεῖσα αὐτὴ μὲν τυπτομένη καὶ κουρευομένη ῥινοκοπείσθω, ἀπελαυνομένη δὲ καὶ ἐκ τῆς πόλεως ἐν ᾗ κατοικεῖ ἐκ πάσης τῆς οἰκείας ἐκπιπτέτω περιουσίας. ὁ μέντοι μοιχεύσας δοῦλος ξίφει τιμωρείσθω.[107]

πη'. Γυνὴ μὴ ἔχουσα ἄνδρα τῷ ἰδίῳ δούλῳ μιγεῖσα, εἰ μὲν μὴ ἔχουσα παῖδας τοῦτο διαπράξηται, τυπτέσθω καὶ κουρευέσθω, καὶ ὁ τοιοῦτος δοῦλος τυπτόμενος καὶ κουρευόμενος πιπρασκέσθω καὶ ἡ τιμὴ αὐτοῦ εἰσκομιζέσθω· εἰ δὲ ἐπὶ παισὶ τοῦτο διαπραχθῇ, καὶ ἡ ὑπόστασις αὐτῆς πᾶσα κατὰ δεσποτείας τρόπον παραυτίκα τοῖς παισὶν ἀνεκποιήτως παραφυλαττέσθω, τῆς χρήσεως μόνης παρ' αὐτῆς μενούσης· καὶ ἡ τιμὴ δὲ τοῦ διαπραθέντος δούλου τοῖς παισὶν ἀνήκει.[108]

πθ'. Οἱ μοιχοὶ τυπτόμενοι καὶ κουρευόμενοι ῥινοκοπείσθωσαν. οἱ δὲ μέσοι καὶ ὑπουργοὶ τῷ τοιούτῳ ἀσεβήματι γεγονότες τυπτόμενοι καὶ κουρευόμενοι ἐξοριζέσθωσαν.[109]

ϙ' Ὁ κεχρημένος ἵππῳ ἕως ὡρισμένου τινὸς τόπου, τὸν δὲ ὁρισθέντα τοῦτον τόπον ὑπερβιβάσας τῆς ὡς εἰκὸς γενομένης ἐπ' αὐτῷ βλάβης ἢ θανάτου αὐτὸς τὸν λόγον ὑπέχει καὶ τὸ ἀζήμιον τῷ κυρίῳ τοῦ ἵππου περιποιεῖται. ἐὰν μέντοιγε ἐντὸς τοῦ ὁρισθέντος τόπου βλάβη τῷ ἵππῳ γένηται ἢ θάνατος, ἀζήμιος ὁ κεχρημένος διατηρεῖται, εἰ μὴ ἄρα ἐξ ἀμελείας ἢ ἐξ ἐπιβουλῆς τὸ περὶ τὸν ἵππον ἐξειργάσατο πάθος.[110]

ϙα'. Ὁ ἐναποκλείσας ἀλλότρια θρέμματα καὶ τροφῆς ἐνδείᾳ φθείρας ἢ ἄλλως πως ἀνελὼν εἰς τὸ διπλάσιον καταδικάζεται.[111]

ϙβ'. Κριῶν ἢ βοῶν ἢ ἵππων ἢ χοίρων ἢ ἄλλων τινῶν θρεμμάτων συνεληλυθότων, εἰ μὲν ὁ πρῶτος ἐπελθὼν τοῖς ἄλλοις ἀναιρεθῇ, ἀνεύθυνός ἐστιν ὁ τοῦ ἀνελόντος δεσπότης· εἰ δὲ ἀνεῖλεν ὁ ἐπελθών, ὑπεύθυνος γίνεται ὁ τοῦ ἀνελόντος δεσπότης, καὶ ἢ ἐκδίδωσι τὸ ζῶον τῷ δεσπότῃ τοῦ ἀναιρεθέντος ἢ τὸ ἀζήμιον αὐτῷ περιποιείτω.[112]

ϙγ'. Τὰς ἀλλοτρίας ἀγέλας οἱ ἀπελαύνοντες, ἅπαξ μὲν τοῦτο ποιοῦντες, τυπτέσθωσαν· ἐκ δευτέρου δὲ διαπραττόμενοι ἐξοριζέσθωσαν. εἰ δὲ τρίτον φωραθεῖεν τὸ τοιοῦτον κατατολμῶντες, χειροκοπείσθωσαν· τῆς ἀπελαθείσης ἀγέλης δηλονότι τῇ ἰδίᾳ δεσποτείᾳ παρ' αὐτῶν ἀποκαθισταμένης.[113]

---

[107] Proch. ib. 43. Cf. Cod. 9, 11. [108] Proch. ib. 44. [109] Proch. ib. 45. [110] Proch. ib. 50 ex Dig. 13, 6, 23. [111] Proch. ib. 51 ex Cod. 3, 35, 5. [112] Proch. ib. 52 ex Dig. 9, 1, 1 § 11. [113] Proch. ib. 56.

ϟδʹ. Ὁ ἔχων γυναῖκα καὶ πορνεύων διὰ ιβʹ ἀλλακτῶν σωφρονιζέσθω. καὶ ὁ μὴ ἔχων δὲ καὶ τῇ αὐτῇ περιπίπτων ἁμαρτίᾳ διὰ ϛʹ ἀλλακτῶν σωφρονιζέσθω.[114]

ϟεʹ. Ὁ μέντοι γυναῖκα ἔχων καὶ τῇ ἰδίᾳ δούλῃ μιγνύμενος διαγινωσκομένης τῆς πράξεως οὗτος μὲν τυπτόμενος σωφρονιζέσθω, ὁ δὲ κατὰ τὸν τόπον ἄρχων ἀναλαμβάνων τὴν δούλην ὑπὲρ ἐπαρχίαν αὐτὴν πιπρασκέτω, τῆς τιμῆς αὐτῆς τῷ μέρει τοῦ δημοσίου εἰσκομιζομένης. ὁ δὲ εἰς ἀλλοτρίαν δούλην πορνεύων, τῶν μὲν εὐπόρων ὑπάρχων, παρεχέτω ὑπὲρ τοῦ πταίσματος τῷ δεσπότῃ τῆς δούλης νομίσματα λϛʹ· εἰ δὲ ἀτελὴς εἴη, τυπτέσθω καὶ καθόσον εὐπορεῖ κατ᾽ ἀναλογίαν τῶν λϛʹ νομισμάτων διδότω.[115]

ϟϛʹ. Οἱ ταῖς μοναζούσαις ἢ ταῖς διακονίσσαις ἢ ταῖς ἀσκητρίαις ἀσελγαίνοντες ὡς εἰς τὴν νύμφην χριστοῦ τὴν ἐκκλησίαν ὑβρίζοντες ῥινοκοπείσθωσαν, αὐτοί τε καὶ αἷς προσεφθάρησαν.[116]

ϟζʹ. Ὁ τῇ ἰδίᾳ συντέκνῳ ἢ ὀνόματι γάμου ἀγόμενος ἢ ἄλλως σαρκικῶς συμπλεκόμενος ἅμα αὐτῇ ῥινοκοπείσθω, δηλονότι πρότερον ἀπ᾽ ἀλλήλων διϊσταμένων· εἰ μέντοι εἰς ὕπανδρον σύντεκτον τοῦτο διαπράττοι, ἡ μὲν ποινὴ ὡσαύτως προβήσεται, πρὸς τούτοις δὲ καὶ τυπτέσθωσαν.[117]

ϟηʹ. Ὁ μοιχείαν τῇ ἰδίᾳ συνειδὼς γυναικὶ καὶ παραχωρῶν τυπτέσθω καὶ ἐξοριζέσθω. ὁ δὲ μοιχὸς καὶ ἡ μοιχαλὶς ῥινοκοπείσθωσαν.[118]

ϟθʹ. Ὁ παρθένῳ κόρῃ μιγνύμενος, ἐκείνης μὲν προαιρέσει ἀγνοούντων δὲ τῶν γονέων, διαγινωσκομένης τῆς πράξεως εἰ μὲν θέλῃ λαβεῖν αὐτὴν εἰς γυναῖκα καὶ συναινέσωσι καὶ οἱ γονεῖς, γενέσθω τὸ συνάλλαγμα· εἰ δὲ ἓν μέρος τῶν γονέων τουτέστιν ἑκατέρου προσώπου οὐ θέλει, εἰ μὲν εὔπορός ἐστιν ὁ φθορεὺς, τῇ φθαρείσῃ κόρῃ διδότω χρυσίου λίτραν μίαν· εἰ δὲ ἐνδεέστερος εἴη, τὸ ἥμισυ τῆς αὐτοῦ ὑποστάσεως· εἰ δὲ παντελῶς εἴη ἀνεύπορος, τυπτόμενος καὶ κουρευόμενος ἐξοριζέσθω.[119]

ρʹ. Ὁ φθείρων κόρην πρὸ τῆς ἥβης ἤγουν πρὸ τοῦ ιγʹ χρόνου ῥινοκοπείσθω, διδοὺς αὐτῇ καὶ τὸ ἥμισυ τῆς ὑποστάσεως αὐτοῦ.[120]

ραʹ. Ὁ τὴν ἀλλοτρίαν μνηστὴν φθείρων, εἰ μὲν προαιρέσει

---

[114] Proch. ib. 59. [115] Proch. ib. 60. 61. — Cf. supra 42, 78. [116] Proch. ib. 62. [117] Proch. ib. 63. [118] Proch. ib. 64. [119] Proch. ib. 65. [120] Proch. ib. 67.

τῆς κόρης, ῥινοκοπείσθω· εἰ δὲ ἀπροαιρέτως, μετὰ ταύτην τὴν ποινὴν καὶ τὸ τρίτον τῆς ὑποστάσεως αὐτοῦ παρεχέτω τῇ φθαρείσῃ κόρῃ.[121]

ρβ'. Οἱ αἱμομῖκται, εἴτε γονεῖς πρὸς τέκνα εἴτε τέκνα πρὸς γονεῖς ἢ ἀδελφοὶ πρὸς ἀδελφὰς ξίφει τιμωρείσθωσαν. οἱ δὲ κατ' ἄλλην συγγένειαν πρὸς ἀλλήλους συμφυρόμενοι, τουτέστι πατὴρ πρὸς γυναῖκα υἱοῦ ἢ υἱὸς εἰς γυναῖκα πατρὸς ἤγουν μητρυὰν ἢ πατρυιὸς εἰς προγόνην ἢ ἀδελφὸς εἰς γυναῖκα ἀδελφοῦ ἢ θεῖος εἰς ἀνεψιὰν ἢ ἀνεψιὸς εἰς θείαν ἢ εἰς δύο ἀδελφὰς ἢ εἰς μητέρα ξένην καὶ τὴν αὐτῆς θυγατέρα ἐν εἰδήσει μιγνύμενος, οἱ τοιοῦτοι τυπτόμενοι ῥινοκοπείσθωσαν, αὐτοί τε καὶ αἷς συνεφθάρησαν.[122]

ργ'. Ὁ δύο γυναῖκας ἔχειν πειραθεὶς, οὐ νόμῳ ἀλλὰ φάκτῳ καὶ προαιρέσει, καλῶς ὑποστήσεται τὸ τῆς μοιχείας ἔγκλημα. ἡ δὲ δεύτερον αὐτῷ γαμηθεῖσα, εἰ ἠγνόει αὐτὸν ἔχειν νόμιμον γαμετὴν, συγγνωσθήσεται.[123]

ρδ'. Ἐὰν γυνὴ ἔγκυος γένηται καὶ ἐπιβουλεύσῃ τῇ ἰδίᾳ γαστρὶ πρὸς τὸ ἐκτρῶσαι, τυπτομένη ἐξοριζέσθω.[124]

ρε'. Οἱ πρὸς γάμον συναπτόμενοι ἢ ἄλλως σαρκικῶς συμπλεκόμενοι ἐξάδελφοι καὶ οἱ ἐξ αὐτῶν τικτόμενοι παῖδες καὶ μόνον, ἢ πατὴρ καὶ υἱὸς πρὸς μητέρα καὶ θυγατέρα ἢ ἀνεψιὸς εἰς τὴν γενομένην τοῦ θείου αὐτοῦ γυναῖκα ἢ [θεῖος] τοῦ ἀνεψιοῦ, πρὸς τῷ χωρισμῷ καὶ τυπτέσθωσαν.[125]

ρϛ'. Οἱ ἀσελγεῖς ὅ τε ποιῶν καὶ ὁ πάσχων ξίφει τιμωρείσθωσαν, εἰ μὴ ἄρα ὁ πεπονθὼς ἔλαττον εἴη τῶν ιβ' χρόνων· τότε γὰρ τὸ ἐνδεὲς τῆς ἡλικίας αὐτοῦ τῆς τοιαύτης αὐτὸν ἀπαλλάττει ποινῆς.[126]

ρζ'. Εἴ τις ἐλεύθερος ἢ δοῦλος ἐπὶ οἱαδήποτε προφάσει δώσει ποτὸν, εἴτε γυνὴ ἀνδρὶ εἴτε ἀνὴρ γυναικὶ εἴτε δούλη δεσπότῃ, καὶ διὰ τῆς τοιαύτης προφάσεως ἀσθενείᾳ περιπέσῃ ὁ τὸ ποτὸν πιὼν καὶ συμβῇ αὐτὸν ἐκ τούτου καταῤῥεῦσαι καὶ ἀποθανεῖν, ξίφει τιμωρείσθω.[127]

ρη'. Οὔτε infans *τουτέστιν ἑπταετὴς οὔτε μαινόμενος φονεύων ὑπόκειται θανάτῳ.*[128]

---

[121] Proch. ib. 68. [122] Proch. ib. 69. [123] Proch. ib. 70. [124] Proch. ib. 71. [125] Proch. ib. 72. [126] Proch. ib. 73. [127] Proch. ib. 77. [128] Proch. ib. 80.

Τί. μθ'.*) Περὶ μοιχείας καὶ ἁρπαγῆς γυναικῶν καὶ περὶ πόρνων καὶ πορνοβοσκῶν. βι. μη'.

1. Ὁ ἀνὴρ προαγωγὸς τῆς γυναικὸς αὐτοῦ γενόμενος οὐ δύναται περὶ μοιχείας κατηγορεῖν αὐτῆς. βι. μη' τί. ε' διγ. α'.

2. Ὁ ἀνὴρ προτιμᾶται τοῦ πατρὸς τῆς γυναικὸς εἰς τὸ κινῆσαι τὸ ἔγκλημα, κἂν πρῶτος ὁ πατὴρ ἐνεγράψατο, ὡς διγ. α'[1]. ση. τότε προτιμᾶται ὁ ἀνὴρ τοῦ πατρός, ὅτε μὴ ἐλέγχεται ἢ ἄτιμος ἢ συμπαίζων τῇ γυναικί, τουτέστιν ὀρχούμενος.[2]

3. Ὁ γαμῶν τὴν ὑπὸ πολλῶν [ἀφανισθεῖσαν] οὐ δύναται τὰ περὶ μοιχείας ἐγχείρως ἐγκλήματα κινεῖν.

4. Ἐπὶ τῷ τῆς μοιχείας ἐγκλήματι δηλατίων οὐχ εὑρίσκεται, [εἰ] μὴ ἐπὶ παραγωγῇ προσώπων βι. μη' τί. ε'.[3]

5. Ὁ ἐπὶ μοιχείᾳ καταδικασθεὶς καὶ ἀγαγόμενος τὴν μοιχευθεῖσαν οὐ δύναται γράφειν αὐτὴν κληρονόμον.[4] ση. ὁμοίως καὶ ὁ ἐν ταῖς ἐκκλησίαις εὑρισκόμενος· οὔτε γὰρ μοιχὸς οὔτε γυναικὸς ἅρπαξ ἔχει προσφύγιον.[5] βι. μη'.

6. Ἐὰν ὁ ἀνὴρ συσχῇ μοιχὸν [ὃν] οὐκ ἐφεῖται φονεύειν ἢ οὐκ ἐθέλει, δύναται παρακρατεῖν αὐτὸν ἐπὶ κ' ὥρας καὶ μάρτυρας ἀγαγεῖν τοὺς ὀφείλοντας ἐν τῇ κατηγορίᾳ μαρτυρεῖν.[6]

7. Ὁ τὸν μοιχὸν μετὰ τῆς ἰδίας γυναικὸς ἐν συμπλοκῇ καταλαβών, εἰ συμβῇ αὐτὸν ἀνελεῖν, οὐκ εὐθύνεται ὡς ἀνδροφόνος.[7] νεαρὰ ριδ'.

8. Ὁ τὴν γυναῖκα μετὰ ξίφους μαστίξας ἢ βάκλοις χωρὶς αἰτίας ἀρκούσης πρὸς ῥεπούδιον, ὅσον ποιεῖ τὸ τρίτον τῆς προγάμου δωρεᾶς καὶ συνεστῶτος τοῦ γάμου παρεχέτω αὐτῇ μὴ λυομένου τοῦ γάμου.[8]

9. Ἐὰν ἐπὶ πολὺν χρόνον ἀπολειφθέντα τὸν ἄνδρα πλαστῶς ἡ γυνὴ ἀκούσῃ αὐτὸν τελευτῆσαι καὶ πεισθεῖσα τῇ φήμῃ ἀδόλως ἑτέρῳ γαμηθῇ, οὐ τιμωρεῖται.[9]

10. Ἐὰν ἐν συνεστῶτι τῷ γάμῳ ἐγγράψηται τὴν γυναῖκα ὁ ἀνὴρ ὡς μοιχευομένην καὶ ἐλέγξηται, τὴν προῖκα μετὰ τὸ ῥεπούδιον καὶ τρίτον τῆς οὐσίας αὐτῆς κερδαινέτω. εἰ δὲ παίδων ὄντων, ἡ πᾶσα τῆς μητρὸς οὐσία μετὰ τῆς μητρὸς αὐτῆς[10] φυλαττέσθω. τιμωρεῖται δὲ ἡ γυνὴ μετὰ μοιχοῦ. τοῦ δὲ μοιχοῦ ἡ γαμετὴ τὴν προῖκα καὶ τὴν δωρεὰν λαμβάνει, τὴν δὲ ἄλλην οὐσίαν οἱ παῖδες μετὰ τῆς δεσποτείας τῆς δωρεᾶς. εἰ δὲ μὴ ὦσι παῖδες, τὴν οὐσίαν μόνην ὁ φίσκος λαμβάνει.[11] οἱ δὲ παῖδες ἐξ ἀλλήλων γονέων τῶν μὴ πεσόντων ἀποτρέφονται. ὥσπερ οἱ ἀνιόντες τοὺς κατιόντας οὕτως καὶ οἱ κατιόντες τοὺς ἀνιόντας πενομένους τρεφέτωσαν.[12]

11. Ὁ μοιχείαν τῇ ἰδίᾳ συνειδὼς γυναικὶ καὶ παραχωρῶν τυπτόμενος ἐξοριζέσθω· ὁ δὲ μοιχὸς καὶ ἡ μοιχαλὶς ῥινοκοπείσθωσαν.[13]

12. Καὶ ὁ λαμβάνων τι ὑπὲρ [τῆς μοιχείας] τῆς ἰδίας [γυναικὸς] καὶ ὁ διδοὺς οἶκον φίλου ἢ ἀγρὸν ἢ λουτρὸν ἐπὶ τῷ συνελθεῖν ἐν αὐτῷ καὶ βου-

---

*) Tit 49. 50 accedunt ex F.

[1] Dig. 48, 5, 2 § 8. [2] Dig. eod. dig. 3. [3] Scil. dig. 41. [4] Dig. 34, 9, 13. [5] Athanas. 10, 9 circa finem. [6] Dig. 48, 5, 25 pr. [7] Proch. 39, 42. [8] Const. CXLI (Nov. 117) c. 14. [9] Dig. 48, 5, 11 § 12. [10] μ. τ. προικὸς αὐτοῖς? [11] Const. CXLI (Nov. 117) c. 8. [12] Const. CXLI c. 7. [13] Proch. 39, 64.

λεύσασθαι περὶ μοιχείας, κἂν μὴ ἐν αὐτῷ γένηται ἡ μοιχεία, ὡς μοιχὸς τιμωρεῖται.[14]

13. Γυνὴ ἔχουσα ἄνδρα καὶ τῷ ἰδίῳ δούλῳ μοιχευθεῖσα αὐτὴ μὲν τυπτομένη καὶ κουρευομένη ῥινοκοπείσθω, ἀπελαυνομένη δὲ καὶ τῆς πολιτείας ἐν ᾗ κατοικεῖ ἐκ πάσης τῆς οἰκείας ἐκπιπτέτω περιουσίας. ὁ δέ δοῦλος ξίφει τιμωρείσθω.[15]

14. Ἡ μοιχεία καὶ τὸ στροῦπτον εἰς ἐλευθέρους· εἰς δὲ τὸν δοῦλον ἀκουΐλιος ἁρμόζει.[16]

15. Κυρίως δέ ἐστι μοιχεία ἡ τῆς ὑπάνδρου, στροῦπτον δὲ τῆς παρθένου καὶ χήρας.[17]

16. Ἐπὶ τοῦ ἐν ἀγνοίᾳ γενομένου ἰνκέστου γάμου δίδωσι συγγνώμην φύσις καὶ ἡλικία καὶ ἡ ἐπανόρθωσις τοῦ ἁμαρτήματος, καὶ μάλιστα εἰ μήπω τὶς αὐτὸν κατηγόρησε.[18] καὶ ἀφῆλιξ δὲ ἐπὶ ἀθεμίτου συγγινώσκεται ἀφιστάμενος μέντοι τοῦ ἀθεμίτου. ἐπὶ δὲ μοιχείας οὐδὲ γυνὴ οὐδὲ ἀφῆλιξ ἔχουσι παραίτησιν.[19]

17. Ὁ ἀπελεύθερος δύναται κινεῖν κατὰ τοῦ πάτρωνος τὸ μοιχικὸν, ὥσπερ ἐπὶ τῆς τραχείας ὕβρεως. φονεύειν μὲν τοῦτον ἐν τῇ μοιχείᾳ καταλαμβανόμενον οὐ δύναται, κἂν ἐξ ἐκείνων ἐστὶ τῶν προσώπων, ὧν ἐφεῖται τῷ ἀνδρὶ φονεύειν.[20]

Τίτλος ν΄. Περὶ ἀγωγῶν καὶ ἐνοχῶν καὶ περὶ ἐγκλήτων καὶ περὶ κανόνων.

1. Ἀγωγὴ ἡ καθ᾽ ἡμῶν μὴ ἀρξαμένη κατὰ τῶν ἡμετέρων οὐ διαβαίνει κληρονόμων.[1]

2. Τὸ συσταθὲν καὶ περαιωθὲν συνάλλαγμα οὐκ ἀνατρέπεται, εἰ μὴ τὰ δύο μέρη συναινέσωσι.[2]

3. Ἐὰν παραδώσῃ τὶς ὃ ἐπώλησε πρᾶγμα, οὐ δύναται αὐτὸ ἀναλαβεῖν· ἀλλ᾽ εἰ μὴ πληρωθῇ τὸ τίμημα, καλῶς κινεῖ περὶ αὐτοῦ τὴν ἐξ βένδιτο, καὶ οὐ δύναται τὴν πρᾶσιν ἀνατρέψαι κἂν μεταμεληθῇ, ἀλλὰ μόνον ὡς εἴπαμεν περὶ τοῦ τιμήματος κινεῖν.[3]

4. Εἰ μὴ ὁρισθῇ τὸ τίμημα πρᾶσις οὐ συνίσταται. εἰ δὲ ὁρισθῇ καὶ μὴ καταβληθῇ, συνίσταται παραδιδομένου τοῦ πράγματος. βι. δ΄ τί. λϛ΄ διατ. α΄ η΄ καὶ ιθ΄[4] τοῦ κώδ.

5. Ὁ ἐν εἰδήσει πωλῶν πρᾶγμα ἥττονος τιμήματος ἐπί τινι συμφώνῳ, ἐὰν μὴ πληρωθῇ τὰ δόξαντα, ἀναλαμβάνει ὃ ἐπώλησεν, ἀναδιδοὺς ὃ ἔλαβεν τίμημα. διατ. ϛ΄ τοῦ κώδ.[5]

6. Ἀπὸ νούδου πάκτου τουτέστιν ἀπὸ ψιλοῦ συμφώνου ἀγωγὴ οὐ τίκτεται ἀλλ᾽ οὐδὲ παραγραφὴ ἐκβάλλεται.[6]

7. Οὐκ ἐνάγεται μήτηρ ὑπὲρ υἱοῦ κἂν κατέβαλέ τι ἅπαξ ὑπὲρ αὐτοῦ.

---

[14] Dig. 48, 5, 8 § 1 et dig. 9. [15] Proch. 39, 43. [16] Dig. 48, 5, 6 pr. [17] Dig. ib. § 1. [18] Dig. ib. 38 § 7. [19] Dig. ib. § 4. [20] Dig. ib. § 9. [1] Theophil. 2, 20, 35. [2] Theod. Cod. 4, 10, 5. [3] Theod. Cod. 4, 38, 8. [4] Theod. Cod. l. l. 9. Ergo legendum τί. λη΄ διατ. η΄ καὶ θ΄. [5] Scil. libri 4 tit. 54. [6] Dig. 2, 14, 7 § 4.

ἀλλ' οὔτε ὑπὲρ ἀνδρὸς κἂν ὑπέθετο ὑπὲρ αὐτοῦ τὰ ἴδια πράγματα.[7] ση. ἐπὶ τῶν ἀγράφων δωρεῶν καὶ εἷς μόνος μάρτυς δεκτός ἐστιν.[8]

8. Ὅτι ὁ ἐκχωρηθεὶς ἀγωγὴν οὐκ ἀπαιτεῖ πλέον ὧν δέδωκεν.[9] καὶ ὅτι ὁ ἀγωγὴν ἔχων καὶ παραγραφὴν ἔχει. διγ. να΄.[10]

9. Ἐὰν ἐξέλθῃ ἀπόφασις κατὰ ἀπόντος τινὸς, γνοὺς δὲ μὴ ἐγκαλέσηται, οὐκέτι δύναται προφάσει τῆς ἰδίας ἀπουσίας τὴν ἀπόφασιν ἀνατρέπειν.[11]

10 Ἐάν τις ἐξ ἀνάγκης ἀπολειφθῇ, ἡ γενομένη κατ' αὐτοῦ ἀπόφασις οὐκ ἰσχύει.[12]

11. Ὁ κατὰ προπέτειαν ἀπολαμπανόμενος καὶ καταδικασθεὶς οὐ δύναται ἐκκαλεῖσθαι.[13]

12. Τοὺς [ἐν] ἀπουσίᾳ ἡ ψῆφος οὐ προκρίνει. εἰ δὲ κληθεὶς μὴ ὑπακούσῃ, ὑπόκειται τῇ ψήφῳ.[14]

13. Ἐὰν ἀπόφασις λεχθῇ μόνον, μὴ μέντοι γραφεῖσα πρότερον ἀναγνωσθῇ, ἄχρηστός ἐστιν, ὅτι τὰς αὐτοτελοῦς ἀποφάσεις ἀναγινώσκειν ὀφείλουσιν οἱ δικασταί.[15]

14. Ἐάν τις ἐπιδώσει ἔγκλητον ἢ ἄρχοντι ἢ τινι τῶν περιβλέπτων δικαστῶν, ς΄ μηνῶν ἐχέτω προθεσμίαν. ἐὰν δὲ μὴ καταλάβῃ ἐντὸς τοῦ ὡρισμένου χρόνου, ἐχέτω ἄλλην τριακονταμίαν ἡμέραν. ἐὰν δὲ πέσῃ ἐκ πάντων τούτων, τότε πάλιν ἄλλων εἴσω τριῶν μηνῶν προσδεχέσθω, ἀριθμουμένων ἐξ οὗ παρῆλθεν ὁ τέταρτος χρόνος τῆς ἐκκλήτου. κελεύομεν. θε΄ ξη΄ τί. β΄.[16]

15. Ση. τὸ φύσει δίκαιον καὶ χωρὶς νόμου τινὸς ἐξαρκεῖ πρὸς πίστιν τῆς ἀληθείας. ὅτι πάνυ μωρόν ἐστι τὸ προδήλως ἀμφιβάλλειν.[17]

16. Ὅσα κατὰ θερμότητα ἢ ὀργὴν γινόμενα οὐκ ἄλλως ἔῤῥωται, εἰ μὴ τῆς ὀργῆς πανσάμενος μείνῃ ἐν τοῖς αὐτοῖς.[18]

17. Τὸ φύσει χρεωστούμενον ἀπαιτεῖσθαι μὲν οὐ δύναται, καταβληθὲν δὲ οὐ ῥεπετιτεύεται. τουτέστιν εἰ καὶ νόμῳ ἀσθενεῖ, χρέος δὲ τῇ φύσει συνέστηκε, καταβληθὲν οὐ ῥεπετιτεύεται τουτέστιν οὐκ ἀναστρέφεται.[19]

18. Τί. γ΄. Ἡ τοῦ φάκτου ἄγνοια συγγινώσκεται, ἡ δὲ τοῦ νόμου ἄγνοια οὐ συγγινώσκεται.[20]

19. Ἐν τοῖς ἀμφιβόλοις τὴν ἐπερώτησιν κατὰ τοῦ ἐπερωτήσαντος ἑρμηνεύομεν. ἐπὶ δὲ τῶν ἀσαφῶν τὸ ἧττον ἐπιλεγόμεθα.[21]

Τέλος τῶν ν΄ τίτλων.

---

[7] Theod. Cod. 4, 12, 1. 4. [8] Theod. Cod. 4, 20, 9. [9] Theod. Cod. 4, 35, 22. [10] Dig. 50, 17, 156. [11] Cod. 7, 43, 3. [12] Cod. ib. 10. [13] Cod. 7, 45, 1. [14] Cod. 7, 43, 7. [15] Cod. 7, 44, 3. [16] Cod. 7, 63, 2. Itaque lege τί. ξγ΄. διατ. β΄. [17] Supra tit. 2 § 15. [18] Supra tit. 3 § 10. [19] Supra tit. 2 § 5 cum scholio β΄. [20] Supra tit. 3 § 1. [21] Supra tit. 3 § 23. 19.

BAYERISCHE STAATS-BIBLIOTHEK MUENCHEN

INDEX FONTIUM EPITOMAE

tit. XXIV sqq.

A. Institutiones.

Lib.	tit.		
I	3	§ 1. 2	— 38, 1. 2.
—	4	pr. § 1	— 38, 3—7.
—	6	§ 3	— 38, 31.
—	8	§ 2	— 42, 41.
—	11	§ 2	— 33, 57.
—	13	pr. § 1	— 36, 1. 2.
—	14	pr. § 1	— 36, 4. 5.
—	—	§ 4	— 36, 6.
—	17	pr.	— 36, 57.
—	19	fin.	— 36, 44.
—	23	pr.—§ 3	— 36, 7, 8 not. 18.
—	—	§ 2	— 36, 45.
—	—	§ 3	— 36, 46. 47.
—	—	§ 5. 6	— 36, 48.
—	24	pr.	— 36, 40.
—	25	§ 5. 6	— 36, 2. 3.
—	—	§ 17	— 36, 60. 61.
—	26	§ 4	— 36, 30.
II	7	§ 2	— 28 not. 45.
—	8		— 27, 13. 34, 24.
—	9	§ 3	— 33, 47.
—	10	§ 3. 5	— 29, 3. 4.
—	12		— 29, 31 sqq.
—	—	§ 5	— 30, 11.
—	13	§ 4	— 33, 57.
—	14	§ 5	— 33, 58—60.
—	—	§ 6	— 33, 32. 61.
—	—	§ 7	— 33, 62. 64.
—	—	§ 8	— 33, 65.
—	15	pr. § 1	— 34, 2.
—	—	§ 2	— 33, 32.
—	16	pr.	— 34, 3.
—	—	§ 7. 8	— 34, 3.
—	—	§ 9	— 34, 36.
—	17		— 28, 1—5. 30, 4.
—	19	§ 4	— 33, 55.
—	—	§ 5	— 33, 48.
—	—	§ 6	— 33, 46.
II	19	§ 7	— 33, 56.
—	20	§ 6	— 37, 87.
—	—	§ 7	— 37, 1. 87.
—	—	§ 8	— 37, 87.
—	—	§ 10	— 37, 2.
—	—	§ 11	— 37, 3.
—	—	§ 12	— 37, 88.
—	—	§ 14	— 37, 89.
—	—	§ 20	— 37, 63.
—	—	§ 32	— 37, 90.
—	—	§ 35	— 37, 91. 50, 1.
—	22		— 32, 2.
—	24	§ 2	— 38, 18.
—	25		— 32, 32. 33. 33, 2. 3.
III	1	§ 4—6	— 33, 27—29.
—	—	§ 8—10	— 33, 37. 38.
—	—	§ 12	— 33, 41.
—	—	§ 14	— 33, 39. 40.
—	2	§ 3	— 33, 30. 31.
—	—	§ 4	— 33, 25.
—	7		— 30 not. 48. 31, 1 —5. 8.
IV	1	§ 7	— 44, 5.

B. Digesta.

Lib.	tit.	dig.	
I	5	7	— 32, 3.
—	—	19	— 24, 43.
—	—	23. 24	— 24, 38.
—	8	11	— 45, 1.
—	9	9	— 33, 82.
—	10	1 § 2	— 38, 60.
—	11	1 § 2	— 34, 22.
—	12	1 § 12	— 41, 44.
—	18	6	— 45, 21.
—	18	12—14	— 44, 13.
—	18	21	— 42, 66. 70.
II	1	9	— 42, 7. 35.

BAYERISCHE STAATS-BIBLIOTHEK MUENCHEN

Lib.	tit.	dig.	
II	4	10	— 42, 8.
—	7	1 § 1	— 42, 33.
—	14	4	— 27, 1.
—	—	7 § 4	— 50, 6.
—	15	3 pr.	— 37, 9.
III	5	17	— 38, 21. 42, 73.
—	—	31 § 5	— 36, 24.
—	—	31 § 6	— 36, 38.
—	6	1 pr.	— 43, 15.
—	—	3 § 3	— 43, 7.
—	—	5 pr.	— 42, 25.
—	—	6	— 43, 15.
IV	2	1	— 34, 1. 40, 6.
—	—	8 § 2. 3	— 45, 37.
—	—	14 § 2	— 40, 6.
—	—	16 § 2	— 40, 6.
—	—	21 § 3	— 27, 40.
—	3	7 § 7	— 42, 49.
—	—	9 § 1	— 33, 66.
—	4	3 § 4	— 41, 1.
—	—	3 § 7	— 37, 91.
—	—	7 § 2	— 34, 21.
—	—	9 § 1	— 34, 28.
—	—	9 § 6	— 34, 23.
—	—	11 § 6	— 34, 23.
—	—	18 § 5	— 34, 15.
—	—	27 § 1	— 34, 26.
—	—	33	— 34, 27.
—	—	37	— 43, 9.
—	—	42	— 34, 30.
—	—	44	— 34, 6.
—	5	7 § 2	— 42, 34. 43, 27.
V	1	4	— 34, 39.
—	—	50 § 2	— 34, 29.
—	—	53 pr.	— 43, 25.
—	2	6 pr.	— 30 not. 44.
—	—	8 § 4	— 29, 22.
—	—	8 § 9	— 30 not. 44.
—	—	8 § 14	— 37, 110.
—	—	8 § 16	— 37, 10.
—	—	8 § 17	— 30, 40. 41. 38, 14. 23.
—	—	9	— 30, 41. 38, 20.
—	—	10 § 1	— 30, 36.
—	—	11	— 27, 47. 28 not. 51. 32, 22.
—	—	23 § 2	— 29 not. 19.
—	—	34	— 29 not. 18.
—	3	6	— 37, 11.
—	—	25 § 11	— 28, 47.
—	4	3	— 33, 86.
VI	1	43	— 40, 31.
—	—	67	— 43, 63.
VII	2	9	— 37, 94.
—	6	1 § 1	— 37, 96.
—	9	1 pr.	— 37, 92.
—	—	12	— 44, 23.
VIII	2	1 pr.	— 39, 77.
—	—	6	— 39, 47. 111.

Lib.	tit.	dig.	
VIII	2	10	— 39, 52. 73.
—	—	11 pr.	— 39, 28.
—	—	13	— 39, 72. 100.
—	—	15	— 39, 36.
—	—	16	— 39, 29.
—	—	17 pr.	— 39, 33. 45.
—	—	17 § 2	— 39, 31.
—	—	19 § 2	— 39, 94. 110.
—	—	20 § 6	— 39, 87.
—	—	24	— 39, 49. 50.
—	—	25 § 1	— 39, 51.
—	—	28	— 39, 71. 75. 76.
—	—	40	— 39, 44.
—	—	41 § 1	— 39, 98.
—	3	3 § 3	— 39, 73. 84.
—	—	5 § 1	— 39, 82.
—	—	6 § 1	— 39, 117.
—	—	8	— 39, 95.
—	—	20 § 1	— 39, 67. 69.
—	—	23 § 3	— 39, 66. 97.
—	—	34 § 1	— 39, 99.
—	—	35	— 39, 99.
—	4	6 § 3	— 39, 108.
—	5	8 § 5	— 39, 85. 101.
—	—	8 § 6	— 39, 107.
—	—	9 pr.	— 39, 86.
—	—	10 pr.	— 39, 88.
—	—	11	— 39, 90.
—	—	17 pr.	— 39, 102.
—	—	17 § 2	— 39, 104.
—	6	4	— 39, 113.
—	—	7	— 39, 120.
—	—	8	— 26, 50.
IX	1	3	— 42, 67.
—	2	5 pr.	— 45, 2.
—	—	5 § 1. 5	— 42, 12. 16.
—	—	7 § 6	— 45, 18.
—	—	8 pr.	— 45, 18.
—	—	9 pr. § 1	— 45, 19.
—	—	27 § 31	— 39, 91.
—	—	28	— 39, 96.
—	—	30 § 3	— 40, 29.
—	—	49 § 1	— 39, 92.
—	—	50	— 39, 93.
—	—	52 § 1	— 42, 34.
—	4	6	— 44, 29.
—	—	34	— 42, 24.
—	—	43	— 42, 40.
X	1	11	— 39, 122.
—	—	13	— 39, 119.
—	2	18 § 5	— 34, 49.
—	3	7 § 1	— 39, 66.
—	4	3 § 7	— 42, 43.
XI	3	1	— 44, 30.
—	—	5 § 4	— 42, 31.
—	7	8 pr.	— 42, 17.
—	—	14 § 6	— 40, 36.
—	—	16	— 40, 32.
—	—	21	— 40, 30.

Lib.	tit.	dig.	
XI	7	22	— 40, 34.
XII	4	9	— 27, 25.
—	5	4 § 4	— 44, 43.
—	6	38 pr.	— 34, 49.
XIII	1	4. 5	— 44, 21.
—	—	6	— 44, 9.
XIV	6	2	— 34, 39.
XV	1	23	— 42, 48.
—	—	25	— 40 not. 2.
XVI	3	1 § 38	— 42, 18.
—	3	12 § 3	— 37, 19.
XVIII	1	2 pr.	— 34, 42.
—	—	40 § 1	— 39, 83.
—	—	52	— 39 not. 56.
—	4	2 § 16	— 40, 35.
XIX	1	52 § 1	— 26, 51.
—	5	14 § 1	— 45, 2.
XX	4	8	— 41, 3.
XXII	1	3 pr.	— 32, 7.
—	2	41	— 34, 43.
—	3	29 § 1	— 33, 43.
—	4	1	— 29 not. 53.
—	—	6	— 29, 13.
—	5	14	— 29, 48.
—	—	15 § 1	— 29 not. 53.
—	—	22	— 29, 48.
—	6	9 § 5	— 32, 5.
XXIII	2	52	— 24, 35.
—	—	68	— 24, 34.
—	3	5 § 14	— 27, 44.
—	—	7 § 1	— 26, 35.
—	—	9 § 3	— 27, 48.
—	—	10 pr.	— 26, 47.
—	—	10 § 4	— 26, 49.
—	—	10 § 5	— 26, 48.
—	—	10 § 6	— 27, 4.
—	—	12 pr.	— 28, 8.
—	—	15	— 26, 49.
—	—	17 pr.	— 27, 46.
—	—	19	— 27, 11.
—	—	21	— 27, 1.
—	—	29	— 27, 19.
—	—	33	— 27, 36.
—	—	41pr.§1	— 27, 37.
—	—	47	— 26, 39.
—	—	48 pr.	— 26, 46.
—	—	49	— 27, 35.
—	—	51	— 26 not. 38.
—	—	54	— 26, 36.
—	—	55	— 27, 2.
—	—	56 § 1. 2	— 27, 6. 7.
—	—	56 § 3	— 26, 42.
—	—	59 § 2	— 42, 69.
—	—	69 § 1	— 26, 33.
—	—	69 § 4	— 27, 10. 41. 37, 34.
—	—	69 § 6	— 27, 46.
—	—	69 § 9	— 26, 52.
—	—	72 pr.	— 27, 55.
—	—	73 pr.	— 27, 39.

Lib.	tit.	dig.	
XXIII	3	76	— 27, 5.
—	—	82	— 26 not. 48.
—	4	1 § 1	— 26 not. 48.
—	—	9	— 27, 29.
—	—	11	— 27, 33.
—	—	14—16	— 27, 30.
—	—	21	— 27, 32.
—	—	26 pr.	— 27, 20.
—	—	27	— 27, 21.
—	—	28	— 28, 12.
—	—	29 pr.	— 27, 34.
—	—	30	— 27, 33.
—	—	32 pr.	— 27, 13.
XXIV	1	1	— 28, 16.
—	—	3 pr.	— 28, 16.
—	—	3 § 4	— 34, 41.
—	—	5	— 24, 39.
—	—	5 § 11	— 28, 23.
—	—	5 § 12	— 28, 14.
—	—	5 § 17	— 28, 15.
—	—	5 § 18	— 28, 23.
—	—	6	— 28, 23.
—	—	7 § 3. 5	— 28, 19.
—	—	7 § 7	— 28, 20.
—	—	7 § 8	— 37, 40.
—	—	11 § 3. 4	— 28, 21.
—	—	11 § 5	— 28, 30.
—	—	13	— 24, 5.
—	—	14	— 28, 26.
—	—	15 § 1	— 28, 27.
—	—	16	— 28, 27.
—	—	17	— 28, 22. 27.
—	—	21 § 1	— 28, 22.
—	—	32 § 1	— 32, 19.
—	—	32 § 7. 8	— 28, 24.
—	—	32 § 10. 11	— 28, 35.
—	—	32 § 14. 15	— 28, 36. 37.
—	—	32 § 16	— 28, 39.
—	—	32 § 18	— 28, 35.
—	—	32 § 20	— 28, 38.
—	—	32 § 25. 26	— 28, 55.
—	—	32 § 28	— 28, 28.
—	—	40	— 28, 40.
—	—	54	— 28, 49.
—	—	58 pr. § 1	— 28, 41. 42.
—	—	59	— 28, 43.
—	—	60. 65	— 28, 44.
—	2	4	— 24, 27.
—	—	5	— 24, 26.
—	—	8	— 24, 29.
—	—	9	— 24, 23.
—	3	5. 6.	— 26, 19.
—	—	7 § 1. 2	— 26, 17.
—	—	7 § 12	— 26, 45.
—	—	10 § 1	— 26, 18. 45, 25.
—	—	11	— 26, 18.
—	—	12—14 pr.	— 26, 26.
—	—	14 § 1	— 26, 27.
—	—	15 pr. § 1	— 26, 27.

Lib.	tit.	dig.	
XXIV	3	15 § 2	— 26, 28.
—	—	16	— 26, 28.
—	—	18	— 26, 28.
—	—	22 § 3	— 26, 20.
—	—	22 § 8	— 24, 28.
—	—	26	— 26, 29.
—	—	39	— 24, 14.
—	—	42 § 3	— 26, 21.
—	—	46	— 26, 22.
—	—	47	— 26, 23.
—	—	49 pr.	— 26, 24.
—	—	54	— 26, 25.
—	—	58	— 26, 30.
—	—	61 sqq.	— 26, 30. 38, 12.
—	—	67	— 26, 31.
—	4	4	— 27, 27.
XXV	1	1—3	— 26, 43.
—	—	16	— 26, 44.
—	2	12	— 44, 23.
—	—	17 § 3	— 44, 7.
—	3	4	— 45, 7.
—	—	5 § 9	— 24, 43.
—	—	6 pr. § 1	— 38, 44. 45.
—	6	1 § 10	— 37, 24.
XXVI	1	9	— 36, 9.
—	2	9	— 36, 10.
—	—	20	— 36, 14.
—	—	21	— 36, 14.
—	—	28 pr.	— 36, 15. 37, 25.
—	—	29	— 36, 17. 76.
—	3	1	— 29, 49.
—	—	2	— 36, 31.
—	—	8	— 36, 31.
—	—	11	— 37, 27.
—	5	7	— 27, 34. 36, 52.
—	—	14	— 36, 53.
—	—	15	— 36, 52.
—	—	20 pr. § 1	— 36, 22. 54.
—	—	21 pr. § 5. 6	— 36, 29. 79. 54. 55.
—	—	29	— 36, 60.
—	6	2	— 37, 108.
—	—	4	— 36, 56. 37, 28.
—	7	3 § 2	— 36, 34.
—	—	4 § 1	— 36, 23.
—	—	5 § 7	— 37, 29.
—	—	7 pr. § 1	— 36, 63. 64.
—	—	7 § 10	— 36, 43.
—	—	7 § 11. 12	— 36, 65.
—	—	7 § 14	— 36, 66.
—	—	12 pr.	— 36, 67.
—	—	13 § 2	— 36, 67.
—	—	14	— 36, 67.
—	—	15	— 36, 68.
—	—	18 § 1	— 36, 68.
—	—	27	— 36, 26. 73.
—	—	32 § 4. 5	— 34, 17. 26.
—	—	33 pr.	— 36, 69.
—	—	34	— 36, 35.

Lib.	tit.	dig.	
XXVI	7	39 § 3	— 34, 29.
—	—	39 § 11. 16	— 36, 70. 71.
—	—	42	— 36, 36.
—	—	43 § 1	— 36, 37.
—	—	53	— 36, 39.
—	10	3 § 16	— 36, 18. 74.
XXVII	1	2 pr.	— 36, 77.
—	—	13 § 1	— 36, 16.
—	—	17 § 1	— 36, 58.
—	3	9 § 6	— 36, 33. 41, 9.
—	—	16	— 34, 30.
—	10	3	— 36, 59.
XXVIII	1	2	— 29, 1.
—	—	5	— 29, 2.
—	—	9	— 29, 25.
—	—	11	— 29, 24.
—	—	13 § 2	— 30, 7.
—	—	15	— 30, 8.
—	—	17	— 29, 7.
—	—	18 § 1	— 30 not. 11.
—	—	19	— 30, 10.
—	—	20 pr. § 3	— 29, 41. 42.
—	—	20 § 9	— 29 not. 53.
—	—	22 pr.	— 29, 42.
—	—	22 § 6	— 29, 5.
—	—	24	— 29 not. 32.
—	—	25	— 29, 10.
—	—	27	— 29, 6. 42.
—	—	29	— 29, 30. 30, 21.
—	2	6 § 2	— 29 not. 53.
—	—	8	— 33, 4.
—	—	12	— 30, 42.
—	—	22	— 30, 38.
—	—	23 pr.	— 30, 27.
—	3	2	— 29, 38.
—	—	3 § 5	— 30, 15.
—	—	6 pr. § 3. 4	— 30, 17. 18.
—	—	6 § 6	— 29, 39.
—	—	6 § 11	— 30, 22.
—	—	13	— 33, 34.
—	4	3	— 33, 35. 38. 28.
—	5	3 § 4	— 30, 31. 34, 3.
—	—	6 § 2	— 33, 51.
—	—	9 § 8	— 33, 52.
—	—	9 § 12	— 33, 16. 37, 100.
—	—	9 § 13	— 33, 63.
—	—	27 pr. § 2	— 33, 44. 45.
—	—	31	— 33, 83.
—	—	32 § 1	— 33, 42.
—	—	35 § 3	— 37, 101.
—	—	38 § 2. 3	— 33, 54.
—	—	40	— 33, 13.
—	—	46	— 34, 48.
—	—	48 § 2	— 33, 49.
—	—	49 pr.	— 33, 53.
—	—	59 § 3	— 33, 14.
—	—	61	— 27 not. 4.
—	—	83 § 1	— 38, 31.
—	—	91	— 33, 50.

Lib.	tit.	dig.	
XXVIII	5	92	— 37, 45.
—	6	2 § 2	— 37, 42.
—	—	10 § 1	— 34, 3.
—	—	10 § 5. 6	— 33, 11. 12.
—	—	18	— 37, 80.
—	—	48 § 2	— 38, 32 not. 74.
—	7	8	— 37, 39.
—	—	10 § 1	— 37, 123.
XXIX	1	1	— 27, 17.
—	—	17 § 1	— 29, 40.
—	—	17 § 4	— 32, 31.
—	—	24	— 29 not. 19.
—	—	28	— 29, 36.
—	2	53 § 1	— 33, 32.
—	—	57 pr.	— 33, 48.
—	—	73	— 38, 43.
—	3	1 § 2	— 29, 44.
—	—	4—6	— 29, 45.
—	—	7	— 29, 47.
—	—	9	— 29, 49.
—	4	2 pr.	— 32, 17.
—	—	17	— 37, 44.
—	5	1 § 23	— 30, 32.
—	—	3 § 3	— 45, 10.
—	—	3 § 12	— 45, 9.
—	—	5 § 2	— 41, 8.
—	—	9	— 37, 50.
—	—	12	— 37, 49.
—	—	14	— 45, 10.
—	6	1 pr.	— 37, 113.
—	—	2 pr.	— 29, 43.
—	7	17	— 32 not. 46.
—	—	80	— 33 not. 38.
XXX	—	4 pr.	— 37, 107.
—	—	14 pr.	— 38, 13.
—	—	14 § 1	— 30, 30.
—	—	19 § 2	— 37, 100.
—	—	21. 22	— 37, 5. 6.
—	—	32	— 37, 81.
—	—	34 § 1. 2	— 37, 14.
—	—	38 pr.	— 37, 4.
—	—	44 § 2	— 37, 64.
—	—	50 § 3	— 37, 41.
—	—	52 pr.	— 37, 54.
—	—	55	— 29, 15.
—	—	65 § 2	— 37, 64.
—	—	92 § 1	— 37, 78.
—	—	09 pr.	— 37, 21.
—	—	110	— 37, 73.
—	—	112 § 4	— 37, 39.
—	—	112 § 1	— 37, 105.
—	—	119	— 37, 36. 38, 33.
—	—	129	— 42, 26.
XXXI	—	6	— 30, 107.
—	—	14 pr.	— 37, 37.
—	—	28	— 37, 68.
—	—	47	— 37, 15.
—	—	48 pr.	— 37, 97.
—	—	76 pr.	— 29, 18.

Lib.	tit.	dig.	
XXXI	—	76 pr.	— 38, 46.
—	—	80	— 37, 17.
—	—	89 pr.	— 37 not. 3.
XXXII	—	18	— 37 not. 14.
—	—	33 § 1	— 37, 61. 63.
—	—	37 pr.	— 37, 75.
—	—	42	— 40, 36.
—	—	49 pr.	— 37 not. 62.
—	—	52	— 37 not. 79.
—	—	60 pr.	— 37 not. 79.
—	—	61	— 37 not. 79.
—	—	62	— 37 not. 79.
—	—	64	— 37 not. 79.
—	—	65 pr. § 3. 6	— 37 not. 79.
—	—	66	— 37 not. 79.
—	—	69 pr. § 1	— 30, 28. 29.
—	—	79 § 2. 3	— 37 not. 79.
—	—	81	— 37 not. 79.
—	—	100 § 1	— 37, 59.
XXXIII	1	4	— 37, 132 not. 136.
—	—	8	— 37, 82. 133.
—	2	26 § 1	— 37, 95.
—	4	1	— 27, 19 not. 26. 28, 13. 32, 21 not. 20. 37, 22. 98.
—	—	12	— 37 not. 3.
—	5	1	— 37 not. 62.
—	—	11	— 37, 18.
—	—	15	— 37, 52.
—	7	10. 11	— 37, 131.
—	—	12 § 27	— 37, 55.
—	—	12 § 44	— 37, 129.
—	—	13. 14	— 37, 130.
—	9	4 § 2	— 37, 106.
—	10	1	— 37, 60.
—	10	10	— 37, 103.
—	22	1 § 4	— 39, 71.
XXXIV	2	1 pr.	— 37, 59. 62.
—	—	38 pr.	— 37, 60.
—	3	5	— 28 not. 51.
—	—	9	— 37, 36.
—	—	11	— 37, 70.
—	—	26	— 34, 27.
—	4	3 § 7. 11	— 37, 35. 85.
—	—	4	— 37, 35.
—	—	15. 16	— 37, 104.
—	—	18	— 37, 119.
—	—	22	— 30 not. 44.
—	—	31 § 2	— 37, 69.
—	5	9	— 37, 127.
—	—	10 pr.	— 37, 85.
—	—	10 § 1	— 38, 74.
—	—	22	— 37 not. 126.
—	9	2 § 1. 2	— 37, 111.
—	—	2 § 3	— 37, 118.
—	—	5 pr. § 1	— 30, 36.
—	—	5 § 2	— 37, 112. 114.

Lib.	tit.	dig.	
XXXIV	9	5 § 19	— 41, 19.
—	—	9	— 29 not. 37. 37, 84.
—	—	10	— 32 not. 38.
—	—	13	— 37, 116. 49, 5.
—	—	14	— 37, 67.
—	—	15	— 37, 13.
—	—	16	— 24, 39. 37, 65. 67. 115.
—	—	17	— 32, 37.
—	—	22	— 27, 20. 37, 109.
XXXV	1	3	— 37, 121.
—	—	14	— 37, 120.
—	—	37	— 29, 15.
—	—	70	— 37, 66.
—	—	71 § 3	— 37, 33.
—	—	76	— 37, 124.
—	—	83	— 30, 20.
—	—	89	— 37, 122.
—	—	102	— 37, 79.
—	2	3	— 41, 1.
—	—	9	— 32, 6.
—	—	15 § 2. 3	— 32, 9.
—	—	15 § 5. 6	— 28, 11. 32, 14.
—	—	21 § 1	— 32, 10.
—	—	25 pr.	— 32, 11.
—	—	30 pr.	— 32, 12.
—	—	32 pr.	— 42, 22.
—	—	36 pr.	— 38, 59.
—	—	47 pr.	— 37 not. 136.
—	—	56 pr.	— 32, 18.
—	—	87 pr.	— 32, 28.
XXXVI	1	5	— 27 not. 10.
—	—	12	— 34, 16.
—	—	17 § 7	— 37, 126.
—	—	50	— 37, 83.
—	—	59 § 1	— 27, 16.
—	2	22 pr.	— 37, 81.
—	3	1 § 17	— 37, 93.
—	—	1 § 20	— 37, 32.
—	4	11	— 37 not. 30.
—	—	19	— 37, 119.
XXXVII	4	8 § 6	— 30, 14.
—	5	5 pr.	— 37, 43. 76.
—	—	16	— 37, 31.
—	6	1 § 15	— 34, 38.
—	—	1 § 16	— 33, 81.
—	—	4	— 27, 49. 33, 80.
—	—	9	— 29 not. 34.
—	—	12	— 33, 77.
—	7	1 pr.	— 33, 78.
—	—	1 § 4	— 33, 75.
—	—	2	— 33, 79.
—	—	4	— 33, 80.
—	—	6	— 30, 35.
—	—	8	— 27, 42.
—	11	1 § 10	— 30, 1.
—	—	11 § 2	— 30, 12. 24.
—	14	3	— 38 not. 72.

Lib.	tit.	dig.	
XXXVII	14	7 pr.	— 38, 53.
—	—	7 § 1	— 38, 45.
—	—	8 pr.	— 34, 40.
—	—	8 § 1	— 38, 51.
—	—	23	— 38, 14. 52.
XXXVIII	2	3 § 8	— 38, 64.
—	—	8 § 5	— 34, 19.
—	—	20 § 1	— 37, 77.
—	—	33	— 38, 44.
—	—	49	— 38, 65.
—	5	1 § 19	— 28 not. 51.
—	11	1	— 33, 16.
—	16	16	— 27, 3.
XXXIX	1	1	— 39, 1—7. 38.
—	—	3 § 4	— 39, 7. 27.
—	—	4. 5	— 39, 7—9. 27.
—	—	5 § 10	— 39, 26.
—	—	12	— 39, 10.
—	—	14	— 39, 11.
—	3	1 § 1	— 39, 69.
—	—	1 § 4. 11	— 39, 12.
—	—	1 § 16	— 39, 13.
—	—	1 § 20	— 39, 14.
—	—	1 § 23	— 39, 89. 118.
—	—	2 pr.	— 39, 68.
—	—	3 § 1. 2	— 39, 15.
—	—	5 § 4—6	— 39, 17—19.
—	—	5 § 10. 11	— 39, 20. 21. 26. 32.
—	—	8 § 5—7	— 39, 24. 25.
—	—	20 § 1—4	— 39, 22.
—	—	21	— 39, 24. 70.
—	5	2 § 6	— 28, 7.
—	—	13	— 30, 5.
—	—	20 pr.	— 30, 7.
—	—	20 § 1	— 30, 5.
—	—	29 § 2	— 37, 118.
—	—	31 § 1	— 27, 48.
—	6	16	— 28 not. 51.
XL	1	4 § 1. 2	— 42, 47.
—	2	5. 7. 8	— 38, 70.
—	—	11. 12	— 38, 68.
—	—	13	— 38, 69.
—	—	24	— 38, 67.
—	4	18	— 38, 71.
—	—	23 § 1	— 38, 29.
—	—	29	— 30, 16. 40. 41.
—	—	40	— 38, 30.
—	—	47 pr.	— 30, 25. 48, 14.
—	—	54 pr.	— 38, 75.
—	—	59 pr.	— 38, 71.
—	5	24 § 11	— 30, 26.
—	—	24 § 21	— 38, 18.
—	—	38	— 38, 72.
—	—	44	— 38, 19.
—	—	45 § 1	— 38, 11.
—	—	50	— 38, 13.
—	—	51 § 12	— 24, 31.
—	—	53 pr.	— 38, 9.

Lib.	tit.	dig.	
XL	7	3 § 16	— 38, 73.
—	—	6 pr.	— 38, 49.
—	—	9 § 2	— 34, 23.
—	—	16	— 38, 49.
—	—	19	— 38, 48.
—	8	1	— 38, 51.
—	—	5	— 38, 52.
—	—	7	— 38, 53.
—	—	9	— 38, 76.
—	9	12 § 6	— 38, 61.
—	12	10. 11	— 38, 79.
—	—	24 § 4	— 38, 79.
—	—	27 pr.	— 38, 80.
—	—	28	— 38, 81.
—	—	35	— 38, 82.
—	—	38 § 2. 3	— 38, 83. 84.
—	—	39 § 1	— 43, 6.
—	13	2	— 38, 63.
—	15	2 § 1	— 34, 20.
—	23	1	— 38, 8.
XLI	2	1 § 4	— 27, 10.
—	3	4 § 29	— 39, 109.
—	—	27	— 39, 123.
—	—	45	— 38 not. 29.
—	—	50	— 38 not. 29.
—	6	4	— 28, 46.
XLII	5	17 pr.	— 40, 33.
—	—	19 § 1	— 36, 36.
—	—	31	— 36, 42.
XLIII	5	3 § 9	— 29, 20.
—	8	2 § 6	— 39, 30.
—	—	2 § 9	— 42, 5.
—	—	2 § 17	— 39, 80.
—	8	3	— 39, 37.
—	16	1 § 13	— 44, 12.
—	—	1 § 8	— 39, 48.
—	—	3 § 2	— 40, 14.
—	—	3 § 9—11	— 40, 12.
—	—	3 § 12	— 40, 15.
—	—	11	— 40, 16.
—	—	14	— 40, 17.
—	22	1 § 5	— 39, 73.
—	24	7 § 4	— 40, 26.
—	—	11 § 7	— 42, 30.
—	—	14. 15	— 38 not. 10.
—	—	20 pr. § 1	— 40, 44.
—	—	21 § 2	— 40, 44.
—	29	3 § 9	— 42 not. 103.
—	—	4 § 3	— 42 not. 103.
XLIV	2	9 pr.	— 38, 47.
—	—	17	— 40, 6.
—	—	29 pr.	— 29, 18.
—	3	10	— 41, 14.
—	4	4 § 10	— 30 not. 44.
—	—	5 § 6	— 43, 62.
—	—	9	— 43, 16.
—	—	13	— 30, 19.
—	—	17	— 27, 15.
—	7	35 pr.	— 43, 61.

Lib.	tit.	dig.	
XLV	1	16	— 37, 82. 132.
—	3	82	— 26, 21.
XLVI	1	64	— 34, 20.
—	6	4 § 3	— 36, 75.
—	—	10. 12	— 36, 75.
XLVII	1	2 § 3	— 44, 10.
—	2	1 § 1	— 44, 24.
—	—	2. 3. 6	— 41 not. 54.
—	—	14	— 44, 1. 25. 26.
—	—	16	— 44, 27.
—	—	19 § 1	— 44, 37.
—	—	21 pr.	— 44, 38.
—	—	39	— 40, 7. 42, 71.
—	—	40	— 44, 39.
—	—	43 § 4	— 44, 40.
—	—	45	— 44, 41.
—	—	47	— 44, 42.
—	—	48 § 1	— 42 not. 103. 44, 43.
—	—	48 § 3	— 44, 44.
—	—	50 pr.	— 44, 62.
—	—	50 § 2	— 44, 9.
—	—	52 § 12	— 42, 72.
—	—	52 § 14	— 44, 11.
—	—	52 § 28	— 44, 12.
—	—	54 § 2	— 45, 4.
—	—	61	— 42, 32.
—	—	82 § 2	— 42, 71.
—	—	82 § 3	— 44, 46.
—	4	1 § 15	— 44, 2.
—	—	2	— 42, 21.
—	6	1 pr.	— 42, 42.
—	8	2 § 27	— 44, 8.
—	—	4	— 42, 63. 43, 59. 60.
—	—	5	— 43, 60.
—	9	1	— 40, 24. 25.
—	—	3 § 7	— 40, 23.
—	—	3 § 8	— 41, 10.
—	—	9. 11	— 40, 28.
—	—	12 § 1	— 40, 27.
—	10	1	— 42, 1—4 not. 54.
—	—	3 § 3. 4	— 42, 6.
—	—	5 pr.	— 40, 12.
—	—	7 § 1	— 42, 14.
—	—	7 § 2	— 42, 10. 19.
—	—	9 § 3	— 42, 10.
—	—	13 pr.	— 42, 10.
—	—	15 § 34	— 42, 15.
—	—	15 § 39	— 42, 9.
—	—	17 § 6	— 42, 13. 53.
—	—	17 § 8	— 42, 39.
—	—	18 pr.	— 42, 27.
—	—	25	— 42, 68.
—	—	34	— 42, 7.
—	11	1 § 2	— 44, 36.
—	—	4	— 45, 7.
—	—	9	— 40, 45.

Lib.	tit.	dig.	
XLVII	12	3	— 40, 39. 40. 46.
—	—	4. 5	— 40, 37. 38.
—	—	11	— 40, 41.
—	14	1 § 1	— 40, 20.
—	—	3 pr. § 3	— 40, 21.
—	19	2 § 1	— 44, 22.
—	—	3	— 39 not. 56.
—	21	1. 2	— 40, 47.
—	—	3	— 40, 48.
XLVIII	1	5	— 43, 10. 12.
—	—	9	— 38, 17. 43, 24.
—	—	11	— 43, 22.
—	2	1	— 43, 17.
—	—	3	— 43, 18.
—	—	4	— 43, 10.
—	—	7 pr.	— 43, 20.
—	—	7 § 4	— 42, 40. 50.
—	—	9	— 43, 14.
—	—	10	— 43, 11.
—	—	11 § 1	— 40, 8. 43, 56.
—	—	12 § 2	— 43, 19.
—	—	17	— 43, 22.
—	3	1	— 43, 20.
—	—	2 pr.	— 43, 22.
—	—	3	— 42, 31. 43, 21.
—	—	4	— 43, 23.
—	—	14 § 7	— 44, 33.
—	4	3	— 44, 45.
—	—	7 § 3	— 42, 74.
—	5	1	— 49, 1.
—	—	2 § 8	— 40, 2.
—	—	3	— 49, 2.
—	—	6 pr. § 1	— 49, 14. 15.
—	—	8 § 1	— 49, 12.
—	—	9	— 49, 12.
—	—	11 § 12	— 49, 9.
—	—	14 § 2. 3	— 43, 8. 9.
—	—	25 pr.	— 49, 6.
—	—	27 pr.	— 42, 45.
—	—	27 § 11	— 41, 15.
—	—	29 § 5 sqq.	— 24, 47. 40, 10.
—	—	38	— 24, 35. 36. 49, 16. 17.
—	—	39 pr. § 2	— 40, 9. 10.
—	—	41	— 49, 4.
—	6	3 pr. § 5	— 40, 18.
—	—	5	— 40, 11. 18. 19.
—	—	6. 7	— 40, 11.
—	—	10 pr.	— 40, 11.
—	7	2 § 3	— 38, 57.
—	—	7	— 40, 1.
—	8	1 § 3—5	— 44, 32. 33.
—	—	1 § 21	— 44, 22.
—	—	3	— 44, 21. 34.
—	—	4 § 1. 2	— 44, 28. 35.
—	—	5. 6	— 44, 35.
—	—	14	— 42, 31.
—	—	15 § 1	— 44, 12.
—	9	6	— 44, 24.

Lib.	tit.	dig.	
XLVIII	9	8	— 29 not. 28. 41, 11.
—	—	9 pr.	— 44, 23.
—	—	9 § 2	— 44, 27.
—	—	10	— 44, 23. 24.
—	10	1 pr.—§ 6	— 43, 37.
—	—	2	— 43, 38.
—	—	3	— 43, 39.
—	—	4 § 1	— 41, 16.
—	—	6 pr.	— 43, 53. 55.
—	—	6 § 3	— 31 not. 2. 43, 46.
—	—	7	— 42, 34. 43, 27. 45.
—	—	9	— 43, 47.
—	—	12	— 43, 44.
—	—	14 § 2	— 38, 12.
—	10	20	— 43, 37. 48.
—	—	21	— 43, 47.
—	—	23	— 43, 49.
—	—	25	— 43, 49.
—	—	26	— 43, 53.
—	—	27 pr.—§ 2	— 43, 49. 51.
—	—	29	— 43, 51.
—	—	30 pr.	— 43, 49.
—	—	31	— 43, 43.
—	—	32 pr. § 1	— 43, 50.
—	11	9	— 41, 37.
—	12	1	— 43, 23.
—	13	4 pr. § 3	— 44, 61.
—	—	5	— 44, 62.
—	—	6 pr.	— 44, 62.
—	—	9 § 1. 2	— 44, 60. 61.
—	—	9 § 5	— 43, 52.
—	—	11 pr. § 1	— 44, 52. 63.
—	—	13	— 44, 49.
—	14	1	— 41, 43.
—	15	1. 2 § 3	— 38, 55. 44, 45.
—	—	4	— 38, 55.
—	—	5. 6	— 38, 56. 44, 34. 35.
—	16	1	— 43, 1. 2.
—	—	6 § 4	— 43, 5.
—	—	10 § 2	— 43, 11.
—	17	1 § 1. 2. 4	— 41, 23.
—	—	2 § 1	— 41, 21.
—	—	3	— 41, 17. 21.
—	—	4	— 41, 24.
—	—	5 pr. § 1.2	— 41, 22.
	—	11 pr.	— 41, 25.
—	18	1	— 42, 51. 60—62. 64. 43, 26.
—	—	3	— 42, 44. 52.
—	—	4	— 42, 44.
—	—	6 § 1	— 42, 59.
—	—	8 pr. § 1	— 42, 54. 59.
—	—	9 pr.	— 42, 55.
—	—	10 § 1—6	— 42, 55. 56. 38, 10.

Lib.	tit.	dig.	
XLVIII	18	11	— 42, 56.
—	—	12	— 42, 57.
—	—	14	— 38, 25.
—	—	18 § 5	— 43, 25.
—	19	14	— 42, 74.
—	—	18	— 42, 36.
—	—	20	— 42, 36.
—	—	25 pr. § 1	— 42, 37. 38.
—	—	28 § 3	— 40, 22.
—	—	28 § 15	— 45, 49.
—	—	38 § 1	— 45, 50.
—	—	38 § 5	— 44, 20. 21.
—	—	38 § 7	— 43, 58.
—	—	39	— 44, 17.
—	20	1 pr. § 1	— 41, 18. 39.
—	—	2	— 41, 39.
—	—	6	— 41, 20.
—	—	7 § 1	— 31, 9. 41, 13.
—	—	8	— 31, 9.
—	21	3 pr.—§ 6	— 41, 26. 27.
—	22	4	— 41, 40.
—	—	9. 10	— 41, 39.
—	—	13	— 41, 39.
—	—	15 pr.	— 41, 38.
—	—	16	— 41, 41.
—	—	18 § 1	— 41, 41.
—	23	1 pr.	— 41, 41.
XLIX	1	16	— 40, 19.
—	2	7	— 32, 17.
—	6	11 pr.	— 40, 19.
—	9	1 pr.	— 26 not. 56.
—	14	1 pr.	— 43, 31.
—	—	1 § 2—5	— 43, 32.
—	—	2	— 43, 8. 29. 31.
—	—	3 § 10. 11	— 43, 63.
—	—	10	— 41, 36.
—	—	11	— 41, 32.
—	—	13 pr.	— 43, 35.
—	—	13 § 7—9	— 41, 7. 43, 35. 36.
—	—	15 § 3	— 43, 34.
—	—	16	— 43, 34.
—	—	17	— 41, 32.
—	—	18 pr. sqq.	— 43, 33.
—	—	25	— 43, 36.
—	—	27	— 41, 28.
—	—	31. 32	— 41, 31.
—	—	34	— 41, 30.
—	—	37	— 41, 32.
—	—	39 pr.	— 41, 5.
—	—	43	— 41, 33.
—	—	45 pr.	— 41, 34.
—	—	45 § 10	— 41, 36.
—	—	46 § 9	— 41, 35.
—	15	12 § 9	— 38, 16.
—	16	2 § 1	— 42, 74.
—	17	3	— 34, 40.
—	—	5	— 33, 43.
—	—	16	— 27, 7.

Lib.	tit.	dig.	
L	1	15 pr.	— 42, 12.
—	2	11	— 42, 77.
—	5	2 pr.	— 42, 76.
—	—	8 pr.	— 42, 76.
—	6	5 pr.	— 42, 75.
—	7	17	— 44 not. 18.
—	10	5 § 1	— 39, 80.
—	16	27	— 39, 124.
—	—	225	— 44, 24.
—	17	45	— 27 not. 20.
—	—	47 pr.	— 43, 62.
—	—	48	— 42, 11.
—	—	82	— 28, 6.
—	—	156	— 50, 8.
—	—	157 pr.	— 42, 39.
—	—	157 § 2	— 43, 61.
—	—	175	— 43, 25.
—	—	181	— 29, 37.
—	—	211	— 42, 34. 43, 27.

C. Codex.

Lib.	tit.	const.	
I	2	19	— 28, 45.
—	—	26	— 29, 50.
—	3	22	— 43, 4.
—	—	51	— 36, 78.
—	5	2	— 45, 51. 63.
—	—	15	— 45, 55.
—	—	16	— 45, 53. 54. 61.
—	7	4	— 29, 51.
—	9	12	— 45, 63.
—	—	18	— 45, 62.
—	10	1. 2	— 45, 43. 44.
—	11	7	— 45, 56.
—	—	10	— 45, 52.
—	12	4	— 45, 3.
—	18	2	— 31, 18.
—	—	4	— 43, 57.
—	—	7	— 31, 14.
—	33	5	— 43, 64.
II	3	11	— 26 not. 56.
—	18	21	— 38, 21.
—	21	9	— 34 not. 32.
—	27	1	— 34, 10. 30. 54.
—	—	2	— 34, 8. 53.
—	28	1. 2	— 34, 5.
—	34	1	— 34, 14.
—	38	1	— 34, 26. 35.
—	—	2	— 34, 34.
—	39	2	— 34, 18.
—	40	4	— 36, 72.
—	41	2	— 34, 35.
—	42	1	— 34, 10.
—	—	3	— 34, 10.
—	43	3	— 34, 25.
—	44	3	— 34, 12.
—	47		— 34, 24.
—	50	1	— 34, 32.

Lib.	tit.	const.	
II	50	3. 8	— 34, 31.
—	52	4	— 34, 32.
—	53	3	— 34, 33.
—	—	4	— 34, 9.
III	6	1	— 36, 21.
—	21	1	— 36, 20.
—	27	1	— 45, 5.
—	28	9	— 32, 31.
—	—	13	— 29, 18. 38, 46.
—	—	14	— 30, 39.
—	29	5	— 32, 25.
—	30	1	— 27, 51.
—	31	12	— 37 not. 3.
—	32	23	— 44, 54.
—	34	1	— 39, 89 not. 47.
—	—	8	— 39, 103.
—	—	13	— 39, 63.
—	—	14	— 39, 59. 65.
—	36	4	— 33, 84.
—	36	7	— 33, 69.
—	—	14	— 33, 71.
—	—	24	— 32, 16.
—	37	4	— 34, 13.
—	39	3	— 39, 125.
—	—	6	— 39, 121.
—	41	1	— 44, 47.
—	44	10	— 40, 42.
—	—	12. 15	— 40, 43.
IV	6	9	— 38, 42.
—	7	3	— 28 not. 6.
—	—	6	— 44 not. 54.
—	8	2	— 44, 6.
—	10	5	— 50, 2.
—	—	8	— 28, 6.
—	12	1	— 50, 7.
—	—	2	— 41, 2.
—	—	4	— 50, 7.
—	19	5	— 42, 58.
—	20	9	— 50, 7.
—	35	22	— 50, 8.
—	38	3	— 28, 18.
—	—	8	— 50, 3.
—	—	9	— 28, 18. 50, 4.
—	39	1	— 41, 29.
—	41	2	— 45, 46.
—	52	7	— 30, 34.
—	54	6	— 50, 5.
—	57	2	— 38, 54.
—	65	29	— 39, 60.
V	4	15	— 24, 39.
—	5	2	— 38 not. 9.
—	—	4	— 41, 6.
—	—	6	— 37, 51.
—	—	7	— 45, 60.
—	—	8	— 24, 48.
—	9	11	— 25, 16.
—	11	1	— 27, 9.
—	—	2	— 26, 34.
—	—	3	— 27, 10.

Lib.	tit.	const.	
V	11	6	— 27, 38.
—	—	7	— 25 not. 33.
—	12	3	— 27, 38, 53.
—	—	4	— 27, 52.
—	—	5	— 26, 48 not. 48.
—	—	6	— 27, 50.
—	—	10	— 26 not. 56,
—	—	14	— 26 not. 48. 27, 50.
—	—	15	— 26 not. 56.
—	—	21	— 26, 48.
—	—	22	— 26 not. 48.
—	—	26	— 26, 40 not. 48.
—	—	29	— 27, 53. 54.
—	—	30	— 26 not 48. 27, 54.
—	—	31	— 27, 51.
—	13	1	— 25 not. 33. 26 not. 48.
—	14	2	— 27, 14.
—	—	3	— 27, 22.
—	—	5	— 27, 23.
—	—	6	— 27, 26.
—	—	11	— 27, 28.
—	16	5	— 28, 29.
—	—	7	— 28 not. 57.
—	—	8	— 28, 31.
—	—	11	— 27, 14.
—	—	14	— 28, 53.
—	—	17	— 27, 27. 28, 32.
—	—	19	— 28, 33.
—	—	21	— 28, 34.
—	—	22	— 28 not. 37.
—	—	24	— 28, 53.
—	—	25	— 28, 45.
—	17	4. 5	— 24, 25.
—	18	1	— 27, 18.
—	—	5	— 26, 32.
—	—	9	— 27, 12.
—	20	2	— 27, 2.
—	—	11	— 27, 15.
—	27	1	— 24, 45.
—	—	10	— 24, 46.
—	28	2	— 36, 11.
—	34	9	— 36, 32.
—	37	4	— 36, 25.
—	51	13	— 36, 63 not. 30.
—	62	6	— 36, 19.
—	—	24	— 36, 80.
—	—	25	— 36, 81.
—	68	1	— 36, 40.
—	69	1	— 36, 62.
—	70	7	— 36, 12.
—	71	18	— 34, 7.
—	72	3	— 34, 5.
—	74	3	— 34, 11. 12.
VI	1	1	— 44, 48.
—	—	2	— 44, 20.
—	—	3	— 44, 19.
—	—	4	— 42, 65. 44, 36.
—	—	6	— 42, 58. 44, 34.

Lib.	tit.	const.	
VI	1	8	— 42, 69.
—	2	2	— 44, 53.
—	—	3	— 44, 58.
—	—	7	— 44, 55.
—	—	11	— 44, 52.
—	—	13	— 44, 56.
—	—	21	— 44, 56.
—	3	1	— 38, 43.
—	—	2	— 38, 38.
—	—	9	— 38, 22.
—	—	13	— 44, 18.
—	4	4	— 31, 6. 10. 11. 38, 34—36. 39. 40.
—	6	6	— 38 not. 47.
—	7	2	— 38, 42.
—	—	3	— 38, 37.
—	8	—	— 31, 19.
—	9	1	— 31, 12.
—	—	2	— 31, 15. 18.
—	—	5	— 31, 13. 15.
—	—	6	— 31, 13.
—	—	7	— 31, 16.
—	11	3	— 34, 28.
—	13	2	— 31, 8.
—	14	3	— 34, 34.
—	20	2	— 33, 73.
—	—	3	— 33, 67. 68.
—	—	7	— 33, 78.
—	—	12	— 33, 70.
—	—	13	— 33, 72.
—	—	20	— 34, 46.
—	21	7	— 37, 53.
—	22	8	— 29, 8. 9. 16.
—	—	10	— 29, 30.
—	23	3	— 29, 30.
—	—	4	— 29, 26.
—	—	21	— 29, 11. 30 not. 2.
—	—	22	— 29, 23.
—	—	24	— 29, 16.
—	—	27	— 29, 16. 29. 30, 31.
—	—	30	— 29, 27.
—	—	31	— 29, 28.
—	25	9	— 33, 33.
—	26	6	— 33, 32.
—	27	1	— 33 not. 38.
—	—	3	— 24, 32.
—	—	5	— 29 not. 19. 37, 53.
—	28	4	— 32 not. 36.
—	29	1	— 30, 13.
—	—	3	— 30, 43.
—	30	16	— 33, 8. 47.
—	—	18	— 31, 13.
—	—	19	— 31 not. 18. 33, 5.
—	—	22	— 29, 19. 33, 7. 9. 37, 135.
—	31	4	— 33, 5.
—	—	6	— 33, 5. 34, 16.
—	—	19	— 33, 5.
—	32	3	— 32, 39.

Lib.	tit.	const.	
VI	35	3	— 32, 37.
—	—	4	— 32, 34.
—	—	8	— 30, 33.
—	—	12	— 32, 38. 45 not. 55.
—	36	3	— 32 not. 46.
—	—	5	— 29, 7.
—	—	7. 8	— 32, 34. 35 not. 46.
—	37	2	— 37, 136.
—	—	3	— 37, 136.
—	—	4	— 37, 53.
—	—	5	— 37, 137.
—	—	7	— 37, 7. 138.
—	—	8	— 36, 82.
—	—	9	— 37, 12. 134.
—	—	11	— 37 not. 77.
—	—	15	— 32, 18.
—	37	19	— 37, 128.
—	—	22	— 37 not. 136.
—	—	25	— 37 not. 137.
—	38	1. 2	— 37, 102.
—	—	5	— 37 not. 62.
—	40	2	— 37, 139.
—	42	7	— 37, 140.
—	—	28	— 38, 58.
—	—	32	— 33 not. 5.
—	43	3	— 37, 105.
—	47	1	— 37, 58.
—	50	1	— 32, 5.
—	—	3	— 32, 29.
—	—	5	— 32, 22.
—	—	7	— 32, 31.
—	—	9	— 32, 5.
—	51	1	— 30 not. 48. 37, 14. 16.
—	54	1	— 36, 23.
—	60	1. 3	— 25, 22.
—	61	4	— 34, 47.
—	—	6. 7	— 25 not. 33.
VII	1	2	— 31, 18.
—	2	8	— 33, 5.
—	—	9	— 38, 47.
—	4	2	— 38, 85.
—	15	3	— 38 not. 9.
—	16	1	— 38, 54.
—	19	1. 4. 5	— 34, 50.
—	23	1	— 38, 33.
—	31	—	— 39, 116.
—	32	6	— 39, 115.
—	35	5	— 37, 30.
—	43	3	— 50, 9.
—	—	7	— 50, 12.
—	—	10	— 50, 10.
—	44	3	— 50, 13.
—	45	1	— 50, 11.
—	62	1	— 39 not. 137.
—	63	2	— 50, 14.
—	72	8	— 27, 12.
VIII	1	1	— 39, 61.
—	2	1	— 27, 51.

Lib.	tit.	const.	
VIII	4	7	— 40, 2.
—	10	2	— 39, 54.
—	—	3	— 39, 53.
—	—	4—6	— 39, 55—57.
—	—	8	— 39, 58.
—	—	9	— 39, 46.
—	—	11	— 38, 34. 35.
—	—	12	— 39, 39—44.
—	—	14	— 39, 62.
—	11	20	— 39, 114.
—	52	1	— 38, 77 not. 40.
—	—	2	— 38, 77.
—	—	3	— 38, 66.
—	53	34	— 28, 45.
—	55	8	— 28, 52.
—	—	10	— 28, 54.
IX	1	13	— 45, 26.
—	—	20. 21	— 43, 30.
—	8	5	— 45, 30.
—	—	6	— 38, 78.
—	9	6	— 24, 13.
—	12	7	— 43, 3.
—	14		— 45, 31.
—	16	2	— 45, 4.
—	—	4	— 45, 4. 29.
—	—	6	— 45, 28.
—	—	8	— 8. 47.
—	18	3	— 45, 38.
—	—	4	— 45, 39.
—	—	6	— 45, 16. 40.
—	—	7	— 45, 41.
—	—	9	— 45, 42. 48.
—	19	—	— 39, 81.
—	20	15	— 44, 57.
—	22	3	— 30, 36.
—	—	8	— 43, 42.
—	—	15	— 43 not. 98.
—	—	22. 23	— 43, 41.
—	—	24	— 43, 40.
—	23	3	— 43 not. 98.
—	46	5	— 43, 3.
—	49	9	— 28, 53.
XI	32	3	— 39, 78.
—	48	24	— 38 not. 9. 89.
XII	5	4	— 38, 50.
—	8	1	— 44, 14.
—	21	8	— 36, 12.
—	34	7	— 38, 50.
—	51	7	— 39, 79.

D. Novellae Iustiniani.

XLVIII (22)	c. 34	— 25 not. 33.
—	c. 40	— 25, 28.
LXIV (48)		— 29 not. 21.
LXXXVI (66)		— 29 not. 24.
XCIII (73)		— 43, 42.
CXIV (92)	c. 1	— 32, 25. 26.
CXXVI (107)	c. 3	— 31, 21.
CXXXV (153)		— 38, 6.
CXXXVI (115)	c. 3	— 32, 27.
CXLI (117)	c. 7	— 24, 46. 49, 10.
—	c. 8	— 49, 10.
—	c. 14	— 49, 8.
CXLV (119)		— 38, 60. 68.

Athanasii Epitome Novellarum.

VII, 7	— 34, 51.
IX, 1	— 34, 52.
. parat. § 8	— 29, 14.
X, 2	— 38, 6.
— 9	— 24, 3. 49, 5.
— 22	— 25, 27.
XVIII, 4. 5	— 38, 6.
π. διαφόρ. ἀναγν. § 13	— 29, 15.

Theodori Breviar. Novellarum.

1,	4	— 32, 13.
—,	8	— 32, 8.
2	1	— 25, 3.
—	2	— 25, 8.
—	4	— 25, 11.
—	5	— 25, 7.
—	7	— 25, 21.
12,	1. 2	— 24, 36.
—	3	— 24, 35.
18,	3	— 32, 4.
—	4	— 33, 26.
22,	4	— 24 not. 9.
—	5	— 24, 8.
—	8	— 24, 4.
—	9	— 24, 4.
—	10	— 24, 30.
—	11	— 42, 46.
—	13	— 24, 4.
—	16	— 24, 7. 46.
—	23	— 25, 17.
—	27	— 25, 6.
—	28	— 25, 3.
—	29	— 25, 9.
—	30	— 25, 10.
—	32	— 25, 20.
—	35	— 25, 23.
—	36	— 25, 4.
—	37	— 24, 32.
—	39	— 27, 24.
—	42	— 36, 50.
—	43	— 25, 5.
—	44	— 25, 18. 19.
—	45	— 25, 21.
—	46	— 25, 12.
—	47	— 25, 15.
—	48	— 25, 13. 15.
—	50	— 25, 13.
—	52	— 25, 24.
39,	1. 2	— 32, 15.

53, 11 — 25, 26.
74, 8 — 24, 44.
— 11 — 24, 33.
78, 5 — 38, 58.
81, 1 — 38, 33.
89, 1. 2 — 24, 37. 38.
— 10 — 24, 34.
— 20 — 24, 41. 42.
— 21 — 24, 43.
94 — 36, 51.
108, 1 — 32, 15.
115, 3. 6 — 32, 16.
— 11 — 32, 16.
118 — 33, 15. 17—28.
119, 11 — 32, 20.
134, 33 — 44, 16. 17.
— 34 — 44, 15.
— 35. 36 — 41, 42.
159, 2 — 32, 34.

Epitome incerta.

CXLI (117) c. 2 — 24, 42.
— c. 3 — 24, 40.
— c. 13 — 24, 18.

E. Αἱ ῥοπαί.

15, 2 — 33, 6.
— 3 — 33, 8.

F. Ecloga Leonis et Constantini.

16, 2 — 34, 44.
17, 5 — 40, 5.
— 35 — 24, 49.

G. Leges rusticae.

10, 10. 11 — 40, 4. 5.

H. Prochiron.

4, 20 — 25, 25.
5, 6 — 25, 26.
6, 1 — 25, 1. 2.
— 3 — 25, 14.
8, 1 — 26, 47.
— 2 — 26, 48.
— 5 — 26, 46.
— 9 — 26, 42.
9, 2 — 27 not. 4.
— 5 — 27, 19.
— 6 — 27, 20.
— 7 — 27, 21.
— 8 — 27, 22.
— 9 — 27, 23.
— 10 — 27, 26.
— 12 — 28 not. 57.
11, 1—4 — 24, 1—4.
— 5—16 — 24, 9—22.
21, 2—9 — 29, 1—8.
21, 10 — 29 not. 8. 30, 10.
— 11 — 29, 9.
— 12 — 29 not. 9.
— 13 — 29 not. 9. 30, 9.
— 14—16 — 29, 10—12.
22, 1 sqq. — 29, 31 sqq.
23, 1—4 — 31, 1—4.
25, 1—5 — 30, 3—6.
29, 1. 2 — 32, 32. 33.
— 3. 4 — 33, 2. 3.
30, 1 — 33, 1.
— 2 — 33, 15.
— 3—11 — 33, 17—28.
— 16 — 33, 16.
— 59 — 33, 41.
31, 1—8 — 34, 5—12.
32, 1. 2 — 32, 1.
— 3 — 32, 2.
33 — 35.
34, 1. 2 — 38, 1. 2.
— 4. 5 — 38, 3. 4.
35, 1—5 — 37, 4—8.
37, 42 — 39, 115.
38, 4 — 39, 34. 35.
— 13 — 39, 28.
— 14 — 39, 49.
— 16 — 39, 99.
— 17—19 — 39, 100—102.
— 20 — 39, 61.
— 21—34 — 39, 103—114.
— 43. 44 — 39, 116. 117.
— 45 — 39, 59.
— 48 — 39, 118.
— 50. 51 — 39, 119.
— 54—56 — 39, 120—122.
39, 3—5 — 45, 64—66.
— 6 — 40, 22. 45, 67.
— 7 — 45, 68.
— 10 — 45, 30. 69.
— 12 — 45, 70.
— 14 — 43, 54. 45, 71.
— 15 — 43, 7. 45, 72.
— 18 — 40, 28. 45, 73.
— 19. 20 — 45, 74. 75.
— 22. 23 — 44, 57.
— 24 — 44, 36.
— 25 — 45, 76.
— 26 — 24, 47.
— 31. 32 — 45, 77. 78.
— 34 — 45, 79.
— 35 — 45, 23. 80.
— 36—40 — 45, 81—85.
— 41 — 43, 30.
— 42—45 — 45, 86—89.
— 42 — 45, 86. 49, 7.
— 43 — 45, 87. 49, 13.
— 44. 45 — 45, 88. 89.
— 48. 49 — 40, 2. 3.
— 50—52 — 45, 90—92.
— 54 — 44, 59.

39, 55	—	44, 28.
— 56	—	45, 93.
— 57	—	45, 57.
— 59. 60	—	45, 94. 95.
— 61	—	42, 78. 45, 95.
— 62. 63	—	45, 96. 97.
— 64	—	45, 98. 49, 11.
— 65	—	45, 99.
— 66	—	40, 9.
— 67—73	—	45, 100—106.
— 74	—	45, 58.
— 75	—	40, 29.
— 76	—	40 not. 37.
— 77	—	45, 107.
— 78	—	45, 59.
— 80	—	45, 108.
— 82—84	—	45, 13. 14. 15.
— 85	—	45, 31.

I. Epanagoge.

29, 23—29	—	32 not. 46.
30, 1—6	—	30 not. 6.
40, 63	—	24, 49.
— 81	—	40, 29.

K. Basilica.

10, 10	—	34, 54.
22, 1, 43	—	34, 6.
24, 1, 1	—	26, 14.
28, 15	—	24, 50.
29, 1, 11	—	26, 49.
. . 92 schol.	—	26, 48.
. . 108 schol.	—	26, 38.
35, 2	—	29 not. 59.
. 17	—	31, 20.
. 21, 40	—	29, 40.
43, 3, 36	—	42, 46.
47, 1, 30	—	27, 48.
. 3, 30	—	28 not. 51.

L. Sylloge sive Ἐκλογαί.

15, 1, 1	—	27 not. 20.
47, 3, 12	—	28 not. 51.

M. Leges Normannorum Calabriae regum.

29, 46 not. 52.
32, 24 not. 11.

Typis J. B. Hirschfeldii, Lipsiae.

MÜNCHEN.